(4) Sic Seguer Gobler. Felc. 1 et 4 ut et legendum esse monet Anglic. in margine. Alii et editi, τὰ πάντα.

(5) Seguerian. Goblerian. Felc. 1 et 4, δέδωκε, mendose. Paulo post Seguerian. et Felc. 4, πάλιν ἔλεγε.

(6) Basil. ἑαυτοῦ. Mox Seguer. ut et Scriptura, πρὸς αὐτὸν, καὶ Ἰσραήλ. Reg. vero et editio Commel. πρὸς Ἰσραήλ. Ibid. Seguerian. Felc. 4, ἐναντίον Κυρίου. Editi et alii, ἔναντι Κυρίου. Item ibid. Felc. 2 et editio Commel. Ἰδοὺ ἐνταῦθα.

(7) Seguerian. Goblerian. Felc. 1 et 5, ὥσπερ. Iidemque et Reg. ac Felc. 4, οὕτως ὧδε. Editi et alii, ὡς γὰρ ἐκεῖ τὸ ἔκτισεν, ὧδε, etc.

πανταχόθεν φαίνεσθαι τοῦ εἶναι τὸν Λόγον δεύτερον λέγεσθαι τὸ, ἔκτισε, καὶ τὸ, ἔπλασε (8). Καὶ γὰρ ὥσπερ πρὸ τῆς πλάσεως ὑπῆρχον αἱ φυλαὶ δι' ἃς καὶ ἐπλάσθη· οὕτως ὑπάρχειν καὶ τὰ ἔργα φαίνεται, εἰς ἃ καὶ ἐκτίσθη. Καὶ ὅτε μὲν ἐν ἀρχῇ ἦν ὁ Λόγος, οὕπω ἦν τὰ ἔργα, καθὰ προεῖπον· ὅτε δὲ τὰ ἔργα γέγονε, καὶ ἡ χρεία ἀπῄτησε, τότε τὸ, ἔκτισεν, εἴρηται. Καὶ ὥσπερ ἂν εἴ τις (9) υἱὸς, παραπολομένων κτημάτων καὶ παρὰ πολεμίοις ὄντων, ἐξ ἀμελείας αὐτῶν, χρείαζ τε (10) καταλαβούσης εἰ πέμποιτο παρὰ τοῦ πατρὸς συλλαβέσθαι καὶ συναγαγεῖν αὐτά· καὶ οὕτος ἀπερχόμενος, ἐπενδιδύσκοιτο τὴν ὁμοίαν ἐκείνων ἐσθῆτα, καὶ σχηματίζοι ἑαυτὸν, ὡς ἐκεῖνοι, ἵνα μὴ ὡς δεσπότην αὐτὸν ἐπιγνόντες (11) οἱ κατέχοντες φύγωσι, καὶ κωλυθῇ κατελθεῖν καὶ πρὸς τοὺς ὑπὸ γῆν κρυπτομένους παρ' ἐκείνων· εἶτα εἴ τις πυνθάνοιτο τούτου (12)· Διὰ τί οὕτως ; ὁ τοιοῦτος εἶπεν ἄν (13)· Ὁ πατὴρ οὕτω με ἔπλασε καὶ κατήρτισεν εἰς τὰ ἔργα αὐτοῦ· λέγων τε οὕτως, οὔτε δοῦλον ἑαυτὸν οὔτε ἕνα τῶν ἔργων εἶναι (14) σημαίνει· οὔτε δὲ τὴν ἀρχὴν τῆς γενέσεως αὐτοῦ λέγει, ἀλλὰ τὴν ὕστερον αὐτῷ δοθεῖσαν εἰς τὰ ἔργα φροντίδα· τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος, ἐπενδυσάμενος (15) τὴν ἡμετέραν σάρκα, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, εἰ ἐρωνηθείη παρὰ τῶν οὕτως αὐτὸν ὁρώντων καὶ θαυμαζόντων, εἴποι ἄν (16)· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· καί· Ἔπλασέ με τοῦ συναγαγεῖν τὸν Ἰσραήλ. Τοῦτο δὲ πάλιν καὶ τὸ Πνεῦμα προσημαῖνον ἐν Ψαλμοῖς ἔλεγε· Κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· ὅπερ καὶ περὶ ἑαυτοῦ σημαίνων αὐτὸς (17) ὁ Κύριός φησιν· Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ· ὥσπερ δὲ, ὅτε ἐπέλαμψε σωματικῶς τῇ Σιὼν, οὐκ ἀρχὴν εἶχεν (18) εἶναι οὐδὲ τοῦ βασιλεύειν· ἀλλὰ ὢν Λόγος τοῦ Θεοῦ καὶ ἀίδιος βασιλεὺς, κατηξίωσεν ἀνθρωπίνως ἐπιλάμψαι τὴν βασιλείαν ἑαυτοῦ (19) καὶ ἐν τῇ Σιὼν, ἵνα, ἀπὸ τῆς βασιλευούσης ἐν αὐτοῖς ἁμαρτίας λυτρωσάμενος αὐτούς τε καὶ ἡμᾶς, ποιήσῃ ὑπὸ τὴν πατρικὴν βασιλείαν ἑαυτοῦ· οὕτω καθιστάμενος εἰς τὰ ἔργα, οὐκ εἰς τὰ μηδέπω ὄντα, ἀλλ' εἰς τὰ ἤδη ὄντα καὶ δεόμενα διορθώσεως καθίσταται.

53. Τὸ ἄρα, ἔκτισε, καὶ τὸ, ἔπλασε, καὶ τὸ, κατ-

A mum undelibet est nonnisi posterius quam fuerit Verbum, hæc verba, *creavit*, et *formavit* de illo enuntiari. Nam quemadmodum antequam Filius formaretur, tribus exsistebant, propter quas formatus ipse est: sic etiam opera, quorum causa creatus est, prius patet exstitisse. Præterea cum in principio esset Verbum, nondum, ut dixi, erant opera: cum autem facta sunt opera, et exegit necessitas, tunc dictum est, *creavit*. Ac quemadmodum si aliquis filius, servis perditis et apud hostes ipsorum negligentia detentis, cogente necessitate a patre mitteretur, ut illos adjuvaret et reduceret, illeque in itinere similem illorum indueret vestem, eodemque ac illi se appellaret nomine, ne forte hi, qui servos retinerent, ipso ut domino agnito, fugerent,

B ipseque hoc pacto prohiberetur ad servos subter terram ab illis occultatos accedere: si quis deinde ab eo sciscitaretur, quare ita egisset, recte responderet: Sic me formavit et comparavit pater in opera sua: quibus quidem verbis neque se servum aut unum ex operibus esse significaret; nec etiam sui ortus indicaret principium, sed tantum commissam sibi postea operum curam. Simili ratione si Dominus, nostra induta carne [44], et figura inventus ut homo, ab his interrogaretur qui ipsum eo in statu suspiciunt et admirantur, responderet: *Dominus creavit me initium viarum suarum in opera sua*, et: *Formavit me ut congregarem Israel*. Idem autem ipse quoque Spiritus in Psalmis prænuntians aiebat: *Constituisti eum super opera manuum*

C *tuarum* [45]: quod et Dominus de seipso his confirmat verbis: *Ego autem constitutus sum rex ab eo super Sion montem sanctum ejus* [46]. Porro quemadmodum cum monti Sion corpore illuxit, tunc non incœpit esse aut regnare: sed cum esset ipse Verbum et rex sempiternus, humaniter voluit suum regnum illucere quoque in Sion, ut scilicet et nos et illos a peccato, quod in eis regnabat, 112 redimeret, et in paternum sui imperium redigeret: qua utique ratione in opera est constitutus, non quæ nondum essent, sed quæ jam exsisterent, et emendatione indigerent.

53. Igitur hæ dictiones, *creavit*, *formavit*, et

[44] Philipp. II, 8. [45] Psal. VIII, 7. [46] Psal. II, 6.

(8) Seguerian. Goblerian. Felc. 1, πεπλάσθαι. Alii et editi, ἔπλασε.

(9) Sic Seguer. Anglic. Gobler. Felc. 1 et 4. At editi et alii, ὥσπερ ἄν τις. Ibid. Seguer. Gobler. Felc. 1 et 5, παραπολομένων. Felc. 4, παραπολλυμένων.

(10) Seguer. et Felc. 4, χρείας δέ. Editi et alii, χρείας τε. Ibid. mss. omnes, εἰ πέμποιτο. Editio Commel. omittit εἰ.

(11) Seguerian. αὐτὸν ἐπιγνόντες. Cæteri et editi, ἑαυτῶν ἐπιγινώσκοντες. Mox Seguer. Goblerian. et Felc. 1, ὑπὸ γῆν. Editi et alii, ἐπὶ γῆν.

(12) Seguerian. ἐπυνθάνετο. Ibid. idem et Reg. διὰ τί οὕτως, ὁ τοιοῦτος, etc. In editis vero nulla interponitur distinctio. Edit. Commel. mendose præterea habet, διὰ τὸ οὕτως.

(13) Sic Seguerian. Reg. Gobler. Felc. 1 et 4. D Editi, εἴποιεν. Ibid. Seguerian. Goblerian. et Felc. 1, κατήρτησεν. Felc. 4, κατήγαγεν.

(14) Εἶναι, deest in Seguer. qui mox, τῆς γενέσεως ἑαυτοῦ.

(15) Seguerian. Goblerian. Felc. 1 et 4, ἐπενδυσάμενος.

(16) Seguer. et Felc. 4, εἴποιεν ἄν. Editi et alii, εἴποι ἄν.

(17) Αὐτὸν abest a Seguerian.

(18) Sic Seguerian. Goblerian. Felc. 1, 4 et 5, qui ultimus, ὢν ὁ Λόγος. Alii et editio Commel. οὐκ ἀρχὴν εἶχεν, ἀλλὰ ὢν ὁ Λόγος.

(19) Seguer. Gobler. Felc. 1 et 4, ἑαυτοῦ. Cæteri et editi, αὐτοῦ. Ibid. Seguer. καὶ ἐν τῇ Σιών. Gobler. Felc. 1 et 4, καὶ ἐν γῇ Σιών. Editi vero et alii, αὐτοῦ καὶ τῇ Σιών.

constituit, eamdem habent significationem, nec ullo modo probant, vel eum incœpisse esse, vel creatam ejus esse naturam, sed intelligendæ sunt de renovatione, qua nos singulari beneficio refecit. Itaque licet hæc ejus sint verba, ipse nihilominus se ante res illas docuit exsistere cum ait : *Antequam Abraham fieret, ego sum* [47] ; et : *Cum cœlos præparabat, aderam illi* [48] ; et : *Apud illum eram res apte componens* [49]. Quemadmodum vero ipse erat, antequam fieret Abraham, Israel autem post Abraham factus est, certumque est ipsum cum prius exsisteret, postea formatum esse, idque non ejus exsistendi principium, sed humanam ob eo naturam assumptam significare, in qua videlicet tribus Israel congregat : ita cum ipse semper sit cum Patre, rerum creatarum est quoque opifex, palamque est opera ipso esse posteriora, et voce, *creavit*, non ostendi eum esse cœpisse, sed operum administrationem, quam in carne gessit, suscepisse. Quippe decuit ipsum, qui alius ab operibus, imo qui creator illorum erat, eorum quoque in se suscipere renovationem : ut ipse nostri causa creatus, omnia in seipso recrearet ac reficeret. Hinc ubi dixit, *creavit*, statim causam, nempe, *opera*, addidit, ut scilicet his verbis, *in opera creari*, significaretur illum hominem fieri ad ipsa opera instauranda. Namque ea est consuetudo Scripturæ divinæ, quæ toties de Verbi ortu secundum carnem loquitur, causam subjungit propter quam homo factus est. Cum autem vel ipse vel ejus famuli de ejus divinitate verba faciunt ; omnia simplici dictione absolutaque sententia, et nulla implicita causa proferuntur. Nempe Patris est splendor ; ut autem Pater non est ob aliquam causam, ita nec ejus splendoris causa est inquirenda. Itaque scriptum est : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [50] : cujus quidem rei nulla affertur causa. Cum autem *Verbum caro factum est* [51], tunc causæ propter quam factum est, his verbis indicatur, *et habitavit in nobis* [52]. Similiter Apostolus cum ait : *Qui cum in forma Dei esset* [53], causam non protulit nisi post

A ἔστησε (20), τὴν αὐτὴν ἔχοντα διάνοιαν, οὐκ τὴν ἀρχὴν τοῦ εἶναι αὐτὸν, οὐδὲ τὴν οὐσίαν αὐτοῦ κτιστὴν δείκνυσιν (21), ἀλλὰ τὴν εἰς ἡμᾶς αὐτοῦ κατ' εὐεργεσίαν γενομένην ἀνανέωσιν. Ταῦτα γοῦν λέγων, ἐδίδασκεν ὅμως (22) καὶ πρὸ τούτων ὑπάρχειν ἑαυτὸν, ὅτε ἔλεγε· Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι· καί· Ἡνίκα τὸν οὐρανὸν ἡτοίμαζε, συμπαρήμην αὐτῷ· καί· Ἥμην παρ' αὐτῷ (23) ἁρμόζουσα. Ὥσπερ δὲ ἦν αὐτὸς πρὶν Ἀβραὰμ γενέσθαι, ὁ δὲ Ἰσραὴλ μετὰ τὸν Ἀβραὰμ γέγονε, καὶ δῆλόν ἐστιν, ὅτι προϋπάρχων ὕστερον πλάττεται, καὶ ἡ πλάσις οὐ τὴν ἀρχὴν τοῦ εἶναι, ἀλλὰ τὴν ἀνανθρώπησιν σημαίνει, ἐν ᾗ καὶ ἐπισυνάγει τὰς φυλὰς τοῦ Ἰσραήλ· οὕτως ἄρα ἀεὶ συνὼν τῷ Πατρὶ, αὐτὸς (24) τῆς κτίσεως δημιουργός ἐστι, καὶ δῆλόν ἐστι ὅτι δεύτερά

B ἐστιν αὐτοῦ τὰ ἔργα, καὶ τὸ, ἔκτισεν, οὐκ ἀρχὴν τοῦ εἶναι αὐτὸν, ἀλλὰ τὴν εἰς τὰ ἔργα γενομένην οἰκονομίαν, ἣν ἐν τῇ σαρκὶ πεποίηκε, γνωρίζει. Ἔπρεπε γὰρ, ἄλλον αὐτὸν ὄντα τῶν ἔργων, καὶ μᾶλλον δημιουργὸν αὐτῶν ὄντα αὐτὸν, καὶ τὴν τούτων ἀνανέωσιν εἰς ἑαυτὸν ἀναδέξασθαι, ἵνα, αὐτοῦ κτιζομένου εἰς ἡμᾶς, τὰ πάντα εἰς ἑαυτὸν (25) ἀνακτίσηται. Καὶ γὰρ λέγων, ἔκτισεν, εὐθὺς καὶ τὴν αἰτίαν ἐπήγαγε, λέγων, τὰ ἔργα, ἵνα τὸ, εἰς τὰ ἔργα κτίζεσθαι, τὸ γίνεσθαι ἄνθρωπον δηλώσῃ εἰς τὴν τούτων ἀνανέωσιν. Καὶ τοῦτο ἔθος ἐστὶ τῇ θείᾳ Γραφῇ· ὅταν μὲν γὰρ σημαίνῃ τὴν κατὰ σάρκα γένεσιν τοῦ Λόγου, τίθησι καὶ τὴν αἰτίαν, δι' ἣν γέγονεν ἄνθρωπος· ὅταν δὲ περὶ τῆς θεότητος αὐτοῦ αὐτός τε λέγῃ (26), καὶ οἱ τούτου θεράποντες ἀπαγγέλλωσι, πάντα ἁπλῇ τῇ λέξει, ἀπολελυμένῃ τε τῇ

C διανοίᾳ, καὶ οὐδὲν μετὰ συμπεπλεγμένης αἰτίας λέγεται. Τοῦ γὰρ Πατρός ἐστιν ἀπαύγασμα· ὥσπερ οὖν ὁ Πατὴρ οὐ διά τινα αἰτίαν ἐστὶν, οὕτως οὐδὲ τοῦ ἀπαυγάσματος τούτου χρὴ ζητεῖν τὴν αἰτίαν (27). Ἐν ἀρχῇ οὖν ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος, γέγραπται· καὶ οὐκ ἔχει (28) τὸ διὰ τί· ὅτε δὲ, Ὁ Λόγος σὰρξ ἐγένετο, τότε καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν γέγονε, λέγων· Καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Πάλιν τε ὁ Ἀπόστολος λέγων, Ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐκ ἔθηκε (29) τὴν αἰτίαν εἰ μὴ, ὅτε Τὴν

[47] Joan. VIII, 58. [48] Prov. VIII, 27. [49] ibid. 30. [50] Joan. I, 1. [51] ibid. 14. [52] ibid. [53] Philipp. II, 6.

(20) Seguerian. et Reg. καὶ τὸ κατέστησε. Editi et alii, καὶ κατέστησε. Ibid. Seguer. τὴν αὐτὴν ἔχον· Cæteri et editi τὴν αὐτὴν ἔχοντα.

(21) Seguer. et Reg. δείκνυσιν. Alii et editi, δεικνύουσιν.

(22) Felc. 4, ὅπως. Ibid. Anglic. πρὸ τούτου. Idemque cum Seguer. Gobler. et Felc. 1 et 4, ὑπάρχειν ἑαυτόν. Editi et alii, ὑπάρχειν αὐτον.

(23) Sic Seguer. Felc. 4, et Scriptura. Alii et editi, σὺν αὐτῷ. Paulo post Segber. Gobler. Felc. 1 et 4, μετὰ τὸν Ἀβραάμ. Alii et editi τόν omittunt.

(24) Basili. ἄρα σὺν τῷ Πατρὶ συνὼν, αὐτός. Reg. ἄρα ἀεὶ σὺν τῷ Πατρὶ αὐτός. Mox Seguer. Anglic. Gobler. Felc. 1 et 5, addunt, καὶ δῆλόν ἐστιν, quæ absunt ab aliis et editione Commel.

(25) Seguer. εἰς αὐτόν. Ibid. Gobler. et Felc. 1, ἀνακτήσηται. Καὶ γὰρ καὶ λέγων. Mox Anglic. λέγων τὸ εἰς ἔργα.

D (26) Seguer. Gobler. et Felc. 1, αὐτός τε λέγῃ. In aliis et editis deest τε. Mox Seguer. et Reg. ἀπαγγέλλουσι. Gobl. et Felc. 1, ἐπαγγέλλουσι. Alii, ἐπαγγέλλωσι. Ibid. Seguer. Gobler. Felc. 1 et 4, ἁπλῇ τῇ λέξει. Alii et editi, ἁπλῇ λέξει. Item ibid. Seguer. ἀπολελυμένῃ τε τῇ διανοίᾳ. In editione Commel. deest τε.

(27) Sic Seguer. Reg. Basil. Gobl. Felc. 1 et 4, Cæteri autem et editi, τούτου χρήζει τὴν αἰτίαν. Ibid. Seg. Gobl. Felc. 1 et 4, Ἐν ἀρχῇ γοῦν, φησί, ἦν ὁ Λόγος. Basil. et Reg. Ἐν ἀρχῇ οὖν ἦν ὁ Λόγος. Cæteri et editi, Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

(28) Felc. 2 et editio Commel. ἔχοι, et paulo post, δι' ἣς γέγονε. Cæteri vero, ἔχει et δι' ἣν γέγονε.

(29) Basil. καὶ οὐκ ἔθηκεν. Ibidem τὴν deest in Seguer. Gobler. Felc. 1 et 4.

μορφὴν ἔλαβε τοῦ δούλου· τότε (30) γὰρ ἐπιφέρει λέγων· Ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὰ ταῦτα γὰρ καὶ σὰρξ γέγονε καὶ μορφὴν ἔλαβε δούλου.

54. Αὐτός τε ὁ Κύριος (31) πολλὰ μὲν ἐν παροιμίαις λελάληκε, περὶ δὲ αὐτοῦ σημαίνων, ἀπολελυμένως εἴρηκεν· Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· καὶ· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· καί· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· καί· Ἐγώ εἰμι ἡ ἀλήθεια· οὐ τιθεὶς ἐφ' ἑκάστου τὴν αἰτίαν, οὐδὲ τὸ διὰ τί, ἵνα μὴ δεύτερος ἐκείνων εἶναι φαίνηται, ὧν χάριν καὶ γέγονεν. Ἀνάγκη γὰρ προηγεῖσθαι τὴν αἰτίαν τούτου, ἧς ἄνευ οὐκ ἂν οὐδ' αὐτὸς ἐγεγόνει. Παῦλον γοῦν ἀφωρισμένος ἀπόστολος εἰς Εὐαγγέλιον, ὃ προεπηγγείλατο ὁ Κύριος διὰ τῶν προφητῶν, εἶχε πρὸ ἑαυτοῦ τὸ Εὐαγγέλιον, οὗ καὶ γέγονε διάκονος· καὶ ὁ Ἰωάννης μὲν (32), προχειρισθεὶς εἰς τὸ προοδεῦσαι τοῦ Κυρίου, πρὸ ἑαυτοῦ εἶχε τὸν Κύριον· ὁ δὲ Κύριος οὐκ ἔχων πρὸ ἑαυτου (33) αἰτίαν τοῦ εἶναι Λόγος, ἢ μόνον ὅτι τοῦ Πατρός ἐστι γέννημα καὶ σοφία μονογενὴς, ὅταν ἄνθρωπος (34) γίνεται, τότε καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν μέλλει σάρκα φορεῖν. Προηγεῖται γὰρ τοῦ γενέσθαι αὐτὸν ἄνθρωπον ἡ τῶν ἀνθρώπων χρεία, ἧς ἄνευ οὐκ ἂν ἐνεδύσατο σάρκα. Τίς δὲ ἡ χρεία, δι' ἣν γέγονεν ἄνθρωπος αὐτὸς μὲν ὁ Κύριος σημαίνων ταύτην ἔλεγε· Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιήσω (35) τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δὲ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν, ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ (36) ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ πάλιν· Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. Καὶ πάλιν (37) φησίν· Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. Ὁ δὲ Ἰωάννης ἔγραψεν (38)· Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

55. Διὰ τὸ μαρτυρῆσαι ἄρα, καὶ ὑπὲρ ἡμῶν ἀναδέξασθαι (39) θάνατον, καὶ διὰ τὸ ἀναστῆσαι τοὺς ἀνθρώπους, καὶ λῦσαι τὰ ἔργα τοῦ διαβόλου ἐλήλυθεν ὁ

A hæc verba, *formam servi accepit :* tunc enim subjecit : *Humiliavit semetipsum usque ad mortem, mortem autem crucis.* Hæc enim causa est cur Verbum caro factum est et servi accepit formam.

54. Ipse etiam Dominus multa quidem in proverbiis elocutus est, sed cum de seipso loquitur, absolute dicit : *Ego in Patre et Pater in me est* [54]; et : *Ego et Pater unum sumus* [54*], et : *Qui vidit me, vidit Patrem* [55] ; et : *Ego sum lux mundi* [56]; et : *Ego sum veritas* [57] : quibus in locis nulla causa recensetur, nec affertur ratio cur ita sit, ne illis esse videretur posterior, quorum causa factus est. Siquidem necesse est causam illo priorem esse sine qua nec etiam ipse factus fuisset. Paulus quidem segregatus apostolus in Evangelium,
B **413** quod ante promiserat Dominus per prophetas [58], Evangelium cujus administer factus est, prius se habuit. Joannes autem cui Domino præeundi munus fuerat commissum, priorem quoque se habuit Dominum. At Dominus qui nullam causam cur sit Verbum agnoscit, nisi tantum quod Patris et fetus et sapientia est unigenita; cum fit homo tunc causam indicat, propter quam carnem gestare debeat. Illi enim facto homini antecedit hominum necessitas, sine qua carnem minime induisset. Quæ autem illa sit necessitas, propter quam factus homo est, ipse Dominus his verbis exponit : *Descendi de cœlo non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me. Hæc est autem voluntas ejus qui misit me, ut omne quod dedit mihi non perdam ex eo, sed resuscitem illud in novissimo die. Hæc est enim vo-*
C *luntas Patris mei, ut omnis qui videt Filium et credit in eum, habeat vitam æternam, et ego resuscitabo eum in novissimo die* [59]. Et rursus : *Ego lux in mundum veni, ut omnis qui credit in me, in tenebris non maneat* [60]. Et, *Ego in hoc natus sum, et ad hoc veni in mundum, ut testimonium perhibeam veritati* [61]. Scribit quoque Joannes : *In hoc apparuit Filius Dei, ut dissolvat opera diaboli* [62].

55. Itaque idcirco venit Salvator ut testimonium perhiberet, et mortem pro nobis susciperet, homi-
D nesque ad vitam revocaret, ac diaboli opera diseol-

[54] Joan. XIV, 10. [54*] Joan. X. 30. [55] Joan. XIV, 9. [56] Joan. VIII, 12. [57] Joan. XIV, 6. [58] Rom. I, 1. [59] Joan. VI, 38, 40. [60] Joan. XII, 46. [61] Joan. XVIII, 37. [62] I Joan. III, 8.

(30) Editio Commel. τόδε. Mss τότε.

(31) Seguer. et Reg. Αὐτός τὸ ὁ Κύριος. Alii et editi, Αὐτός δὲ ὁ Κύριος. Mox Seguer. et Felc. 5, ἐν παροιμίαις ἐλάλησεν.

(32) Seguer. καὶ Ἰωάννης δέ. Ibidem Felc. 2, et edit. Commel. προχειρισθεὶς, οὗ καὶ γέγονεν, εἰς τό, etc. In cæteris omittitur οὗ καὶ γέγονεν.

(33) Mss. omnes, πρὸ ἑαυτοῦ. Editi, πρὸς ἑαυτοῦ. Ibid. Seg. Reg. Gobl. Felc. 1 et 5, τοῦ εἶναι Λόγος, ut et Nannius vidctur legisse, qui nempe vertit, *non habuit causam ut esset Verbum.* Cæteri et editi, τοῦ εἶναι αὐτόν.

(34) Seguer. Gobler. Felck. 1 et 4, ὅταν δὲ ἄνθρωπος. Alii et editio Commel. ὅταν ἄνθρωπος. Ibidem Seguer. γίνεται. Alii et editi, γένηται.

(35) Seguer. ποιῶ.

(36) Seguer. Reg. et Felck. 4, αὐτό. Editi et alii, αὐτόν. Ibid. Seguer. αὐτὸ τῇ ἐσχάτῃ. .Ibid. Seguer. Τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Πάτρος μου, ἵνα πᾶς ὁ θεωρῶν. . . καὶ ἐγὼ ἀναστήσω, etc. Hunc item versum habent Reg. Basil. Anglic Felck. 4 et 5. Sed in Reg. deest ἐστι τὸ θέλημα : in aliis deest tantum ἐστι et ὁ. Versum autem integrum omittunt cæteri et editio Commel.

(37) Sic Seguer. At Gobler. Felck. 1 et 4, Καὶ πάλιν· Ἐγὼ εἰς. Alii et editi, Καὶ πάλιν ἐν τῷ κατὰ Ἰωάννην φησίν· Ἐγὼ εἰς. Ibidem Seguer. et Felck. 5, γεγέννημαι. Cæteri et editi, γεγέννημαι.

(38) Gobler. et Felck. 1, φησίν.

(39) Basil. δέξασθαι.

veret. Hæc causa est cur carne assumpta ad nos advenerit. Nec enim esse potuisset resurrectio, nisi mors antecessisset. Quomodo vero mors antecessisset, nisi mortale habuisset corpus? Id sane ab eo didicerat Paulus, cujus nempe hæc sunt verba : *Quia ergo pueri sanguinis et carnis participes facti sunt, ipse quoque similiter eorumdem participes factus ut per mortem, diabolum qui mortis imperium habet, destrueret, et liberaret eos qui timore mortis per totam vitam obnoxii erant servituti* [63], et : *Quoniam enim per hominem mors, et per hominem resurrectio mortuorum* [64] : et iterum : *Nam quod impossibile erat legi, in quo per carnem infirma erat, Deus sui ipsius misso Filio sub specie carnis peccati, etiam de peccato condemnavit peccatum in carne, ut legis justitia in nobis impleretur qui non secundum carnem, sed secundum spiritum ambulamus* [65] Joannes vero scribit : *Nec enim misit Deus Filium suum in mundum ut judicet mundum, sed ut mundus per ipsum salvetur* [66]. Rursus quoque per seipsum ita locutus est Salvator : *Ego in judicium in hunc mundum veni, ut qui non vident videant, et qui vident cæci fiant* [67]. Non ergo propter seipsum venit, sed propter nostram salutem, necnon ut mortem 414 destrueret, peccatum condemnaret, cæci viderent, omnesque e mortuis excitarentur. Quod si non propter seipsum sed propter nos venit : non igitur sui sed nostri causa creatur; non ergo ipse est creatus, sed nostra assumpta carne hæc ille ait. Quod autem is sit Scripturarum sensus licet ab Apostolo discere, qui Epistola ad Ephesios ita scribit : *Qui medium septi parietem diruit, cum inimicitiam in carne sua, legem mandatorum in decretis abrogavit, ut duos crearet in semetipso in unum novum hominem, faciens pacem* [68]. Quod si duo in illo creantur, qui et sint in ipsius corpore : non immerito igitur, duos in se ferens, ipse quoque quasi creatus est. Namque creatos in seipso conjunxit, et ipse in illis erat, veluti illi. Sic porro duobus in illo creatis dicere maxime ei convenit : *Dominus creavit*

A Σωτὴρ. καὶ αὕτη ἐστὶν ἡ αἰτία τῆς ἐνσάρκου παρουσίας αὐτοῦ. Ἄλλως γὰρ ἀνάστασις οὐκ ἂν ἐγένετο, εἰ μὴ θάνατος ἐγεγόνει (40)· θάνατος δὲ πῶς ἂν ἐγεγόνει εἰ μὴ τὸ ἀποθνῆσκον ἐσχήκει σῶμα ; Τοῦτο παρ' αὐτοῦ μαθὼν καὶ ὁ Ἀπόστολος (41) ἔλεγεν. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ὃν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου (42) διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας· καί· Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου, ἀνάστασις νεκρῶν· καὶ πάλιν. Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ
B ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σάρκι· ἵνα τὸ δικαίωμα τοῦ νόμου (43) πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Καὶ ὁ δὲ Ἰωάννης φησὶν (44). Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Πάλιν δὲ καὶ ὁ Σωτὴρ δι' ἑαυτοῦ ἔλεγεν (45) Εἰς κρῖμα ἐγὼ ἐλήλυθα εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Οὐ δι' ἑαυτὸν ἄρα, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν (46) καὶ διὰ τὸ καταργηθῆναι τὸν θάνατον, καὶ διὰ τὸ κατακριθῆναι τὴν ἁμαρτίαν, καὶ διὰ τὸ ἀναβλέψαι τυφλοὺς, καὶ διὰ τὸ ἀναστῆναι πάντας ἐκ νεκρῶν ἐλήλυθεν. Εἰ δὲ μὴ δι' ἑαυτὸν ἐλήλυθεν,
C ἀλλὰ δι' ἡμᾶς, οὐ δι' ἑαυτὸν ἄρα, ἀλλα δι' ἡμᾶς κτίζεται (47). Εἰ δὲ οὐ δι' ἑαυτὸν κτίζεται, ἀλλὰ δι' ἡμᾶς, οὐκ ἔστιν ἄρα αὐτὸς κτίσμα, ἀλλὰ τὴν ἡμῶν ἐνδυσάμενος σάρκα, ταῦτα λέγει. Καὶ ὅτι ταύτην τὴν διάνοιαν ἔχουσιν αἱ Γραφαὶ, ἐξὸν παρὰ τοῦ Ἀποστόλου μαθεῖν· φησὶ γὰρ ἐν τῇ πρὸς Ἐφεσίους (48)· Τὸ μεσότοιχον οοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ (49) εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην. Εἰ δὲ ἐν αὐτῷ

[63] Hebr. II, 14, 15. [64] I Cor. XV, 21. [65] Rom. VIII, 3, 4. [66] Joan. III, 17. [67] Joan. IX, 29. [68] Ephes. II, 14, 15.

(40) **Sic Seguer.** et Reg. At alii et editi, ἐγέγονεν, **mendose.** Ibid. Seguer. Gobler. Felck. 1 et 4, πῶς ἂν ἐγεγόνει. In aliis et editis ἂν omittitur.

(41) **Seguer.** καὶ ὁ Παῦλος. Felck. 4, ὁ καὶ ὁ Παῦλος. Gobler. et Felck. 1, καὶ Παῦλος. Editi et alii, καὶ ὁ Ἀπόστολος. Ibidem οὖν abest a Seguer. Gobl. Felck. 1 et 4, qui iidem mox omittunt δὲ αὐτός.

(42) Seguer. Reg. Gobler. et Felck. 1, φόβῳ θανάτου. Editi et alii, φόοῳ τοῦ θανάτου. Mox δὲ deest in Felck, 4 et 5. Ibid.. Seguer. Gobler. Felck. 1 et 4, Ἐπειδὴ γάρ. Alii et editi γὰρ omittunt. Item ibid. Seguer. et Felck. 4, ὁ θάνατος. In aliis et editis ὁ deest. Mox Seguer. Gobler. Felck. 1 et 4. ἀνάστασις νεκρῶν. At alii et editi νεκρῶν omittunt.

(43) Τοῦ νόμου deest in Seguer.

(44) Seguer. δὲ ὁ Ἰωάννης δὲ φησιν. Gobler. et Felck. 1. Δὲ Ἰωάννης. Οὐ γάρ. editi et alii, καὶ Ἰωάννης φησίν. Οὐ γὰρ, etc.

(46) Sic Seguer. Gobler. Felck. 1 et 4. At Basil. ὁ Σωτὴρ δι' αὐτοῦ ἔλεγεν. Alii et editi, ὁ Σωτὴρ ἔλεγεν. Mox Seguer. et Felck. 4 addunt τοῦτον post κόσμον, alii et editi omittunt.

(46) Felck. 4, οὐ δι' αὐτὸν ἄρα, ἀλλὰ δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν. Ibidem Seguer. τὸν θάνατον καὶ διὰ τὸ κατακριθῆναι τὴν ἁμαρτίαν. **Sic etiam Gobler. et Felck. 1, sed διὰ τό omittunt Cæteri et editi,** διὰ τὸ καταργηθῆναι τὴν ἁμαρτίαν, **omissis intermediis.** Felck. 4, ibid. καταργῆσαι. **Item ibidem** Gobler. et Felc. 1, καὶ ἀναβλέψαι. **Seguer. ibid.** ἀναολέψαι τυφλοὺς, καὶ διὰ τὸ ἀναστῆναι, **etc. Editi** et alii, ἀναβλέψαι τοὺς τυφλοὺς, καὶ ἀναστῆναι.

(47) Sic Seger. Reg. Basil. Anglic. **et Felck. 5.** In Seguer. tamen omittitur κτίζεται **ante** Εἰ δὲ οὐ δι' ἑαυτὸν κτίζεται. Reg. sic item initio **habet,** Κτίζεται ἄρα οὐ δι' ἑαυτὸν, ἀλλὰ δι' ἡμᾶς. **Cæteri** et editi, ἐλήλυθεν· εἰ δὲ μὴ δι' ἑαυτὸν **κτίζεται, ἀλλὰ** δι' ἡμᾶς, οὐκ ἔστιν ἄρα.

(48) Gobler. et Felck. primus **anonymus omittunt** ἐν τῇ πρὸς Ἐφεσίους.

(49) Seguer. ἐν αὐτῷ. Idem mox et Anglic. Gobler. Felck. 1 et 4 addunt ποιῶν εἰρήνην, quod in aliis et editione Commel. deest.

κτίζονται οἱ δύο, καὶ οὗτοί εἰσιν ἐν τῷ σώματι αὐτοῦ, εἰκότως ἄρα φορῶν (50) τοὺς δύο ἐν αὐτῷ, ὡς αὐτός ἐστι κτισθείς· τοὺς γὰρ κτισθέντας ἐν ἑαυτῷ ἥνωσε, καὶ ἦν αὐτὸς ἐν αὐτοῖς, ὡς ἐκεῖνοι. Οὕτω δὲ τῶν δύο κτισθέντων (51) ἐν αὐτῷ, ἁρμοζόντως ἂν λέγοι· Κύριος ἔκτισέ με. Ὥσπερ γὰρ τὰς ἡμῶν ἀσθενείας δεχόμενος, λέγεται αὐτὸς ἀσθενεῖν, καίτοι μὴ ἀσθενῶν αὐτός, δύναμις γάρ ἐστι τοῦ Θεοῦ, ἁμαρτία τε ὑπὲρ ἡμῶν γέγονε καὶ κατάρα, καίτοι μὴ ἁμαρτήσας αὐτός, ἀλλ' ὅτι τὰς ἁμαρτίας ἡμῶν καὶ τὴν κατάραν ἐβάστασεν (52) αὐτός, οὕτως ἡμᾶς ἐν αὐτῷ κτίζων, λεγέτω ὅτι καὶ Ἔκτισέ με εἰς ἔργα, καίτοι κτίσμα μὴ ὢν αὐτός.

A *me*[69]. Ut enim nostris infirmitatibus susceptis ipse infirmus esse dicitur, quamvis infirmus non sit, quippe qui sit Dei virtus : ut item peccatum et maledictio pro nobis factus est, licet ipse non peccaverit, sed quia ipse peccata nostra et maledictionem portavit : ita nos in seipso creans, recte dixerit : *Creavit me in opera*[70], licet ipse creatus non sit.

56. Ἐπεὶ εἰ κατ' ἐκείνους, ὡς κτιστῆς οὔσης τῆς οὐσίας τοῦ Λόγου, λέγει, Κύριος ἔκτισέ με, κτίσμα ὤν· οὐ δι' ἡμᾶς ἐκτίσθη. Δι' ἡμᾶς δὲ μὴ κτισθέντος αὐτοῦ, οὐκ ἐκτίσθημεν ἐν αὐτῷ· μὴ κτισθέντες δὲ ἐν αὐτῷ, οὐκ εἴχομεν αὐτὸν ἐν ἑαυτοῖς, ἀλλ' ἔξωθεν εἴχομεν, εἰ ἄρα παρ' αὐτοῦ (53) τὴν μάθησιν ὡς παρὰ διδασκάλου ἐδεξάμεθα. Οὕτω δὲ ἡμῶν ὄντων, οὐδὲν ἧττον πάλιν ἡ ἁμαρτία τῆς σαρκὸς ἐβασίλευσεν ἐμμένουσα (54), καὶ μὴ ἐκβληθεῖσα ἐξ αὐτῆς. Ἀλλὰ ὁ Ἀπόστολος ἐναντιοῦται τούτοις πρὸ ὀλίγων τούτων φάσκων· Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ἐν Χριστῷ (55) ἡμεῖς ἐκτίσθημεν, οὐκ ἔστιν ἄρα αὐτὸς ὁ κτιζόμενος, ἀλλ' ἡμεῖς ἐσμεν ἐν αὐτῷ κτιζόμενοι (56)· καὶ δι' ἡμᾶς ἐστιν ἡ τοῦ, Ἔκτισε, φωνή. Διὰ γὰρ τὴν ἡμῶν χρείαν, καίτοι κτίστης ὢν ὁ Λόγος, ὑπέμεινε, καὶ τὴν τῶν κτιζομένων φωνὴν (57)· καὶ οὐκ ἔστιν αὐτοῦ, ᾗ Λόγος ἐστίν, ἰδία ἡ φωνή· ἀλλ' ἡμῶν τῶν ἐν αὐτῷ κτιζομένων ἐστὶ τὸ, ἔκτισε. Καὶ ὥσπερ Πατρὸς ὄντος ἀεί, ἀεί ἐστι καὶ ὁ τούτου Λόγος, καὶ ὢν ἀεί, λέγει· Ἐγὼ ἦμην, ᾗ προσέχαιρε· καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ· καὶ, Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί· οὕτως ὅτε διὰ τὴν ἡμῶν χρείαν γέγονεν ἄνθρωπος, ἀκολούθως τὰ ἡμῶν, ὡς ἡμεῖς, αὐτὸς λέγει (58)· Κύριος ἔκτισέ με· ἵνα, αὐτοῦ ἐνοικήσαντος ἐν τῇ σαρκί, τελείως ἡ ἁμαρτία ἐξωσθῇ τῆς σαρκὸς, καὶ ἡμεῖς ἐλεύθερον ἔχωμεν τὸ φρόνημα. Τί δὲ ἔδει γενόμενον αὐτὸν ἄνθρωπον εἰπεῖν ; Ἐν ἀρχῇ ἦμην ἄνθρωπος ; ἀλλ' οὔτε γε ἥρμοζεν (59) αὐτῷ τοῦτο, οὔτε ἀληθὲς ἦν. Ὥσπερ δὲ τοῦτο οὐκ ἔπρεπεν εἰπεῖν, οὕτως οἰκεῖον καὶ ἴδιον ἐπ' ἀνθρώπου ἐστὶ λέγειν τὸ (60), Ἔκτισε, καί, ἐποίησεν αὐτόν. Διὰ τοῦτο γοῦν καὶ ἡ αἰτία τοῦ, Οὕτω δὴ ἡμῶν. Cæteri mss., Οὕτω δὲ ἡμῶν.

B 56. Nam si, ut illi sentiunt, quasi natura Verbi creata esset, dicit, *Dominus creavit me*, utpote qui sit creatus : sane non propter nos creatus erit dicendus. Si vero ille propter nos non non est creatus : in ipso non creati sumus : quod si in illo creati non sumus, eum igitur non in nobis sed extra nos haberemus, ut si nimirum doctrinam ab eo tanquam a magistro accepissemus. Quod si ita de nobis se res habet, proculdubio carnis peccatum, nihilominus quam antea, regnare perseverat, nec ex illa expulsum est. Verum his adversatur Apostolus, qui paulo ante ita ait : *Ipsius enim opus sumus creati in Christo Jesu*[71]. Si ergo nos in Christo creati sumus, non igitur ille est qui creatur, sed nos ipsi sumus qui in illo creamur, nostrique causa vox illa, *creavit* scripta est. Nam nostram ob necessitatem Verbum, etiamsi sit creator, vocem tamen rerum creatarum non renuit, nec ista vox ejus propria est, quatenus est Verbum, sed nostrum est istud vocabulum, *creavit*, qui nempe in eo creamur. Ac quemadmodum ut Pater est semper, ita etiam ejus Verbum semper est, et quatenus est semper dicit : *Ergo eram quæ delectabatur : ego vero per singulos dies ante faciem ejus lætabar*[72] ; et : *Ego in Patre et Pater in me est*[73] : sic cum nostræ necessitatis causa factus est homo, conveniente admodum, ut nos, quæ nostra sunt usurpat ipse, nempe, *Dominus creavit me*, ut eo in carne habitante, peccatum ex carne penitus exterminaretur, et nos liberum sensum haberemus. Ecquid vero illum hominem factum loqui decebat? In principio eram homo? At minime hoc ei congruebat, nec verum erat. Ut autem cum ita loqui dede-

C

[69] Prov. VIII, 22. [70] ibid. [71] Ephes. II, 10. [72] Prov. VIII, 30. [73] Joan. XIV, 18.

(50) Sic Seguer. Reg. Gobler. Felck. 1 et 5. At Basil. et Anglic., ἄρα λέγεται φορῶν. Omnes mss. ibidem habent ὡς αὐτός ἐστι. Editi, ἄρα λέγεται ὡς φορῶν τοὺς δύο ἐν αὐτῷ, αὐτός ἐστι κτισθείς. Anglic. et Reg. ibid., ἐν ἑαυτῷ.

(51) Sic Seguer. et Reg. At Felck. 2, et editio Commel., Οὕτω δύο κτισθέντων. Cæteri, οὕτω τῶν δύο, etc. Mox Seguer. Reg. Felck. 1 et 4, λέγοιτο· Κύριος.

(52) Seguer. Reg. Basil. Anglic. Gobler. Felck. 1 et 4, ἐβάπταξεν. Cæteri et editi, ἐβάστασεν. Ibidem Seguer., ἐν ἑαυτῷ. Item ibidem Seguer. Gobler. Felck. 1 et 4, λεγέτω. Reg., λέγει. Editi et alii, λέγεται. Ὅτι ibidem deest in Reg. et Felck. 5. Seguer. item ibid., εἰς ἔργα.

(53) Sic Seguer. Gobler. Felck. 1, 4, 5, et Reg. Sed Reg. et Felck. 5, εἰ ἄρα αὐτοῦ. Editio Commel., εἴχομεν ἄρα αὐτῷ τὴν μάθησιν ὡς παρὰ διδασκάλου. Οὕτω δὴ ἡμῶν. Seguer. et Felck. 2, habent item

D

(54) Seguer., ἐβασίλευε μένουσα. Ibidem iidem et Gobler. Felck. 1 et 4, ἀπ' αὐτῆς.

(55) Seguer., ἐν τῷ Χριστῷ.

(56) Seguer. Gobler. Felck. 1 et 4, οἱ κτιζόμενοι.

(57) Sic Seguer. Gobler. et Felck. 1. At alii et editi, ἰδίαν φωνήν. Quæ sequuntur ibidem, exstant in Seguer. Gobler. Felck. 1 et 4. At in aliis et editis sic legitur, ἰδίαν φωνὴν, τὸ ἔκτισεν. Ὥσπερ δὲ τοῦ Πατρὸς ὄντος ἀεί, ἔστι δὲ ὁ τούτου Λόγος ὢν ἀεὶ, καὶ ὢν ἀεὶ, λέγει. Seguer. ibidem habet Λόγος καὶ ὢν ἀεὶ λέγει.

(58) Basil., αὐτὰ λέγει. Ibidem Anglic. omittit Κύριος ἔκτισέ με.

(59) Seguer., οὔτε ἥρμοζεν.

(60) Sic Seguerianus et Felck. 4. In aliis et editis deest ἐστί.

cebat, sic proprium est et, conveniens de homine dici, *creavit*, et *fecit ipsum*. Hinc etiam causa cur hujusmodi dictio, *creavit*, adhibeatur, adjuncta est, quæ nempe operum est necessitas. Ubi porro adjecta causa est, ea lectionis difficultatem penitus tollit. Namque hic causam, cur vox, *creavit*, sit adhibita, *opera* assignat. At cum de ejus ex Patre generatione sermo aperte habetur, mox subditur : *Ante omnes colles gignit me*[74]. Causa utique hic non additur, ut in voce, *creavit*, ubi subjungitur, *in opera* : sed absolute dicitur, *gignit me*, ut et illud, *In principio erat Verbum* [75]. Nam etiamsi nulla fuissent creata opera, nihilominus Verbum Dei erat, et Deus erat Verbum. Ipsum autem Verbum nequaquam homo factus esset, nisi causa fuisset hominum necessitas. Itaque Filius res creata non est : nam si res creata esset, non dixisset, *Gignit me* : cum res creatæ externa sint effectoris opera, res autem genitæ non sint quid externum, ut opus, sed sunt ex Patre, cujus naturæ sunt quid proprium. Hinc illæ. res sunt creatæ ; hic vero Verbum Dei et Filius Unigenitus est.

A ἔκτισε, πρόσκειται, ἥτις ἐστὶ τῶν ἔργων ἡ χρεία. Ἔνθα δὲ ἡ αἰτία πρόσκειται, αὐτὴ ἡ αἰτία πάντως διαλύει τὸ ἀνάγνωσμα καλῶς. Καὶ γὰρ καὶ ἐνταῦθα ἐν μὲν τῷ, ἔκτισε (61), τὴν αἰτίαν τίθησι τὰ ἔργα· τὴν δὲ ἐκ τοῦ Πατρὸς γέννησιν ἀπολελυμένως σημαίνων, εὐθὺς ἐπήγαγε· Πρὸ δὲ πάντων βουνῶν (62) γεννᾷ με· οὐ διά τί, ὥσπερ ἐπὶ τοῦ, ἔκτισέ με, προσέθηκε λέγων, εἰς ἔργα, ἀλλὰ ἀπολελυμένως, γεννᾷ με, ὥσπερ τὸ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος (63)· καὶ γὰρ καὶ εἰ μὴ τὰ ἔργα ἔκτιστο, ἀλλ' ἦν ὁ Λόγος τοῦ Θεοῦ, καὶ Θεὸς ἦν ὁ Λόγος. Τὸ δὲ γενέσθαι αὐτὸν ἄνθρωπον οὐκ ἂν ἐγένετο, εἰ μὴ τῶν ἀνθρώπων ἡ χρεία γέγονεν αἰτία. Οὐκ ἔστιν ἄρα κτίσμα ὁ Υἱός· εἰ γὰρ κτίσμα ἦν, οὐκ ἂν εἶπε, Γεννᾷ με· ὅτι τὰ μὲν κτίσματα ἔξωθέν ἐστιν ἔργα τοῦ ποιοῦντος, τὸ δὲ γέννημα οὐκ ἔξωθεν, ὡς
B ἔργον, ἀλλ' ἐκ τοῦ Πατρός ἐστιν ἴδιον τῆς οὐσίας. Διόπερ τὰ μὲν κτίσματα, ὁ δὲ Λόγος (64) τοῦ Θεοῦ Υἱὸς μονογενής.

57. Sane Moyses de rebus creatis non dixit, In principio genuit, neque, In principio erat, sed, *In principio Deus fecit cœlum et terram* [76]. Nec item David canebat, *Manus tuæ* genuerunt me, sed, *fecerunt me et formaverunt me* [77]; qui idem ubique de rebus creatis loquens, verbo *fecit* utitur, non autem, ubi de Filio illi est sermo. Nec enim dixit *feci*, sed *genui* [78], et *gignit me*, et *Eructavit cor meum Verbum bonum* [79]. Igitur de rebus creatis dicitur, *In principio fecit* [80], de Filio autem, *In principio erat Verbum* [81]. Id porro est discrimis, quod res creatæ
C sub principio sunt factæ, habentque exsistendi principium temporis distinctum intervallis, ita ut hæc verba, *In principio fecit*, idem valeant ac si diceretur *A principio fecit*, quemadmodum Dominus, qui quod fecerat, recte ipse noverat; docuit, cum Pharisæos his confutavit verbis, *Qui illos a principio creavit, masculum et feminam fecit eos* [82]. Res enim factæ ab aliquo principio, cum aliquando non essent, et conditæ sunt et creatæ, quod ipse Spiritus sanctus ita in psalmis declaravit, *Et tu secundum principia, Domine, terram fundasti* [83]; et iterum :

57. Ἀμέλει ἐπὶ μὲν τῆς κτίσεως οὐκ εἴρηκε Μωσῆς· Ἐν ἀρχῇ ἐγέννησεν, οὐδὲ, Ἐν ἀρχῇ ἦν· ἀλλ', Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· οὐδὲ ὁ Δαβὶδ ἔψαλεν (65)· Αἱ χεῖρές σου ἐγέννησάν με, ἀλλ', ἐποίησάν με καὶ ἔπλασάν με, πανταχοῦ τὸ, ἐποίησεν, ἐπὶ τῶν κτισμάτων λέγων· ἐπὶ δὲ τοῦ Υἱοῦ τὸ ἔμπαλιν· οὐ γὰρ εἴρηκεν, ἐποίησα (66), ἀλλ', ἐγέννησα, καὶ, γεννᾷ με, καὶ, Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν· καὶ ἐπὶ μὲν τῆς κτίσεως, Ἐν ἀρχῇ ἐποίησεν, ἐπὶ δὲ τοῦ Υἱοῦ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Διαφέρει δὲ τοῦτο, ὅτι τὰ μὲν κτίσματα ὑπὸ τὴν ἀρχὴν πεποίηται, καὶ διαστηματικὴν ἀρχὴν τοῦ εἶναι ἔχει (67)· διόπερ καὶ τὸ λεγόμενον ἐπ' αὐτῶν, Ἐν ἀρχῇ ἐποίησεν, ἴσον ἐστὶ τῷ εἰπεῖν πάλιν ἐπ' αὐτῶν τὸ, Ἀπ' ἀρχῆς ἐποίησεν, ὥσπερ ὁ Κύριος, εἰδὼς ὅπερ ἐποίησεν, ἐδίδαξεν, ὅτε τοὺς Φαρισαίους ἐνέτρεπε λέγων· Ἀπ' ἀρχῆς δὲ ὁ κτίσας (68) αὐτοὺς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Ἀπὸ γὰρ ἀρχῆς τινος τοῦ μὴ εἶναί ποτε γέγονε καὶ ἐκτίσθη τὰ γενητά (69). Τοῦτο καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐσήμαινεν ἐν ψαλμοῖς λέγον· Καὶ σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας· καὶ πάλιν (70)· Μνήσθητι τῆς συναγωγῆς

[74] Prov. VIII, 25. [75] Joan. I, 1. [76] Genes. I, 1. [77] Psal. CXVIII, 73. [78] Psal. II, 7; CIX, 3. [79] Psal. XLIV, 2. [80] Genes. I, 1. [83] Matth. XIX, 4. [83] Psal. CI, 26.

(61) Seguerianus, Regius, Felc. 4 et 5, τῷ ἔκτισε. Gobler. et Felck. 1, τὸ ἔκτισε. Editi et alii, τῷ κτίσαι. Mox Seguerian. et Reg., ἐκ Πατρός.

(62) Sic Seguerianus, Regius, Anglic. Felc. 4 et 5, ut et Scriptura. Cæteri et editi, πάντων τῶν βουνῶν. Mox Seguerianus, Goblerian. Felc. 1 et 4, εἰς ἔργα. Editi et alii, εἰς τὰ ἔργα.

(63) Felc. 2, et editio Commel., γεννᾷ με· ὥσπερ τό· ἐν ἀρχῇ ἦν ὁ Λόγος. Τὸ δὲ γενέσθαι αὐτὸν ἄνθρωπον.

(64) Seguerian. Beg, Anglican. Goblerian. Felck. 1, 4 et 5, ὁ δὲ Λόγος. Basil., τὸ δὲ Λόγος. Cæteri et editi, τὰ δὲ Λόγος. Mox Seguerian. et Felc. 4, οὐκ εἶπε Μωσῆς. Ibidem Goblerian. et Felc. 1, omittunt, οὐδὲ ἐν ἀρχῇ ἦν.

(65) Seguerian., οὐδὲ Δαβὶδ δὲ ἔψαλλεν. Ibidem idem et Goblerian. Felc. 1 et 4 addunt, καὶ ἔπλασε, quæ in aliis et editis desunt. Item ibidem Seguerian. et Reg., ἐποίησεν ἐπὶ τῶν, etc. Alii et
D editi, ἐποίησέ με ἐπὶ τῶν.

(66) Sic Seguerian. Gobleri. Felck. 1 et 4. At Reg., ὅτι ἐποίησα. Editi et alii, ὅτι καὶ ἐποίησα.

(67) Seguerian. et Basil., τοῦ εἶναι ἔχει τὸ, Ἐν ἀρχῇ ἐποίησεν. Ἴσον γάρ ἐστι τῷ εἰπεῖν. Goblerian. et Felc. 1, τοῦ εἶναι ἔχει τὸ, Ἐν ἀρχῇ ἐποίησεν, ἐπὶ δὲ τοῦ Υἱοῦ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ἴσον ἐστὶ τῷ εἰπεῖν. Ibid. Felc. 4, τὸ λεγόμενον ἐπ' αὐτοῖς. Mox Seguerian. Goblerian. Felc. 1 et 4, ὥσπερ ὁ Κύριος. Editio Commel., ὅπερ.

(68) Seguerian., ἀπ' ἀρχῆς ὁ κτίσας.

(69) Felc. 5, γεννητά. Ibid. Seguerian., τὸ Πνεῦμα τὸ ἅγιον ἐσήμαινεν. Goblerian. et Felc. 1, Πνεῦμα διὰ τοῦ Δαβὶδ ἔφη, καὶ σὺ κατ' ἀρχάς. Editi, Πνεῦμα ἐσήμανεν, etc.

(70) Goblerian. et Felc. 1, πάλιν omittunt. Idem ibidem, Anglican. et Felc. 4, ἧς ἐκτίσω.

σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς. Δῆλον δέ ἐστιν ὅτι τὸ κατ' ἀρχὰς γινόμενοτ ἀρχὴν ἔχει τοῦ κτίζεσθαι, καὶ ὅτι τὴν συναγωγὴν ἀπό τινος ἀρχῆς ἐκτήσατο (71) ὁ Θεός. Ὅτι δὲ τὸ, Ἐν ἀρχῇ ἐποίησεν, ἐκ τοῦ λέγειν, ἐποίησεν, τὸ ἤρξατο ποιεῖν ἐστιν, αὐτὸς Μωσῆς τοῦτο δηλοῖ μετὰ τὴν (72) τῶν πάντων τελεσιουργίαν λέγων· Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτὴν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι. Οὐκοῦν τὰ μὲν κτίσματα ἤρξατο (73) γίνεσθαι· ὁ δὲ τοῦ Θεοῦ Λόγος, οὐκ ἔχων ἀρχὴν τοῦ εἶναι, εἰκότως οὐκ ἤρξατο τοῦ εἶναι, οὐδὲ ἤρξατο γίνεσθαι, ἀλλ' ἦν ἀεί. Καὶ τὰ μὲν ἔργα ἀρχὴν ἐν τῷ ποιεῖσθαι ἔχει, καὶ προάγει τῶν γινομένων ἡ ἀρχή· ὁ δὲ Λόγος, οὐκ ὢν τῶν γινομένων, μᾶλλον τῶν ἀρχὴν (74) ἐχόντων αὐτὸς δημιουργὸς γίνεται. Καὶ τῶν μὲν γενητῶν τὸ εἶναι ἐν τῷ γίνεσθαι μετρεῖται, καὶ ἀπό τινος ἀρχῆς ἄρχεται ταῦτα διὰ τοῦ Λόγου (75) ποιεῖν ὁ Θεὸς, ἵνα καὶ τὸ μὴ εἶναι, πρὶν γενέσθαι, ταῦτα γινώσκηται· ὁ δὲ Λόγος τὸ εἶναι οὐκ ἐν ἄλλῃ ἀρχῇ ἔχει, ἀλλ' ἐν τῷ Πατρὶ, τῷ καὶ κατ' ἐκείνους (76) ἀνάρχῳ, ἵνα καὶ αὐτὸς ἀνάρχως ὑπάρχῃ ἐν τῷ Πατρὶ, γέννημα καὶ οὐ κτίσμα τυγχάνων αὐτοῦ.

A *Memor esto congregationis tuæ quam possedisti a principio*[84]. Manifestum autem est id quod fit *secundum principia*, principium habere ex quo creatur, et Deum congregationem ab aliquo possedisse principio. Jam quod hæc verba, *In principio fecit*, ex eo quod dicitur, *fecit*, idem sit ac *cœpit facere*, ipse docet Moyses, qui post absolutam rerum omnium creationem sic loquitur : *Et benedixit Deus diei septimo, et sanctificavit illum, quia in ipso cessaverat ab omnibus operibus suis quæ cœpit Deus facere*[85]. Itaque res creatæ **416** fieri cœperunt. At Dei verbum cum principium, ex quo sit, nullum habeat, merito nec esse nec fieri cœpit, sed semper fuit. Opera igitur principium, cum fiunt, habent, quod quidem principium rebus, quæ fiunt, prius est : Verbum autem cum non sit ex numero rerum quæ fiunt, ipse potius rerum principium B habentium effector est. Deinde, ipsum esse sive natura rerum factarum, in eo ipso quod fiant, modum et mensuram habet, easque Deus ab aliquo principio per Verbum facere incepit, ut nempe esset perspicuum illas non fuisse priusquam fierent. At Verbum non in alio principio habet ut sit quam solo in Patre, qui, ut illi etiam consentiunt, principii est expers, ut ipse quoque Filius sine principio exsistat in Patre, a quo genitus est, non autem creatus.

58. Οὕτως ἄρα ἡ θεία Γραφὴ τὴν διαφορὰν τοῦ γεννήματος οἶδε καὶ τῶν ποιημάτων, καὶ τὸ μὲν γέννημα Υἱὸν, οὐκ ἀπό τινος ἀρχῆς ἀρξάμενον, ἀλλ' ἀΐδιον δείκνυσι· τὸ δὲ ποίημα, ὡς ἔξωθεν ἔργον τοῦ πεποιηκότος τυγχάνον, ἀρξάμενον τοῦ γίνεσθαι σημαίνει (77). Οὕτω γὰρ καὶ ὁ Ἰωάννης, περὶ τοῦ Υἱοῦ θεολογῶν, καὶ γινώσκων τὴν τῶν λέξεων διαφορὰν, οὐκ εἶπεν· Ἐν C ἀρχῇ γέγονεν, ἢ πεποίηται, ἀλλ', Ἐν ἀρχῇ ἦν ὁ Λόγος· ἵνα τὸ γέννημα τῷ, ἦν (78), συνεξακούηται, καὶ μὴ ἐν διαστάσει τις λογίσηται, ἀλλ' ἀεὶ καὶ ἀϊδίως ὑπάρχοντα τὸν Υἱὸν πιστεύῃ. Τούτων δὲ οὕτω δεικνυμένων, πῶς, ὦ Ἀρειανοὶ (79), μὴ νοήσαντες τὰ ἐν τῷ Δευτερονομίῳ ῥητὰ καὶ ἐν τούτῳ πάλιν ἀσεβεῖν εἰς τὸν Κύριον ἐτολμήσατε (80) λέγοντες, ποίημα, ἢ κτίσμα, ἤτοι γέννημα εἶναι αὐτόν ; Ταὐτὸν γὰρ τὸ γέννημα καὶ τὸ ποίημα σημαίνειν φάσκετε· καὶ ἐντεῦθεν γὰρ οὐδὲν ἧττον ἀπαίδευτοι καὶ ἀσεβεῖς γνωσθήσεσθε. Τὸ μὲν γὰρ πρῶτον ῥητόν ἐστι τοῦτο· Οὐκ αὐτὸς οὗτός σου Πατὴρ ἐκτήσατό (81) σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε ; καὶ μετ' ὀλίγα ἐν τῇ αὐτῇ Ὠδῇ φησί· Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου (82)

58. Id igitur inter eum qui genitus est et res factas discrimen novit divina Scriptura, quæ et eum qui genitus est, Filium esse nec ab aliquo cœpisse principio, sed æternum esse declarat ; rem autem factam, tanquam opus extra effectorem exsistens, fieri incepisse docet. Hinc enim Joannes de Filio disserens nec horum vocabulorum ignorans differentiam, non dixit : In principio factus aut formatus est, sed, *In principio erat Verbum*, ut per hanc vocem, *erat*, genitus esse agnosceretur, nullusque temporum fingeret intervalla, sed semper et ab æternitate Filium exstitisse crederemus. Quæ cum ita esse probatum sit, qui fit, o Ariani, ut his, quæ in Deuteronomio habentur, non intellectis, rursus impii in Dominum esse audeatis, cum dicitis illum factum vel creatum sive genitum esse ? Contenditis enim rem genitam et rem factam idem significare ? At nihilo secius ex hoc ipso loco, imperitiæ et impietatis convincemini. Itaque hic est primus, de quo agitur, locus : *Nunquid non hic ipse Pater tuus possedit te, et fecit te, et creavit te*[86] ? Et paulo post in

[84] Psal. LXXIII, 2. [85] Genes. II, 3. [86] Deut. XXXII, 6.

(71) Anglican. Gobler. Felc. 1 et 5, ἐκτίσατο.

(72) Sic Seguerian. In aliis et editis τῶν deest.

(73) Seguer. et Reg., ἤρξατο. Editi et alii, ἤρξαντο. Paulo post Seguer., ἤρξατο εἶναι. Felc. 4, ἤρξατο οὐδέ, etc.

(74) Seguer. Gobler. et Felc. 1, τῶν ἀρχήν. Editi et alii, τῶν τὴν ἀρχήν.

(75) Felc. 2, editio Commel. omittunt διὰ τοῦ Λόγου. Ibid. Seguer., ἵνα καὶ τὸ μὴ εἶναι. In aliis et editis deest καί.

(76) Seguer.. τῷ καὶ κατ' ἐκείνους. Editi et alii, τῷ κατ' ἐκείνους. Ibidem Seguer. et Regius, αὐτὸς ἀνάρχως. Cæteri et editi, αὐτὸς ἀναρχος.

(77) Gobler. et Felc. 1, γίνεσθαι τυγχάνειν σημαίνει. Ibid. Seguer., Οὕτως γὰρ καί. Alii et editi, D οὕτως καί.

(78) Sic Seguer. et Felc. 4. At editi et alii, Ἵνα τῷ γεννήματι τὸ, Ἦν.

(79) Sic Seguer. At alii et editi ὦ omittunt. Mox Seguer., ῥητά. Cæteri et editi, ῥήματα.

(80) Reg. et Felc. 5, ἐτόλμησαν. Ibid. Seguer. et Felc. 4, λέγοντες ποίημα. Alii et editi, λέγοντες ἢ ποίημα· Item ibidem Seguer. et Felc. 4, ἤτοι γέννημα, quanquam iidem cum aliis mox habent, Ταὐτὸν γὰρ τὸ γέννημα.

(81) Regius et Felckman. 5, ἐκτίσατο, quod item vertit Nannius.

(82) Sic Seguer. Reg. Gobler. Felc. 1 4 et 5. At alii et editi, ἀπελάθου. Mox Seguer., τυγχανουσά ἐστι.

eodem Cantico : *Deum qui te genuit dereliquisti, et oblitus es Dei te nutrientis* [87] ? Quorum quidem verborum sententia admirabilis plane est. Nec enim primum dixit : *genuit*, ne id vocabulum idem posset significare ac *fecit*, indeque ansam illi haberent ita loquendi : Moyses quidem narravit Deum a principio dixisse, *Faciamus hominem* [88] : idem autem post hæc dixit : *Deum qui te genuit dereliquisti* [89], utpote cum hæ voces utrumque promiscue significent : siquidem idem est res genita ac facta. Verum post verba, *possedit*, et, *fecit*, addidit verbum, *genuit*, ut oratio suam secum interpretationem haberet. Nam dictione, *fecit*, vere id quod naturæ hominum proprium est significat, eos nempe facta esse opera : at dictione, *genuit*, summam Dei erga homines benignitatem postquam illos creavit indicat, in quam quia se præbuerunt ingratos, eos merito objurgat Moyses. Hinc primo ait : *Hæccine Domino rependitis ?* Deinde subjungit : *Nunquid non hic ipse Pater tuus possedit te, fecit te, et creavit te* [90] ? **417** Postea vero pergit : *Immolaverunt dæmoniis et non Deo, diis quos ignorabant. Novi recentesque venerunt quos non coluerunt patres eorum. Deum qui te genuit dereliquisti* [91].

59. Deus enim non tantum hominem creavit, sed etiam filios vocavit, tanquam si illos genuisset. Nam vox, *genuit*, filium indicat, uti per prophetam dicit, *Filios genui et exaltavi* [92]. Quocirca quoties Scriptura de Filio loquitur, non vocem, *creavi*, usurpat, sed vocem, *genui*. Id videtur Joannes his verbis significare [93] : *Dedit eis potestatem filios Dei fieri his qui credunt in nomen ejus, qui non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo geniti sunt* : quæ verba e re fuerit observare. Siquidem verbum, *fieri*, adhibet quia non natura, sed adoptione filii esse dicuntur : dictione autem, *geniti sunt*, usus postea est, quia illi quoque nomen filii acceperunt. Sed populus, ut ait propheta [94], repulit benefactorem. Hæc est autem Dei benignitas,

A Θεοῦ τοῦ τρέφοντος σε. Ἡ δὲ διάνοια πάνυ θαυμαστή, τυγχάνει οὖσα. Οὐ γὰρ εἴρηκε πρῶτον, τὸ ἐγέννησεν (83), ἵνα μὴ ἀδιάφορος ἡ λέξις ᾖ πρὸς τὸ, ἐποίησε, καὶ πρόφασιν εὔρωσιν οὗτοι λέγειν (84)· **Μωσῆς** ἐξ ἀρχῆς μὲν εἶπεν εἰρηκέναι τὸν **Θεόν· Ποιήσωμεν** ἄνθρωπον· αὐτὸς δὲ μετὰ ταῦτα ἔφησε· Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες· ὡς ἀδιαφόρων τῶν λέξεων οὐσῶν· ταὐτὸν γὰρ τὸ γεννημα (85) καὶ ποίημά ἐστιν. Ἀλλὰ μετὰ τὸ, ἐκτήσατο, καὶ, ἐποίησε, λοιπὸν ὕστερον τὸ, ἐγέννησεν, ἐπήγαγε, ἵνα καὶ ἑρμηνείαν ὁ Λόγος ἔχων φανῇ. Ἐν μὲν γὰρ τῷ, ἐποίησεν, ἀληθῶς σημαίνει τῶν ἀνθρώπων τὸ κατὰ φύσιν, ὅτι ἔργα τέ ἐστι καὶ ποιήματα· ἐν δὲ τῷ, ἐγέννησε, δηλοῖ τὴν τοῦ Θεοῦ γενομένην εἰς ἀνθρώπους μετὰ τὸ κτίσαι αὐτοὺς φιλανθρωπίαν· καὶ ἐπειδὴ (86) ἀχάριστοι γεγόνασιν ἐπὶ ταύτῃ, λοιπὸν **Μωσῆς** ὀνειδίζων B αὐτοὺς πρῶτον μέν φησι· Ταῦτα Κυρίῳ (87) ἀνταποδίδοτε; εἶτα ἐπάγει. Οὐκ αὐτὸς οὗτός σου **Πατὴρ** ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε ; Καὶ δεύτερον πάλιν λέγει· Ἔθυσαν δαιμονίοις καὶ οὐ **Θεῷ**, θεοῖς οἷς οὐκ ᾔδεισαν. Καινοὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν (88) οἱ πατέρες αὐτῶν· Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες.

59. Ὁ μὲν γὰρ Θεὸς οὐ μόνον ἀνθρώπους αὐτοὺς ἔκτισεν, ἀλλὰ καὶ υἱοὺς ἐκάλεκεν, ὡς γεννήσας αὐτούς. Τοῦ γὰρ υἱος (89), καὶ ὧδε σημαντικόν ἐστι τὸ ἐγέννησεν· ὡς καὶ διὰ τοῦ προφήτου φησίν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· καὶ ὅλως ὅτε ἡ **Γραφὴ** υἱὸν σημᾶναι βούλεται, οὐ διὰ τῆς, ἔκτισα, **ἀλλὰ πάντως** διὰ τῆς, ἐγέννησα, λέξεως σημαίνει· **Καὶ** τοῦτο πάλιν Ἰωάννης φαίνεται λέγων (90)· **Ἔδωκεν** αὐτοῖς C ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἱ οὐκ ἐξ αἱμάτων, **οὐδὲ** ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος **ἀνδρὸς**, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· πάνυ καλῶς **ἐχούσης** καὶ (91) ἐνταῦθα τῆς παρατηρήσεως. **Τὸ μὲν** γὰρ, **γενέσθαι**, διὰ τὸ μὴ φύσει, ἀλλὰ θέσει αὐτοὺς (92) λέγεσθαι υἱούς φησι· τὸ δὲ, **ἐγεννήθησαν**, διὰ τὸ

[87] Deut. xxxii, 18. [88] Genes. i, 26. [89] Deut. xxxii, 18. [90] ibid. 6. [91] ibid. 17, 18. [92] **Isa.** i, 2. [93] **Joan.** i, 12, 13. [94] Isa. i, 3.

(83) Seguer. Reg. et Felc. 4, ἐγέννησεν. Editi et alii, **ἐγέννησα**.

(84) Sic Seguer., Gobler. Felc. 1 et 4. At editi et alii, καὶ λέγωσι. Μωσῆς μὲν ἐξ ἀρχῆς οὕτως εἶπεν **εἰρηκέναι**. Mox Seguer Reg. Gobler. Felc. 1, 4 et 5, αὐτὸς δὲ μετὰ ταῦτα. Editi et alii, αὐτὸς καὶ μετὰ ταῦτα. Seguer. ibid., πάλιν ἔφησε.

(85) Seguer., τὸ γέννημα. Gobler. Felc. 1 et 4, τὸ γέννημα. In aliis et editione Commel., deest τό. Mox pro, ἐκτήσατο, ut habent editio Commel. et mss. aliquot : Seguer. Anglic. Gobler. Felc. 1 et 5, habent, ἐκτίσατο Ibid. Reg. ὕστερον ἐπάγει.

(86) Felc. 4, καὶ λοιπὸν ἐπειδή.

(87) Regius, Basili. et Anglic., ταῦτα τῷ κυρίῳ. Ibid. Seguer. Anglic. Gobler et Felc. 1 et 4. εἶτα ἐπάγει· Οὐκ αὐτός, etc. At alii et editio Commel. omittunt, εἶτα ἐπάγει. Item ibid. Gobler. Felc. 1 et 4, ἐκτίσατό σε. Ibidem Seguer. Felc. 4, καὶ ἐποίησέ σε· καὶ δεύτερον, etc. Felc. 5, ἐποίησέ σε· καὶ ἔπλασέ σε. Καὶ μετ' ὀλίγα ἐν τῇ αὐτῇ Ὠδῇ φήσιν, Ἔθυον· Gobler. et Felc. 1, ἐποίησέ σε. Καὶ πάλιν· Ἔθυον. Seguer. ibid. et Scriptura, ἔθυσαν. Alii et editi, Ἔθυον.

(88) Sic Seguer. Gobler. **Felc. 1 et 4. Anglic.** et Reg. quarum tres ultimi habent **καινοί, et, οὓς οὐκ ᾔδεισαν.** Sed alii et editi sic hunc locum habent, **θεοῖς οἷς οὐκ ᾔδεισαν** οἱ πατέρες αὐτῶν, aliis omissis. **Ibidem Felc. 4,** post ἐγκατέλιπες, addit καὶ ἐπελάθου τοῦ **τρέφοντός** σε. D

(89) Reg. Gobler. Felc. 1, Τὸ γὰρ **Υἱός.**

(90) Sic Seguer. Gobler. Felc. 1 et 4. **Alii vero** et editi, οἷόν Ἰωάννης λέγων. **Mox Seguer. Gobler.** Felc. 1 et 4, addunt, τοῖς πιστεύουσιν εἰς τὸ **ὄνομα** αὐτοῦ, quæ in aliis et editione **Commel. desunt.** Solus Seguer. ibidem habet, **οὐδὲ ἐκ θελήματος** σαρκός.

(91) Sic Seguer. Reg. Basili. **Anglic. Felc.** quartus et quintus. At in aliis et editis **deest καί. Mox** Seguer. et Felc. 4, Τὸ μὲν γὰρ **γενέσθαι**, Editio Commel. et alii mss., Τὸ μὲν **γενέσθαι.**

(92) Sic Seguer. Reg. Basili. **et Felc. 4. At alii et** editio Commel., αὐτοῦ.

ὅλως ὄνομα υἱοῦ καὶ αὐτοὺς εἰληφέναι, εἴρηκεν. Ἀλλ' ὁ λαὸς, ὡς ὁ προφήτης φησὶν, ἠθέτησαν τὸν εὐεργέτην. Αὕτη δὲ (93) τοῦ Θεοῦ φιλανθρωπία ἐστὶν, ὅτι ὧν ἐστι ποιητὴς, τούτων καὶ πατὴρ κατὰ χάριν ὕστερον γίνεται· γίνεται δὲ, ὅταν οἱ κτισθέντες ἄνθρωποι, ὡς εἶπεν ὁ Ἀπόστολος, λάβωσιν εἰς τὰς καρδίας ἑαυτῶν τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ κρᾶζον (94), Ἀββᾶ, ὁ Πατήρ. Οὗτοι δέ εἰσιν ὅσοι, δεξάμενοι τὸν Λόγον, ἔλαβον ἐξουσίαν παρ' αὐτοῦ τέκνα Θεοῦ γενέσθαι· ἄλλως γὰρ οὐκ ἂν (95) γένοιτο υἱοὶ, ὄντες φύσει κτίσματα, εἰ μὴ τοῦ ὄντος φύσει καὶ ἀληθινοῦ Υἱοῦ τὸ Πνεῦμα ὑποδέξονται. Διὸ, ἵνα τοῦτο γένηται, ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα τὸν ἄνθρωπον δεκτικὸν θεότητος ποιήσῃ (96). Ταύτην τὴν διάνοιαν καὶ παρὰ Μαλαχίου τοῦ προφήτου μαθεῖν ἔξεστι λέγοντος· Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; Οὐχὶ πάντων ὑμῶν εἷς πατήρ; Καὶ ἐνταῦθα γὰρ πάλιν πρῶτον τὸ, ἔκτισε, καὶ δεύτερον τὸ, πατὴρ, ἔθηκεν, ἵνα δείξῃ καὶ αὐτὸς (97), ὅτι ἐξ ἀρχῆς μὲν κατὰ φύσιν ἐσμὲν κτίσματα, καὶ κτίστης ἡμῶν ἐστιν ὁ Θεὸς διὰ τοῦ Λόγου, ὕστερον δὲ υἱοποιούμεθα, καὶ λοιπὸν ὁ κτίστης Θεὸς γίνεται καὶ πατὴρ ἡμῶν. Οὐκοῦν τὸ, Πατὴρ, τοῦ Υἱοῦ ἐστιν ἴδιον (98), καὶ οὐ τὸ κτίσμα ἀλλὰ τὸ, Υἱὸς, τοῦ Πατρός ἐστιν ἴδιον. Ὥστε καὶ ἐκ τούτου δείκνυσθαι μὴ εἶναι ἡμᾶς φύσει υἱοὺς, ἀλλὰ τὸν ἐν ἡμῖν Υἱόν· καὶ μὴ εἶναι πάλιν ἡμῶν (99) φύσει πατέρα τὸν Θεὸν, ἀλλὰ τοῦ ἐν ἡμῖν Λόγου, ἐν ᾧ καὶ δι' ὃν κράζομεν, Ἀββᾶ, ὁ Πατήρ. Ὥσπερ δὲ τοῦτο, οὕτως ὁ Πατὴρ ἐν οἷς ἐὰν βλέπῃ τὸν ἑαυτοῦ Υἱὸν, τούτους καὶ αὐτὸς υἱοὺς καλεῖ, καὶ λέγει, ἐγέννησα· ἐπειδήπερ τὸ μὲν, γεννᾷν, σημαντικόν ἐστιν Υἱοῦ (1), τὸ δὲ, ποιεῖν, δηλωτικόν ἐστι τῶν ἔργων. Διὰ τοῦτο γοῦν ἡμεῖς οὐ πρῶτον γεννώμεθα, ἀλλὰ ποιούμεθα· γέγραπται γάρ· Ποιήσωμεν ἄνθρωπον· ὕστερον δὲ, δεξάμενοι τὴν τοῦ Πνεύματος χάριν, λεγόμεθα τό τε λοιπὸν καὶ γεννᾶσθαι. Ἀμέλει καὶ ἐν τῇ Ὠδῇ Μωσῆς ὁ μέγας μετὰ διανοίας καλῆς πρῶτον τὸ, ἐκτήσατο (2), καὶ ὕστερον τὸ, ἐγέννησεν, εἴρηκεν, ὑπὲρ τοῦ μὴ, ἀκούσαντας τὸ, ἐγέννησεν, ἐπιλαθέσθαι αὐτοὺς τῆς ἐξ ἀρχῆς ἑαυτῶν φύσεως, ἀλλ' ἵνα γινώσκωσιν, ὅτι ἐξ ἀρχῆς μέν εἰσι κτίσματα, ὅταν δὲ κατὰ χάριν λέγωνται γεννᾶσθαι, ὡς υἱοὶ, ἀλλ' οὐδὲν ἧττόν εἰσι πάλιν οἱ ἄνθρωποι ποιήματα κατὰ φύσιν.

60. Ὅτι δὲ οὐ ταὐτόν ἐστι κτίσμα καὶ γέννημα, ἀλλὰ διεστήκασιν ἀλλήλων τῇ τε φύσει καὶ τῇ ἐκ τῶν λέξεων σημασίᾳ, αὐτὸς ὁ Κύριος ἐν αὐταῖς ταῖς Παρ-

A quod quorum effector est, horum etiam pater gratia postea fiat, quod tunc contingit cum creati homines, ut ait Apostolus [95], Spiritum Filii ejus clamantem, *Abba*, *Pater*, in suis cordibus suscipiunt. Hi porro sunt qui, suscepto Verbo, potestatem ab eo accepere filios Dei fieri. Nec enim alio modo filii possunt fieri cum ex natura sua sint creati, nisi Spiritum ejus qui naturalis et verus est Filius acceperint. Quod ut fieret, Verbum caro factum est [96], ut hominem ad divinitatem recipiendam idoneum redderet. Eamdem hanc sententiam licet discere ex Malachia propheta ita loquente : ***Nunquid non unus Deus creavit vos? Nunquid non pater unus omnium vestrum*** [97]? Hic enim primum posuit, ***creavit***, deinde, *pater*, ut nempe ostenderet nos a principio natura creatos esse, Deumque creatorem nostrum esse per Verbum, postea B vero nos filios adoptione effici, cumque Deum creatorem, nostrum etiam fieri patrem. Itaque Pater proprius est Filii, nec aliquid creatum, sed Filius est quoque Patris proprius. Quocirca inde perspicuum etiam est nos non natura filios esse, sed Filium qui in nobis est; nec vicissim Deum, patrem nostrum natura esse, sed Verbi quod in nobis est, in quo et per quod clamamus, *Abba*, *Pater*. Similiter Pater illos in quibus suum Filium viderit, filios vocat, et dicit, *genui*, quandoquidem Verbum *gignere* Filium significat, ut verbum *facere* ad opera refertur. Hinc nos non primum gignimur, sed fimus, unde scriptum est : *Faciamus hominem* [98]. Postea vero gratia Spiritus accepta, gigni dicimur. Certe magnus Moyses in Cantico optime priore in loco C dixit *possedit*, deinde *genuit*, ne, audientes ***genuit***, nostræ naturæ qualis ab initio fuit oblivisceremur, sed ut disceremus nos ab initio creatos **418** esse, atque cum gigni gratia dicitur, nihilominus nos ex natura homines factos esse.

60. Quod autem non idem sit res creata et genita, sed inter se et natura et verborum significatione differant, ipse Dominus in iisdem Proverbiis decla-

[95] Galat. IV, 6. [96] Joan. I, 14. [97] Malach. II, 10. [98] Genes. I, 26.

(93) Sic Seguer. Reg. Gobler. Felc. 1 et 5. Editi vero et alii, αὐτὴ δέ. Mox Seguer. Gobler. et Felc. 1, omittunt, καὶ Πατήρ.

(94) Sic Seguer. et Felc. 4. At Basili. Anglic. et Reg., τοῦ Υἱοῦ κρᾶζον. Alii et editi, τοῦ Θεοῦ κρᾶζον.

(95) Sic Seguer. Gobler. et Felc. 1. Editi vero et alii, ἄλλως δὲ οὐκ ἄν.

(96) Sic Seguer. Gobler. Felc. 1 et 4. Editi vero et alii, ἵνα τὸ ἀνθρώπινον δεκτικὸν θεότητος ποιήσῃ, καὶ υἱὸν καλέσῃ. Ibidem omnes mss., ταύτην τὴν διάνοιαν. Editi, ταύτην διάνοιαν. Item ibidem Gobler. et Felc. 1, καὶ Μαλαχίας διδάσκει· Οὐχί. Iidem ibidem et Seguer. Reg. Basil. et Anglic., εἷς post Θεός addunt: alii et editi omittunt. Ibidem Seguerian. Basil. Anglic. et Felc. 4, ὑμᾶς. Editi et alii, ἡμᾶς. Gobler. et Felc. 1, ibid., ἡμῶν. Cæteri et editi, ὑμῶν. Mox πάλιν deest in Seguer. et Felc. 4.

(97) Sic Seguer. Reg. Basil. Anglic. Felc. 4 et 5. At alii et editio Commel., καὶ αὐτά.

(98) Basil., ἀΐδιον. Ibidem Seguer. Anglican. et Felc. 4, addunt, καὶ οὐ τὸ κτίσμα, ἀλλὰ τὸ Υἱὸς τοῦ Πατρός ἐστιν ἴδιον, quæ in aliis et editis desiderantur.

(99) Reg., ἡμᾶς, mendose. Editio Commel., ὑμῶν. Cæteri omnes, ἡμῶν.

(1) Seguer. Reg. Basil. Anglic. Felc. 4 et 5, ἐστὶν Υἱοῦ. Editi et alii, ἐστὶ τοῦ Υἱοῦ. Seguer. ibid. omittit, δηλωτικόν ἐστι.

(2) Seguer., πάλιν Μωσῆς. Gobler. et Felc. 1, ἐν τῇ Ὠδῇ, πρῶτον τὸ ἐκτίσατο. Ibid. Seguer. Basil. Anglic. et Felc. 4, ἐκτήσατο. Editi et alii, ἐκτίσατο.

rat. Nam postquam dixit : *Dominus creavit me initium viarum suarum* [99], subdidit : *Ante omnes colles gignit me*. Quod si Verbum natura et substantia creatum esset, nihilque rem genitam inter et creatam differret, non subjunxisset *gignit me*, sed satis habuisset dictionem *creavit* usurpare, quippe quæ idem ac, *genuit*, significaret. Verum ubi dixit : *Creavit me initium viarum suarum in opera sua*, non simpliciter addidit *genuit me*, sed cum conjunctione *vero*, ut hoc modo dictionem *creavit* confirmaret, cum dicit : *Ante omnes vero colles gignit me*. Nam verbum *creavit*, cum vocabulo *gignit me* conjunctum, unam perficit sententiam, indicatque aliquam ob causam dictum esse, *creavit*, ut et, *gignit me*, esse ante *creavit*. Quemadmodum enim si rursus dixisset, *Dominus gignit me*, deindeque addidisset *ante omnes vero colles creavit me*, profecto, *creavit*, prius esset quam *genuit* : ita quandoquidem primum dixit, *creavit*, deinde subjunxit, *ante omnes vero gignit me* [1], necessario ostendit *genuit* prius esse quam *creavit*. Namque dicendo, *ante omnes vero gignit me*, se alium ab omnibus esse declarat, cum ex supra dictis constet, nullam e rebus creatis prius altera factam esse, sed res omnes factas uno eodemque mandato simul exstitisse. Hinc nec eadem adjuncta sunt dictionibus *creavit*, et *gignit me* : sed post, *creavit*, additur, *principium viarum* : at non dixit principium gignit me, sed, *ante omnes gignit me*. Atqui is qui ante omnes est, non est omnium principium, sed alius est ab omnibus. Quod si alius est ab omnibus, inter quæ ipsum quoque principium omnium comprehenditur : haud dubium est quin alius sit a rebus creatis. Et proinde cum Verbum aliud sit ab omnibus, atque ante omnia exsistat, evidens est ipsum postea, humana assumpta natura, creari principium viarum in opera, ut, quemadmodum ait Apostolus [2], ille qui principium et primogenitus est ex mortuis, idem ipse in omnibus primatum teneat.

61. Quapropter cum id discriminis intercedat inter, *creavit*, et, *gignit me*, atque, *principium viarum*, et, *ante omnes*, concludendum est Deum qui hominum creator est, per suum Verbum, quod in illis habitat, eorumdem Patrem postea fieri. De Verbo autem contraria omnino est ratio. Siquidem Deus,

[99] Prov. VIII, 22. [1] ibid. 25. [2] Coloss. I, 18.

οιμίαις δείκνυσιν. Εἰρηκὼς γὰρ τὸ (3), Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, ἐπήγαγε· Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. Εἰ μὲν οὖν ἦν φύσει καὶ τῇ οὐσίᾳ κτίσμα ὁ Λόγος, καὶ διαφορὰ ἦν τοῦ γεννήματος πρὸς τὸ κτίσμα, οὐκ ἂν ἐπήγαγε τὸ, γεννᾷ με, ἀλλ' ἤρκειτο τῷ, ἔκτισεν, ὡς τῆς λέξεως ταύτης σημαινούσης τὸ, ἐγέννησε· νῦν δὲ εἰρηκὼς, Ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, ἐπήγαγεν οὐχ ἁπλῶς τὸ, γεννᾷ με (4), ἀλλὰ μετὰ συμπλοκῆς τοῦ, δὲ, συνδέσμου, ὡς ἀσφαλιζόμενος ἐν τούτῳ τὴν τοῦ, ἔκτισε, λέξιν, λέγων· Πρὸ δὲ πάντων βουνῶν (5) γεννᾷ με. Τὸ γὰρ, γεννᾷ με, τῷ, ἔκτισε, συμπεπλεγμένως ἐπιφερόμενον μίαν ποιεῖ τὴν διάνοιαν καὶ δείκνυσιν, ὅτι τὸ μὲν, ἔκτισε, διά τι εἴρηται· τὸ δὲ γεννᾷ με, πρὸ τοῦ, ἔκτισεν, ἐστίν. Ὥσπερ γὰρ εἰ ἔμπαλιν εἰρήκει, Κύριος γεννᾷ με, καὶ ἐπέφερε· Πρὸ δὲ πάντων βουνῶν ἔκτισέ με (6), πάντως προηγεῖτο τοῦ, ἐγέννησε, τὸ, ἔκτισεν· οὕτως εἰρηκὼς πρῶτον, ἔκτισεν, εἶτα ἐπαγαγὼν, πρὸ δὲ πάντων γεννᾷ με, ἐξ ἀνάγκης δείκνυσι προηγεῖσθαι τὸ, ἐγέννησε (7), τοῦ, ἔκτισε. Καὶ γὰρ καὶ λέγων, πρὸ πάντων γεννᾷ με, ἄλλον ἑαυτὸν εἶναι τῶν πάντων σημαίνει, δειξάσης ἐν τοῖς πρὸ τούτων τῆς ἀληθείας, ὅτι περὶ (8) τῶν κτισμάτων οὐδὲν ἕτερον τοῦ ἑτέρου προγέγονεν, ἀλλ' ἀθρόως ἅμα παντα τὰ γενητὰ (9) ἑνὶ καὶ τῷ αὐτῷ προστάγματι ὑπέστη. Διὰ τοῦτο γοῦν οὐδὲ τὰ ἐπὶ τοῦ, ἔκτισε, ταῦτα καὶ ἐπὶ τοῦ, γεννᾷ με, κεῖται· ἀλλ' ἐπὶ μὲν τοῦ, ἔκτισε, κεῖται, ἀρχὴν ὁδῶν· ἐπὶ δὲ τοῦ, γεννᾷ με, οὐκ εἶπεν, ἀρχὴν γεννᾷ με, ἀλλὰ, πρὸ πάντων γεννᾷ με. Ὁ δὲ (10) πρὸ πάντων ὢν οὐκ ἔστιν ἀρχὴ τῶν πάντων ἀλλ' ἄλλος ἐστὶ τῶν πάντων. Εἰ δὲ ἄλλος ἐστὶ τῶν πάντων, ἐν οἷς καὶ ἡ ἀρχὴ τῶν πάντων σημαίνεται, δῆλον ὅτι ἄλλος ἐστὶ τῶν κτισμάτων· καὶ συνίσταται φανερῶς, ὅτι (11) ἄλλος ὢν ὁ Λόγος τῶν πάντων καὶ πρὸ πάντων ὤν, ὕστερον κτίζεται ἀρχὴ τῶν ὁδῶν εἰς ἔργα διὰ (12) τὴν ἐνανθρώπησιν, ἵνα, ὡς εἶπεν ὁ Ἀπόστολος, ὃς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων (13).

61. Τοιαύτης τοίνυν οὔσης τῆς διαφορᾶς τοῦ, ἔκτισε, καὶ τοῦ, γεννᾷ με, καὶ, τῆς ἀρχῆς ὁδῶν, καὶ τοῦ, πρὸ πάντων· τῶν μὲν ἀνθρώπων κτίστης ὢν ὁ Θεὸς, οὕτως (14), ὥσπερ εἰρηται, γίνεται καὶ ὕστερον Πατὴρ, διὰ τὸν ἐν αὐτοῖς οἰκοῦντα Λόγον αὐτοῦ. Ἐπὶ δὲ τοῦ Λόγου τὸ ἔμπαλιν· Πατὴρ γὰρ (15) ὢν αὐτοῦ

(3) Sic Seguerian. Goblerian. Felc. 1 et 4. In aliis et editis τό deest. Mox Seguerian. Reg. et Felc. 5, πάντων βουνῶν. Alii et editi, πάντων τῶν βουνῶν.

(4) Seguerian., ἁπλῶς, γεννᾷ με.

(5) Seguerian. Reg et Felc. 5, πάντων βουνῶν. Editi et alii, πάντων τῶν βουνῶν. Ibid. Seguerian., Τῷ γὰρ γεννᾷ με τὸ ἔκτισε. Felckman. 2, et editio Commel., βουνῶν γεννᾷ με, τὸ ἔκτισε συμπεπλεγμένως.

(6) Seguerian., πάντων ἐκτισέ με. Reg. Basil. Anglic. et Felc. 4, πάντων βουνῶν ἐκτισέ με. Alii et editi, πάντων τῶν βουνῶν ἐκτισέ με. Ibid. Seguer., τὸ ἔκτισε τοῦ ἐγέννησεν. Editi, τὸ τοῦ ἐγέννησε, etc. Cæteri mss. ut in textu.

(7) Seguerian., τὸ, ἐγέννησε. Editi et alii, τὸ γέννημα.

(8) Seguerian., ὅτι τῶν.

(9) Seguerianus, Reg. et Felc. 5, τὰ γενητά. Cæteri et editi, τὰ γένη.

(10) Seguer. omittit ὁ δέ. Mox idem et Reg. Gobler. Felc. 1, 4 et 5, addunt, Εἰ δὲ ἄλλος ἐστὶ τῶν πάντων, quæ in aliis et editis desiderantur. Goblerian. et Felc. 1, ἄλλως.

(11) Sic Seguerian. Reg. Goblerian. Felc. 1 et 4. At alii et editi, δηλονότι.

(12) Seguerianus et Felc. 1, εἰς ἔργα. Cæteri et editi, εἰς τὰ ἔργα.

(13) Goblerian. et Felc. 1, γένηται πᾶσιν πρωτεύων. Mox Seguerian. et Reg., οὔσης διαφορᾶς.

(14) Sic mss. At editi, οὕτος.

(15) Sic Seguerian. Goblerian. Felc. 1 et 4. Alii vero et editi, γάρ omittunt.

φύσει ὁ Θεὸς, γίνεται μετὰ ταῦτα καὶ κτίστης αὐτοῦ καὶ ποιητὴς, ὅταν τὴν κτισθεῖσαν καὶ ποιηθεῖσαν ἐνδύσηται σάρκα ὁ Λόγος, καὶ γένηται ἄνθρωπος. Ὥσπερ γὰρ οἱ ἄνθρωποι λαμβάνοντες τὸ Πνεῦμα τοῦ Υἱοῦ, γίνονται τέκνα δι' αὐτοῦ· οὕτως ὁ Λόγος τοῦ Θεοῦ, ὅτε καὶ αὐτὸς ἐνεδύσατο τῶν ἀνθρώπων τὴν σάρκα, τότε λέγεται καὶ κτίζεσθαι καὶ πεποιῆσθαι. Εἰ μὲν οὖν ἡμεῖς κατὰ φύσιν υἱοὶ, δῆλον ὅτι κἀκεῖνος κατὰ φύσιν κτίσμα καὶ ποίημα· εἰ δὲ ἡμεῖς θέσει καὶ κατὰ χάριν γινόμεθα υἱοὶ, δῆλον ὅτι (16) καὶ ὁ Λόγος διὰ τὴν εἰς ἡμᾶς χάριν γενόμενος ἄνθρωπος εἴρηκε· Κύριος ἔκτισέ με. Εἶτα ἐπειδὴ τὸ κτιστὸν ἐνδυσάμενος γέγονεν ἡμῖν ὅμοιος κατὰ τὸ σῶμα, διὰ τοῦτο εἰκότως (17) καὶ ἀδελφὸς ἡμῶν καὶ πρωτότοκος ἐκλήθη. Εἰ γὰρ καὶ μεθ' ἡμᾶς δι' ἡμᾶς (18) γέγονεν ἄνθρωπος, καὶ ἀδελφὸς ἡμῶν διὰ τὴν τοῦ σώματος ὁμοίωσιν, ἀλλὰ καὶ ἐν τούτῳ πρωτότοκος (19) λέγεται καὶ ἔστιν ἡμῶν, ἐπειδὴ, πάντων τῶν ἀνθρώπων ἀπολλυμένων κατὰ τὴν παράβασιν τοῦ Ἀδὰμ, πρώτη τῶν ἄλλων ἐσώθη καὶ ἠλευθερώθη ἡ ἐκείνου σὰρξ, ὡς αὐτοῦ τοῦ Λόγου σῶμα γενομένη, καὶ λοιπὸν ἡμεῖς, ὡς σύσσωμοι τυγχάνοντες, κατ' ἐκεῖνο σωζόμεθα. Ἐν ἐκείνῳ γὰρ ἡμῶν καὶ ὁδηγὸς ὁ Κύριος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα γίνεται, λέγων· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ θύρα, καὶ δι' ἐμοῦ δεῖ πάντας εἰσελθεῖν. Ὅθεν καὶ πρωτότοκος λέγεται πάλιν ἐκ τῶν νεκρῶν, οὐχ ὅτι πρῶτος ἡμῶν ἀπέθανε· προετεθνήκειμεν γὰρ ἡμεῖς· ἀλλ' ὅτι τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος θάνατον, καὶ τοῦτον καταργήσας, ἀνέστη πρῶτος (20), ὡς ἄνθρωπος, ὑπὲρ ἡμῶν ἀναστήσας τὸ ἑαυτοῦ σῶμα. Λοιπὸν γὰρ ἀναστάντος ἐκείνου, καθεξῆς καὶ ἡμεῖς ἀπ' ἐκείνου καὶ δι' ἐκεῖνον ἐκ τῶν νεκρῶν ἐγειρόμεθα.

A qui Verbi Pater natura est, ejus post hæc creator et effector factus est, cum scilicet Verbum creatam et factam carnem induit, et homo factus est. Nam sicut homines, Spiritu Filii accepto, filii per ipsum efficiuntur : ita Dei Verbum cum humanam carnem induit, tunc et creari et factum esse dicitur. Itaque si nos natura filii sumus, fatendum quoque est Verbum natura et creatum et factum esse. Sed si nos adoptione tantum et gratia filii efficimur, clarum pariter est Verbum propter gratiam nobis donandam factum hominem dixisse, *Dominus creavit me.* Deinde quandoquidem creato corpore assumpto, nostri secundum corpus **419** similis factus est, ideo non immerito et frater noster et primogenitus appellatus est. Nam tametsi post nos homo propter B nos factus est, ac proinde frater noster, ob corporis similitudinem : verum ea ratione dicitur et est noster primogenitus, quatenus omnibus hominibus Adæ peccato perditis, ejus caro, utpote Verbi corpus facta, prima omnium servata est et liberata, indeque nos, ut qui cum Verbo corpore sumus conjuncti, per idem ejus corpus salvi efficimur. In illo siquidem nobis Dominus ad regnum cœlorum et ad suum Patrem se ducem præbuit, cum ait : *Ego sum via et janua, ac per me omnes introire oportet* [2]. Quapropter primogenitus ex mortuis dicitur, non quod primus nostrum mortuus est, non enim prius mortui fueramus : sed quia morte pro nobis suscepta et destructa, primus, ut homo, revixit, cum suum corpus pro nobis ex mortuis excitavit. Hinc enim postquam revixit ille, jam nos deinceps et ab C illo et propter illum revocamur quoque ad vitam.

62. Εἰ δὲ καὶ (21) πρωτότοκος τῆς κτίσεως λέγεται, ἀλλ' οὐχ ὡς ἐξισούμενος τοῖς κτίσμασι, καὶ πρῶτος αὐτῶν κατὰ χρόνον, πρωτότοκος λέγεται· (πῶς γὰρ, ὅπου γε Μονογενής ἐστιν αὐτός ;) ἀλλὰ διὰ τὴν πρὸς τὰ κτίσματα **συγκατάβασιν** τοῦ **Λόγου**, καθ' ἣν καὶ **πολλῶν γέγονεν ἀδελφός**. Ὁ γάρ τοι μονογενὴς, οὐκ ὄντων ἄλλων ἀδελφῶν, μονογενής ἐστιν· ὁ δὲ πρωτότοκος διὰ τοὺς ἄλλους (22) ἀδελφοὺς πρωτότοκος λέγεται. Διὰ τοῦτο γοῦν οὐδαμοῦ τῶν Γραφῶν εἴρηται, πρωτότοκος τοῦ Θεοῦ, οὐδὲ, κτίσμα τοῦ Θεοῦ· ἀλλὰ τὸ, Μονογενὴς, καὶ τὸ, Υἱὸς, καὶ, ὁ Λόγος, καὶ, ἡ Σοφία, εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει καὶ τὴν ἰδιότητα (23). Ἐθεασάμεθα γὰρ τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πα- D τρός· καὶ, Ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ· καὶ, Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος

62. Quod si *primogenitus creaturæ* dicitur [4] : non veluti rerum creatarum æqualis, aut iisdem prior tempore, hoc appellatur nomine (qui enim id fieri posset, cum ipse sit Unigenitus ?) : sed ob singularem Verbi erga res creatas benignitatem, qua etiam multorum factus est frater. Siquidem is unigenitus dicitur, cui nulli sunt fratres : is autem dicitur primogenitus, cui alii sunt fratres. Hinc nullo in loco Scripturarum legitur *primogenitus Dei*, aut *creatura Dei* : sed ista, *Unigenitus*, *Filius*, *Verbum*, et *Sapientia*, ad Patrem referuntur, ad quem tanquam quid proprium pertinent *Vidimus* enim *gloriam ejus*, *gloriam quasi Unigeniti a Patre* [5] Et, *Misit Deus Filium suum Unigenitum* [6]. Et *In sæculum*, *Domine*, *Verbum tuum permanet* [7]. Et *In principio erat Verbum*, *et Verbum erat apud Deum* [8]. Et : *Christus Dei*

[3] Joan. XIV, 6; X, 7, 1. [4] Coloss. I, 15. [5] Joan. I, 14. [6] I Joan. IV, 9. [7] Psal. CXVIII, 89. [8] Joan. I, 1.

(16) Seguerian., φανερὸν ὅτι.

(17) Sic Seguerian. Goblerian. Felc. 1 et 4. Alii vero et editi, σῶμα τοῦτο, εἰκότως.

(18) Sic Seguerian. Reg. Goblerian. Felc. 1. At alii et editi omittunt δι' ἡμᾶς.

(19) Seguerian.. Reg. et Felc. 4, πρωτότοκος. Cæteri et editi, πρῶτος.

(20) Seguerian. πρῶτον. Alii et editi, πρῶτος.

(21) Sic Seguerian. Reg. Goblerian. Felc. 1 et 5. In aliis et editis καὶ deest.

(22) Seguerian. πολλούς. Paulo post idem, τῶν γραφῶν λέγεται. Mox idem, κτίσμα Θεοῦ.

(23) Basiliensis, ἀϊδιότητα.

virtus et Dei sapientia [9]. Et: *Hic est Filius meus dilectus* [10]. Et: *Tu es Christus Filius Dei viventis* [11]. *Primogenitus* autem appellatur ex summa sua erga creatam naturam humanitate : ejus quippe dictus etiam est primogenitus. Dictione autem, *creavit* [12], significatur gratia quam in opera contulit : namque in illa creatur. Si ergo Unigenitus est uti revera est, vox ista, *primogenitus*, est sane explicanda. Sed si primogenitus est, Unigenitus dici non debet. Idem enim non potest Unigenitus et primogenitus esse, nisi ad diversa respiciat, ita ut Unigenitus quidem dicatur, quatenus ex Patre genitus est, quemadmodum dictum est : primogenitus vero, quatenus singulari erga creatam naturam benignitate usus est, multosque sibi fratres reddidit. Certe, cum duo illa nomina inter se sint contraria, haud immerito possit affirmari nomen Unigeniti proprie magis Verbo convenire quandoquidem nullum aliud est Verbum, nulla alia sapientia, sed solus ipse verus est Patris Filius. Etenim, ut supra observavimus, nulla adjuncta causa, sed absolute de illo dictum est, *Unigenitus Filius qui est in sinu Patris* [13]. At cum *primogenitus* dicitur, causa annecitur, creata nempe natura, ut Paulus ipse his indicat verbis, *Quia in ipso creata sunt* **420** *omnia* [14]. Si porro universæ res creatæ, in illo sunt creatæ, alius certe est a rebus creatis, nec ipse res est creata, sed rerum creatarum creator.

63. Non ergo primogenitus vocatus est, quia ex Patre est genitus, sed quia in illo factæ sunt res creatæ. Quocirca quemadmodum antes res creatas ipse erat Filius per quem res creatæ factæ sunt : ita antequam primogenitus omnium rerum creatarum dictus est, nihilominus ipsum Verbum erat apud Deum, et Deus erat Verbum. Verum ea impii cum non intelligant, hæc dictitando circumcursant; Si omnium rerum creatarum primogenitus est, profecto ipse quoque una est e rebus creatis. Stulti! nam contra, si omnium plane rerum creatarum primogenitus est, ergo alius est a rebus omnibus creatis. Nec enim dixit, primogenitus aliarum rerum creatarum, ne tanquam una e rebus creatis esse putaretur ; sep scriptum est *omnium rerum creatarum*, ut allius ab illis esse ostenderetur. Hinc

σου διαμένει· καὶ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος (24)· καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· καὶ, Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία · καὶ, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· καὶ, Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ ζῶντος. Τὸ δὲ, πρωτότοκος, εἰς τὴν κτίσιν ἐχει τὴν συγκατάβασιν (25)· αὐτῆς γὰρ καὶ πρωτότοκος ἐλέχθη. Καὶ τὸ, ἔκτισε, δὲ εἰς τὰ ἔργα τὴν χάριν ἔχει· εἰς αὐτὰ γὰρ καὶ κτίζεται. Εἰ μὲν οὖν Μονογενής ἐστιν (26), ὥσπερ οὖν καὶ ἔστιν, ἑρμηνευέσθω τὸ, πρωτότοκος · εἰ δὲ πρωτότοκός ἐστι, μὴ ἔστω Μονογενής. Οὐ δύναται γὰρ ὁ αὐτὸς Μονογενής τε καὶ πρωτότοκος εἶναι, εἰ μὴ ἄρα πρὸς ἄλλο καὶ ἄλλο· ἵνα Μονογενὴς μὲν διὰ τὴν ἐκ Πατρὸς γέννησιν, ὥσπερ εἴρηται, πρωτότοκος δὲ διὰ τὴν εἰς τὴν κτίσιν συγκατάβασιν, καὶ τὴν τῶν πολλῶν ἀδελφοποίησιν (27). Ἀμέλει, τῶν δύο τούτων ῥητῶν ἀντικειμένων ἀλλήλοις, κρατεῖν ἂν τις εἴποι δικαίως ἐπὶ τοῦ Λόγου τὸ τοῦ Μονογενοῦς μᾶλλον ἴδίωμα, διὰ τὸ μὴ εἶναι ἕτερον Λόγον, ἢ ἄλλην σοφίαν, ἀλλὰ τοῦτον μόνον ἀληθινὸν Υἱὸν εἶναι τοῦ Πατρός. Καὶ γὰρ, ὥσπερ ἔμπροσθεν εἴρηται, οὐ μετά τινος συμπεπλεγμένης αἰτίας, ἀλλὰ ἀπολελυμένως μὲν (28) εἴρηται ἐπ' αὐτοῦ τὸ, Ὁ Μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός· τὸ δὲ, πρωτότοκος, συμπεπλεγμένην ἔχει πάλιν τὴν τῆς κτίσεως αἰτίαν, ἣν ἐπήγαγεν ὁ Παῦλος λέγων· Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. Εἰ δὲ πάντα τὰ κτίσματα (29) ἐν αὐτῷ ἐκτίσθη, ἄλλος ἐστὶ τῶν κτισμάτων, καὶ κτίσμα μὲν οὐκ ἔστι, κτίστης δὲ τῶν κτισμάτων (30).

63. Οὐ διὰ τὸ ἐκ Πατρὸς ἄρα πρωτότοκος ἐκλήθη, ἀλλὰ διὰ τὸ ἐν αὐτῷ γεγενῆσθαι τὴν κτίσιν. Καὶ ὥσπερ πρὸ τῆς κτίσεως ἦν αὐτὸς ὁ Υἱὸς, δι' οὗ γέγονεν ἡ κτίσις· οὕτω καὶ πρὸ τοῦ κληθῆναι (31) πρωτότοκος πάσης τῆς κτίσεως, ἦν οὐδὲν ἧττον αὐτὸς ὁ Λόγος πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Ἀλλὰ καὶ τοῦτο μὴ νοήσαντες οἱ δυσσεβεῖς, περιέρχονται λέγοντες· Εἰ πρωτότοκός ἐστι πάσης κτίσεως, δῆλον ὅτι καὶ αὐτὸς εἷς ἐστι τῆς κτίσεως. Ἄφρονες! εἰ ὅλως πάσης τῆς κτίσεως (32) πρωτότοκός ἐστιν, ἄρα πάσης τῆς κτίσεως ἄλλος ἐστίν. Οὐ γὰρ εἴρηκε, πρωτότοκός ἐστι τῶν ἄλλων (33) κτισμάτων, ἵνα μὴ ὡς εἷς τῶν κτισμάτων εἶναι νομισθῇ· ἀλλὰ πάσης τῆς κτίσεως γέγραπται, ἵνα ἄλλος τῆς κτίσεως εἶναι δειχθῇ. Ὁ γοῦν Ῥουβὴν (34) οὐκ εἴρηται πρωτότοκος πάντων τῶν τέκνων τοῦ Ἰακώβ, ἀλλ' αὐτοῦ τοῦ Ἰακὼβ καὶ τῶν ἀδελ-

[9] I Cor. I, 24. [10] Matth. III, 17; XVII, 5. [11] Matth. XVI, 16. [12] Prov. VIII, 22. [13] Joan. I, 18. [14] Coloss. I, 16.

(24) Seguerian. Goblerian. et Felc. 1, omittunt καὶ ἐν ἀρχῇ ἦν ὁ Λόγος, nec ea legit Nannius.

(25) Felc. 2 et editi, κατάοασιν. Alii mss., συγκατάβασιν.

(26) Sic Seguerian. Reg. Anglic. et Felc. 4. Sed Anglic. τό omittit ante πρωτότοκος. Felc. 2, Μονογενής ἐστιν, ἑρμηνευέσθω πρωτότοκος. Alii et editio Commel., εἰ μὲν οὖν Μονογενής ἐστιν, μὴ ἔστω πρωτότοκος.

(27) Seguerian. Reg. Goblerian. et Felc. 1, 4 et 5, addunt, καὶ τὴν τῶν πολλῶν ἀδελφοποίησιν, quæ in aliis et in editione Commel. desunt.

(28) Sic Seguerian. Basili. et Felc. 4. In aliis et editis μέν deest. Ibid. Seguerian. et Felc. 4, τὸ Μονογενής.

(29) Anglican., κτιστά.

(30) Seguerian. et Reg., τῶν πάντων. Editi et alii, τῶν κτισμάτων.

(31) Seguerian. Felckman. 2 et 4, πρὸ τοῦ κληθῆ. Ibid. Seguerian. Goblerianus, Felckmanni. 1 et 4, πάσης τῆς κτίσεως. Editi et alii, πάσης κτίσεως.

(32) Seguerian. Goblerian. Felckm. 1 et 4, ὅλως πάσης τῆς κτίσεως. Basilicus. item, πάσης τῆς κτίσεως. Editi et alii, εἰ ὅλως ἄρα πάσης κτίσεως.

(33) Goblerian. Felc. 1. πάντων τῶν ἄλλων. Ibid. Seguer., μὴ ὡς εἷς τῶν κτισμάτων εἶναι γομισθῇ. Editi, μὴ εἷς τῶν κτισμάτων νομισθῇ.

(34) Regius, Basil. et Felc. 1, Ῥουβίν.

φῶν, ἵνα μὴ ἄλλος παρὰ τὰ τέκνα (35) τοῦ Ἰακὼβ εἶναι νομισθῇ. Ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ Κυρίου ὁ Ἀπόστολος οὐκ εἴρηκεν, Ἵνα γένηται πρωτότοκος πάντων, ἵνα μὴ ἄλλο (36) παρὰ τὸ ἡμῶν σῶμα φορεῖν νομισθῇ, ἀλλ' ἐν πολλοῖς ἀδελφοῖς διὰ τὴν ὁμοιότητα τῆς σαρκός. Εἰ τοίνυν καὶ ὁ Λόγος εἷς ἦν τῶν κτισμάτων, εἶπεν ἂν ἡ Γραφὴ καὶ περὶ αὐτοῦ, ὅτι πρωτότοκος τῶν ἄλλων κτισμάτων ἐστί· νῦν δὲ, λεγόντων τῶν ἁγίων, ὅτι πρωτότοκός ἐστι πάσης τῆς κτίσεως (37), ἄντικρυς δείκνυται ἄλλος ὢν πάσης τῆς κτίσεως, καὶ μὴ κτίσμα ὁ τοῦ Θεοῦ Υἱός. Εἰ γὰρ κτίσμα ἐστὶν, ἔσται καὶ αὐτὸς (38) ἑαυτοῦ πρωτότοκος. Πῶς οὖν δύναται, ὦ Ἀρειανοὶ, καὶ πρῶτος ἑαυτοῦ καὶ δεύτερος εἶναι; Ἔπειτα εἰ κτίσμα ἐστὶ, καὶ πᾶσα ἡ κτίσις δι' αὐτοῦ γέγονε, καὶ ἐν αὐτῷ συνέστηκε, πῶς δύναται καὶ κτίζειν τὴν κτίσιν, καὶ εἷς (39) εἶναι τῶν ἐν αὐτῷ συνεστηκότων; Ἀτόπου δὲ τῆς τοιαύτης αὐτῶν ἐπινοίας φαινομένης, ἐλέγχονται παρὰ τῆς ἀληθείας, ὅτι πρωτότοκος μὲν ἐν πολλοῖς ἀδελφοῖς ἐκλήθη διὰ τὴν τῆς σαρκὸς συγγένειαν· πρωτότοκος δὲ ἐκ τῶν νεκρῶν, διὰ τὸ ἐξ αὐτοῦ καὶ μετ' αὐτὸν εἶναι τὴν τῶν νεκρῶν ἀνάστασιν· πρωτότοκος δὲ πάσης κτίσεως διὰ τὴν φιλανθρωπίαν τοῦ Πατρὸς δι' ἣν ἐν τῷ Λόγῳ αὐτοῦ οὐ μόνον τὰ πάντα συνέστηκεν (40), ἀλλ' ὅτι καὶ αὐτὴ ἡ κτίσις, περὶ ἧς εἶπεν ὁ Ἀπόστολος· **Ἀπεκδεχομένη** τὴν ἀποκάλυψιν τῶν υἱῶν (41) τοῦ **Θεοῦ, ἐλευθερωθήσεταί** ποτε ἀπὸ τῆς δουλείας **τῆς** φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν **τέκνων** τοῦ Θεοῦ. Οὕτω δὲ αὐτῆς ἐλευθερωθείσης, ἔσται καὶ αὐτῆς μετὰ καὶ πάντων (42) τῶν τεκνοποιηθέντων πρωτότοκος ὁ Κύριος, ἵν' ἐν τῷ λέγεσθαι πρῶτον (43) αὐτὸν, τὰ μετ' αὐτὸν διαμείνῃ ὥσπερ ἔκ τινος ἀρχῆς τοῦ Λόγου συνημμένα.

A Ruben non dictus est primogenitus omnium liberorum Jacob, sed ipsius Jacobet fratrum [15]. ne aliue a liberis Jacob esse existimaretur. Qnin etiam de ipso Domino non dixit Apostolus. Ut fiat primogenitus omnium, ne aliud corpus a nostro habere crederetur, sed, *in multis fratribus* [16], ob suæ carnis cum nostra similitudinem. Igitur si etiam Verbum una esset e rebus creatis, sane Scriptura dixisset ipsum esse aliarum rerum creatarum primogenitum. Verum cum sancti dicant primogenitum illum esse rerum omnium creatarum, evidens profecto est Filium Dei alium esse ab omnibus creatis rebus, non autem creatum esse. Alioquin si creatus esset, ipse sui ipsius esset primogenitus. Qui ergo fieri potest, Ariani, ut idem ipse seipso prior et posterior sit? Insuper, si creatus est, resque universæ creatæ

B per ipsum factæ sunt, et in ipso consistunt, quomodo et res creatas creare et una ex rebus quæ in ipso consistunt potest esse? Quæ illorum commenta cum absurda esse luculenter pateat, certo a veritate ipsa convincuntur, quæ quidem nos docet, illum primogenitum in multis fratribus ob carnis cognationem vocatum fuisse, primogenitum vero ex mortuis, quia ex ipso et post ipsum mortuorum est resurrectio, denique primogenitum omnis creaturæ, propter Patris in homines benignitatem, per quam non solum omnia in ipsius Verbo constituta sunt, verum ipsa etiam creatura, quæ, ut ait Apostolus, *revelationem filiorum Dei exspectans, liberabitur a servitute corruptionis in libertatem gloriæ filiorum Dei* [17]. Cujus hoc pacto liberatæ nec non

C omnium, qui filii facti fuerint, Dominus primogenitus futurus est, ut cum ipse primus dicitur, ea quæ post ipsum sunt perseverent, utpote quæ e Verbo tanquam ex aliquo principio pendeant.

64. Ἡγοῦμαι δὲ καὶ τοὺς ἀσεβεῖς αὐτοὺς ἐντραπήσεσθαι ἐκ τῆς τοιαύτης διανοίας· εἰ γὰρ μὴ οὕτως ἔχοι, ὥσπερ εἴπομεν (44), ἀλλ' ὡς τῇ οὐσίᾳ κτίσμα ἐν κτίσμασι πρωτότοκον αὐτὸν θελήσουσιν εἶναι πάσης τῆς κτίσεως, σκοπείτωσαν, ὅτι καὶ τῶν αλό-

421 64. Sane nec ego dubitem quin ipsos etiam impios pudeat suæ hujusmodi sententiæ. Nisi enim ita se res habeat, uti supra diximus, sed eum, natura creatum, inter res creatas velint esse rerum omnium creatarum primogenitum, animadvertant

[15] Genes. xxxv, 25. [16] Rom. viii, 29. [17] ibid. 19, 21.

(35) Felck. 2, παρὰ τέκνα. Goblerian. et Felc. 1, παρὰ τὰ τέκνα νομισθῇ. Seguerian., παρὰ τὰ τέκνα τοῦ Ἰακὼβ νομισθῇ.

(36) Regius et Felc. 5, ἄλλος. Ibidem Seguerianus, Goblerian. Felc. 1 et 4. σῶμα φορεῖν νομισθῇ. Reg. Basil. Anglican. et Felc. 5, σῶμα εἶναι νομισθῇ. Editio Commel., σῶμα εἶναι νομισθείη. Paulo post Seguerian., Εἰ τοίνυν καὶ ὁ Λόγος εἷς, et mox, Γραφὴ καὶ περὶ αὐτοῦ. Editi et alii, Εἰ τοίνυν εἷς, et. Γραφὴ περὶ αὐτοῦ.

(37) Seguerian. Gobler. et Felc. 1, πάσης τῆς κτίσεως. In cæteris et editis deest τῆς. Ibid. Seguerian. Gobler. Reg. Anglic. Felc. 1, 4 et 5, addunt ἄντικρυς δείκνυται ἄλλος ὢν πάσης τῆς κτίσεως, quæ in aliis et editione Commeliniana desunt. Anglicanus ibidem πάσης κτίσεως.

(28) Sic Seguerianus, Goblerianus, et Felckmanni 1. In aliis et editis deest αὐτός. Mox Goblerianus et Felc. 1, Πῶς οὖν δύναται, ὦ οὗτοι.

(39) Εἷς abest a Felc. 2 et 4. Ibid. Seguerian., τῶν ἐν αὐτῷ. Alii et editi, τῶν ἐν αὐτῇ.

(40) Seguer. Goblerian. Felc. 1 et 4, συνέστηκεν.

(41) Seguerian. et Felckman. 4, τῶν υἱῶν, ut et habet Scriptura. Editi et alii, τῶν τέκνων. Ibid., ποτέ abest a Seguerian. Goblerian. Felc. 1 et 4.

(42) Gobler. et Felc. 1, Ἔσται αὐτῆς μετὰ πάντων. Felc. 5, ἔσται καὶ αὐτῆς μετὰ δὲ πάντων.

(45) Felckman. 5, πρωτότοκον. Ibid. Seguerian. Goblerian. Felckman. 1 et 4 τὰ μετ' αὐτὸν διαμείνῃ, ὥσπερ ἔκ τινος ἀρχῆς τοῦ Λόγου συνημμένα. Felckman. 1, mendose τὰ μὴ ἐν αὐτόν, pro τὰ μετ' αὐτόν. Basil. vero, τὰ μετ' αὐτὸν ὥσπερ ἔκ τινος ἀρχῆς αὐτοῦ τοῦ Λόγου συνημμένα. Felckman. 5, τὰ μετ' αὐτὸν συνημμένα ὥσπερ ἔκ τινος ἀρχῆς αὐτοῦ τοῦ Λόγου διαμείνῃ. Regius, πρῶτον αὐτὸν, συνημμένα ὥσπερ ἔκ τινος ἀρχῆς αὐτοῦ τοῦ Λόγου διαμείνῃ. Alii et editi, τὰ μετὰ ταῦτα διαμείνῃ, ὥσπερ ἔκ τινος ἀρχῆς αὐτοῦ τοῦ Λόγου συνημμένα.

(44) Seguer. Goblerian. Felc. 1 et 5, ὡς προείπομεν. Cæteri et editi, ὥσπερ εἴπομεν Paulo post Felc, 4, θέλουσιν, idemque et Seguerian. ac Felc. 5, πάσης τῆς κτίσεως. Editi et alii, πάσης κτίσεως.

se eo progresseuros ut illum brutarum animantium rerumque inanimatarum fratrem et similem esse opinentur. Siquidem hæ quoque partes sunt rerum omnium creatarum. Necesse est autem primogenitum solo tempore primum esse, genere vero et similitudine eumdem esse ac omnes quorum est primogenitus. An non porro, cum hæc dicunt, omnem prætergrediuntur impietatem? Quis vero hæc illos dicentes ferat? aut potius quis vel talia cogitantes odio non prosequetur? Palam enim omnibus est neque eum propter se, tanquam si creatus esset, neque ob aliquam cognationem quam secundum naturam cum omnibus rebus creatis habeat, earum esset primogenitum appellatum: sed quatenus Verbum, cum res creatas initio effecit, se ad eos benigne accommodavit, ut fieri possent. Nec enim ejus naturam, quæ purus et paternus est splendor, ferre potuisseut, nisi se ad illas paterna benignitate accommodasset, iisdemque naturam ut essent dedisset. Alia autem ratio est, quod ejusdem Verbi benignitate, res creatæ filiorum dignitatem per ipsum consequuntur, ut illarum, sicuti diximus, modis omnibus primogenitus fieret, tum cum eas creat, tum cum ipse in orbem terrarum, omnium causa, introducitur. Namque ita scriptum est, *Cum introducit primogenitum in orbem terræ, dicit: Et adorent eum omnes angeli Dei* [18]. Audiant Christi inimici, seque ipsi discerpant, quod nimirum ejus in orbem terrarum ingressus, causa est cur omnium primogenitus sit appellatus. Quocireu Patris quidem Unigenitus est Filius, quoniam solus ipse ex illo est: est autem rerum creatarum primogemitus, quia omnes adoptione filii efficiuntur. Ut porro inter fratres primogenitus est, idemque ex mortuis, primitiæ eorum qui dormierunt [19], revixit: ita quia eum in omnibus primum locum decebat obtinere, ideo etiam principium viarum creatur, ut per illud incedentes, et per Filium qui ait: *Ego sum via et janua* [20], ingressi, factique cognitionis Patris participes, nos etiam audiamus: *Beati immaculati in via, qui ambulant in lege Domini* [21]; et *Beati mundo corde, quoniam ipsi Deum videbunt* [22].

γων καὶ τῶν ἀψύχων αὐτὸν (45) ἀδελφὸν καὶ ὅμοιον ὑπονοήσουσιν εἶναι. Πάσης γὰρ τῆς κτίσεως καὶ ταῦτα μέρη τυγχάνει ὄντα· ἀνάγκη δὲ τὸν πρωτότοκον μόνῳ μὲν τῷ χρόνῳ πρῶτον εἶναι, τῷ δὲ γένει καὶ τῇ ὁμοιότητι τὸν αὐτὸν εἶναι πρὸς πάντας. Πῶς οὖν, καὶ τοῦτο λέγοντες, οὐ πᾶσαν ἀσέβειαν ὑπερβάλλουσιν; Ἢ τίς ἀνέξεται τούτων ταῦτα (46) λεγόντων; ἢ πῶς καὶ μόνον αὐτοὺς ἐνθυμουμένους τοιαῦτα οὐ μισήσειεν ἄν τις; Πᾶσι γάρ ἐστι δῆλον ὅτι οὔτε δι' ἑαυτὸν (47), ὡς κτίσμα ὤν, οὔτε διὰ τὸ συγγένειάν τινα κατ' οὐσίαν πρὸς πᾶσαν τὴν κτίσιν ἔχειν, πρωτότοκος αὐτῆς (48) ἐκλήθη· ἀλλ' ὅτι καὶ κατ' ἀρχὴν μὲν δημιουργῶν ὁ Λόγος τὰ κτίσματα, συγκαταβέβηκε τοῖς γεννητοῖς, ἵνα γενέσθαι ταῦτα δυνηθῇ. Οὐκ ἂν γὰρ ἤνεγκεν (49) αὐτοῦ τὴν φύσιν ἄκρατον καὶ πατρικὴν οὖσαν λαμπρότητα, εἰ μὴ φιλανθρωπίᾳ πατρικῇ συγκαταβὰς ἀντελάβετο, καὶ κρατήσας αὐτὰ εἰς οὐσίαν ἤνεγκε. Καὶ δεύτερον δὲ πάλιν, ὅτι καὶ συγκαταβάντος (50) τοῦ Λόγου, υἱοποιεῖται καὶ αὐτὴ ἡ κτίσις δι' αὐτοῦ· ἵνα καὶ αὐτῆς, καθάπερ εἴρηται, πρωτότοκος κατὰ πάντα γένηται, ἔν τε τῷ κτίζειν, καὶ ἐν τῷ εἰσάγεσθαι ὑπὲρ πάντων εἰς αὐτὴν (51) τὴν οἰκουμένην. Οὕτω γὰρ γέγραπται· Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Ἀκουέτωσαν (52) οἱ χριστομάχοι, καὶ σπαραττέτωσαν ἑαυτούς, ὅτι τὸ εἰσελθεῖν αὐτὸν εἰς τὴν οἰκουμένην ἐποίησε καὶ πρωτότοκον πάντων κληθῆναι· ὥστε τοῦ μὲν Πατρὸς εἶναι Μονογενῆ τὸν Υἱόν, διὰ τὸ ἐξ αὐτοῦ μόνον αὐτὸν (63) εἶναι, τῆς δὲ κτίσεως πρωτότοκον διὰ τὴν τῶν πάντων υἱοποίησιν. Ὡς δὲ ἐν ἀδελφοῖς πρωτότοκος, καὶ ἐκ νεκρῶν ἀπαρχὴ τῶν κεκοιμημένων ἀνέστη· οὕτως, ἐπειδήπερ ἔπρεπεν ἐν πᾶσιν αὐτὸν πρωτεύειν, διὰ τοῦτο καὶ ἀρχὴ ὁδῶν κτίζεται· ἵνα, ταύτης (54) ἐπιβάντες καὶ εἰσελθόντες δι' αὐτοῦ λέγοντος, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ θύρα, μεταλαβόντες τε τῆς περὶ τοῦ Πατρὸς γνώσεως, ἀκούσωμεν καὶ ἡμεῖς· Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ (55), καὶ, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

[18] Hebr. I, 6. [19] I Cor. XV, 20. [20] Joan. XIV. 6; X, 7. [21] Psal. CXVIII, 1. [22] Matth. V, 8.

(45) Felc. 2, et editi, ἀψύχων αὐτῶν. Cæteri mss., ἀψύχων αὐτόν. Ibid. Seguerian. Reg. Basil. Anglic. Felc. 4 et 5, ὑπονοήσουσιν. Editi et alii, ὑπονοοῦσιν.

(46) Sic Seguerian. Goblerian. Felc. 1 et 4. At alii et editi, τοιαῦτα.

(47) Seguerianus, Goblerian. Felc. 1 et 4, οὔτε δι' ἑαυτόν. Reg. et Felc. 5, οὐ δ' ἑαυτόν. Basil. et Anglic., οὐδὲ δι' αὐτόν. Cæteri et editi, οὐδὲ δι' ἑαυτόν.

(48) Seguerian., et Reg. αὐτῆς. Alii et editi, αὐτός.

(49) Seguerian. ἤνεγκαν.

(50) Seguerianus, Goblerian. Felc. 1 et 4, ὅτι καὶ συγκαταβάντος. In aliis et editis καὶ deest. Ibid. Reg., υἱοποιεῖται ἡ κτίσις ἵνα καί, etc. Mox Seguerian. Goblerian. Felc. 1, καθάπερ εἴρηται. Felc. 4, καθὰ εἴρηται. Editi et alii, καθὰ προείρηται. Ibidem, Seguerian. Reg. Goblerian. Felc. 1 et 4, κατὰ πάντα γένηται. Alii et editi, κατὰ πάντα γεγένηται.

(51) Felckm. 2, et editi, εἰς τήν, etc. Cæteri mss., εἰς αὐτὴν τήν, etc. Ibid. Felc. 5, οὕτω γέγραπται. Item ibid· Seguerian. Goblerian. Felc. 1 et 4, ὅταν εἰσαγάγῃ.

(52) Seguerian., ἀκουστάτωσαν. Alii et editi, ἀκουέτωσαν.

(53) Αὐτόν abest a Felck. 4. Ibidem, Felckman. 2 et editi, τῆς δὲ κτίσεως πρωτότοκος. Cæteri mss. habent πρωτότοκον.

(54) Basil. et Felc. 5, ταύτῃ. Mox Felc. 2, et editio Commel., Ἐγώ εἰμι ὁ Λόγος, pro Ἐγώ εἰμι ἡ ὁδός, ut habent alii mss. Ibid. Seguer., μεταλαβόντες τῆς τοῦ Πατρός, etc. Gobler. Felc. 1 et 4, μεταλαβόντες τῆς περὶ τοῦ Πατρός, etc. Edit. et alii, μεταλαβόντες τε τῆς περὶ τοῦ Πατρός, etc. Item ibid. Seguer., ἀκούσωμεν. Gobler. Felc. 1 et 4, ἀκούομεν. Ibidem Reg., ποτὲ καὶ ἡμεῖς. Felc. 5, ποτὲ ἡμεῖς.

(55) Felckm. 5, addit, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου, quæ desuut in aliis et editione Commel. Ibidem, Goblerian. et Felckm. 1 omittunt ὅτι αὐ-

65. Τῆς ἀληθείας τοίνυν δειξάσης μὴ εἶναι κατὰ φύσιν κτίσμα τὸν Λόγον, ἀκόλουθον λοιπὸν εἰπεῖν, πῶς καὶ ἀρχὴ τῶν ὁδῶν εἴρηται. Ἐπειδὴ γὰρ ἡ πρώτη ἡ διὰ τοῦ Ἀδὰμ ὁδὸς ἀπώλετο, καὶ ἀντὶ τοῦ παραδείσου ἐξεκλίναμεν εἰς τὸν θάνατον, ἠκούσαμέν τε, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, διὰ τοῦτο ὁ φιλάνθρωπος τοῦ Θεοῦ Λόγος βουλήσει τοῦ Πατρὸς ἐνδιδύσκεται τὴν κτισθεῖσαν σάρκα, ἵνα ἣν ἐνέκρωσεν ὁ πρῶτος ἄνθρωπος διὰ τῆς παραβάσεως, ταύτην αὐτὸς ἐν τῷ αἵματι του ἰδίου σώματος ζωοποιήσῃ, καὶ ἐγκαινίσῃ ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, ὡς εἴρηκεν ὁ Ἀπόστολος (56), διὰ τοῦ καταπετάσματος, τουτέστι διὰ τῆς σαρκὸς αὐτοῦ. Ὅπερ καὶ ἐν ἑτέρῳ σημαίνων, φησίν· Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ (57) ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Εἰ δὲ καινὴ κτίσις γέγονεν, ἔδει ταύτης τῆς κτίσεως πρῶτόν τινα εἶναι· ἄνθρωπος μὲν οὖν ψιλὸς καὶ μόνον χοϊκὸς, οἷοι γεγόναμεν ἡμεῖς ἐκ τῆς παραβάσεως, οὐκ ἠδύνατο εἶναι. Καὶ γὰρ καὶ ἐν τῇ πρώτῃ κτίσει ἄπιστοι γεγόνασιν οἱ ἄνθρωποι, καὶ δι' αὐτῶν ἀπώλετο ἡ πρώτη· χρεία δὲ ἦν ἄλλου τοῦ ἀνανεοῦντος καὶ τὴν πρώτην, καὶ τὴν καινὴν γενομένην διατηροῦντος. Οὐκοῦν φιλανθρώπως (58) οὐχ ἕτερός τις, ἀλλ' ὁ Κύριος, ἀρχὴ τῆς καινῆς κτίσεως κτίζεται ὁδὸς, καὶ εἰκότως λέγει· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ (59), ἵνα μηκέτι κατὰ τὴν πρώτην ἐκείνην ὁ ἄνθρωπος πολιτεύηται, ἀλλ' ὡς ἀρχῆς οὔσης καινῆς κτίσεως, καὶ τὸν Χριστὸν ἔχοντες (60) ταύτης ἀρχὴν ὁδῶν, τούτῳ λοιπὸν ἀκολουθῶμεν λέγοντι· Ἐγώ εἰμι ἡ ὁδός. Τοῦτο γὰρ διδάσκων καὶ ὁ μακάριος (61) Ἀπόστολος ἐν τῇ πρὸς Κολοσσαεῖς, ἔλεγεν· Αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.

66. Εἰ γὰρ, καθάπερ εἴρηται, διὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν (62) λέγεται καὶ διὰ ταύτην αὐτὸς ἀρχὴ, τότε δὲ γέγονεν ἀνάστασις, ὅτε τὴν ἡμετέραν σάρκα φερῶν δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ θανάτῳ· φανερὸν ἂν εἴη, ὅτι καὶ τὸ λεγόμενον ὑπ' αὐτοῦ, Ἔκτισέ με ἀρχὴν ὁδῶν (63), οὐ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ τῆς ἐνσωμάτου παρουσίας αὐτοῦ σημαντικόν ἐστι. Τοῦ γὰρ σώματος ἴδιον (64) ἦν ὁ θάνατος· καὶ ὥσπερ

65. Cum igitur ipsa declaret veritas Verbum natura non esse creatum, consequens est ut jam explicemus, quare principium viarum appellatum fuerit. Nempe quoniam perierat prima per Adamum via, nec amplius in paradisum tendebamus, sed ad mortem deflexeramus audieramusque, *Terra es, et in terram reverteris* [23], idcirco clementissimum Dei Verbum, volente Patre, creatam carnem induit, ut quam primus homo, violata lege, morte affecerat, eidem, 422 sui corporis sanguine, vitam redderet, *nobisque viam novam et viventem per velamen*, ut ait Apostolus [24], id est, per carnem suam innovaret. Quod idem alibi his verbis significat, *Si qua in Christo nova creatura, vetera transierunt, ecce omnia nova facta sunt* [25]. Si porro nova creatura facta est, sane inter novas has res creatas primum aliquem esse oportuit: atqui merus homo et tantummodo terrestris, quales nos post violatam legem facti sumus, is esse non poterat. Namque in prima creatione infideles facti sunt homines, ac per eos prima illa periit creatura, et proinde opus alio erat qui et primam renovaret, et novam factam conservaret. Itaque non aliquis alius, sed Dominus mira benignitate principium novæ creaturæ creatur via, unde jure merito ait, *Dominus creavit me principium viarum suarum in opera sua* [26], ut non jam secundum priorem illam vivat homo, sed ut exsistente jam principio novæ creaturæ, Christumque ejus viarum principium habentes, ipsum deinceps sequamur dicentem: *Ego sum via* [27]. Id ipse beatus Apostolus Epistola ad Colossenses his verbis docet: *Ipse est caput corporis Ecclesiæ, qui est principium, primogenitus ex mortuis, ut sit in omnibus ipse primatum tenens* [28].

66. Namque si, uti dictum est, ob resurrectionem ex mortuis ipse principium appellatur: tunc autem facta est resurrectio, cum nostra indutus carne se ipse pro nobis morti tradidit: planum utique fuerit his ejus verbis, *Dominus creavit me initium viarum*, non ipsius naturam sed corporeum adventum significari. Mors enim ejus fuit propria corporis, ac proinde quemadmodum mors

[23] Genes. III, 19. [24] Hebr. X, 20. [25] II Cor. V, 17. [26] Prov. VIII, 22. [27] Joan. XIV, 6. [28] Coloss. I, 18.

τοὶ τὸν Θεὸν ὄψονται. In Felckm. 4, deest tantum τὸν Θεόν.

(56) Goblerianus et Felckman. 1, omittunt ὡς εἴρηκεν ὁ Ἀπόστολος. Mox idem, et Seguerian. habent τουτέστι τῆς σάρκος.

(57) Sic mss. At editi, καὶ τά etc. Mox τὰ πάντα deest in Seguer. Ibid. Felckman. 5, εἰ δὲ καὶ καινά.

(58) Sic Seguerianus, Goblerian. Felckman. 1 et 4. At editi et alii, Οὐκοῦν ὁ φιλάνθρωπος.

(59) Seguerian. Goblerian. Felckm. 1 et 4, addunt, εἰς ἔργα αὐτοῦ, quæ in aliis et editione Commel. desiderantur. Mox Seguerian. Goblerian. Felckm. 1 et 4, ἄνθρωπος πολιτεύηται. In aliis et editis ὁ deest.

(60) Seguer. et Reg., ἔχοντες. Editi mendose ἔχοντος.

(61) Seguerian. et Felckman. 4, διδάσκων ὁ μακάριος. Goblerian. et Felc. 1, διδάσκων ὁ Ἀπόστολος. Alii vero et editi, διδάσκων καὶ ὁ μακάριος.

(62) Basiliensis, ἀνάστασιν, ὅτε τὴν ἡμετέραν, omissis intermediis. Mox mss., φανερὸν ὅτι καί. Editio Commel., φανερὸν καὶ ὅτι.

(63) Sic Seguerianus, Regius, Basiliensis, Goblerianus, Felckmanni 1, 4 et 5. Alii autem et editi, ὁδῶν αὐτοῦ. Mox αὐτοῦ abest a Felckman. 5.

(64) Seguerian., ἰδιος. Editi, ἴδιον. In Basiliensi hæc desiderantur verba, ἴδιος ἦν ὁ θάνατος, καὶ ὥσπερ τοῦ σώματος.

est corporis propria, ita corporeæ præsentiæ propria sunt illa verba, *Dominus creavit me initium viarum suarum*. Cum enim Salvator hac ratione secundum carnem creatus sit, eorumque qui recreantur factus fuerit principium, ac nostrum habeat primitias, humanam scilicet carnem quam assumpsit; convenienter post ipsum futurus creatur populus, de quo ait David : *Scribantur hæc in generationem alteram, et populus qui creabitur, laudabit Dominum* [29]. et rursus psalmo vicesimo primo, *Annuntiabitur Domino generatio ventura, et annuntiabunt justitiam ejus populo qui nascetur, quem fecit Dominus* [30]. Nec enim amplius audituri sumus, *Quacunque die comederitis ex eo, morte moriemini* [31] : sed, *ubi sum ego, et vos eritis* [32] : adeo ut jam dicere liceat : *Ipsius enim factura sumus creati in operibus bonis* [33]. Præterea postquam opus Dei, id est homo, perfectus creatus, prævaricatione inops effectus est, et peccato mortuus; cum item dedeceret Dei opus imperfectum remanere, unde fit ut omnes sancti psalmo centesimo trigesimo septimo Deum hac de re ita precentur, *Domine, retribues pro me : Domine, opera* **423** *manuum tuarum ne despicias* [34] : idcirco perfectum Dei Verbum, corpus imperfectum induit; atque in opera creari dicitur, ut pro nobis debito soluto, ea quæ homini deerant, per seipsum expleret atque perficeret. Deerant autem homini immortalitas et via ad paradisum. Hoc ipsum Salvator his verbis indicat : *Ego te glorificavi in terra : opus perfeci quod faciendum mihi dedisti* [35]. Et iterum : *Opera quæ Pater mihi perficienda dedit : ipsa opera qua facio, testimonium perhibent de me* [36]. Opera porro quæ sibi Patrem perficienda dedisse declarat, ipsa illa sunt in quæ creatur, ut in Proverbiis ait : *Dominus creavit me principium viarum suarum in opera sua* [37]. Nam idem est dicere, *dedit mihi Pater opera*, et, *creavit me Dominus in opera*.

τοῦ σώματος ἴδιός ἐσοιν ὁ θάνατος, οὕτω τῆς σωματικῆς παρουσίας (65) ἴδιον ἂν εἰη τὸ λεγόμενον· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ. Τοῦ γὰρ Σωτῆρος οὕτω κατὰ σάρκα κτισθέντος, καὶ ἀρχῆς γενομένου (66) τῶν ἀνακτιζομένων, καὶ ἔχοντος ἡμῶν τὴν ἀπαρχὴν, ἣν προσέλαβεν ἀνθρωπίνην σάρκα, ἀκολούθως μετ' αὐτὸν καὶ ὁ μελλων λαὸς κτίζεται, λέγοντος τοῦ Δαβίδ· Γραφήτω αὕτη (67) εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον· καὶ πάλιν (68) ἐν τῷ εἰκοστῷ πρώτῳ ψαλμῷ· Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη· καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. Οὐκέτι γὰρ ἀκουσόμεθα, Ἣ δ' ἂν ἡμέρᾳ φάγητε (69) ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἀλλὰ, Ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἔσεσθε· ὥστε λέγειν ἡμᾶς· Αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες ἐπ' ἔργοις (70) ἀγαθοῖς. Πάλιν τε, ἐπειδὴ τὸ ἔργον τοῦ Θεοῦ, τουτέστιν ὁ ἄνθρωπος, τέλειος κτισθεὶς, ἐλλιπὴς γέγονε διὰ τῆς παραβάσεως, καὶ γέγονε τῇ ἁμαρτίᾳ νεκρὸς, ἀπρεπὲς δὲ ἦν μένειν τὸ ἔργον τοῦ Θεοῦ ἀτελές· διὸ καὶ ἐδέοντο πάντες οἱ ἅγιοι περὶ τούτου λέγοντες (71) ἐν τῷ ἑκατοστῷ τριακοστῷ καὶ ἑβδόμῳ ψαλμῷ, Κύριε, ἀνταποδώσεις ὑπὲρ ἐμοῦ· Κύριε, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς· διὰ τοῦτο (72) ὁ τέλειος τοῦ Θεοῦ Λόγος τὸ ἀτελὲς περιτίθεται σῶμα, καὶ λέγεται εἰς τὰ ἔργα κτίζεσθαι, ἵνα, ἀν' ἡμῶν τὴν ὀφειλὴν ἀποδιδοὺς (73), τὰ λείποντα τῷ ἀνθρώπῳ δι' ἑαυτοῦ τελειώσῃ. Ἔλειπε δὲ αὐτῷ ἡ ἀθανασία, καὶ ἡ εἰς τὸν παράδεισον ὁδός. Καὶ τοῦτό ἐστι τὸ λεγόμενον παρὰ τοῦ Σωτῆρος· Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω· καὶ πάλιν (74)· Τὰ ἔργα, ἃ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα (75), ἃ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ· ἃ δὲ λέγει ἐνταῦθα ἔργα δεδωκέναι αὐτῷ τὸν Πατέρα εἰς τελείωσιν, ταῦτά ἐστι, εἰς ἃ κτίζεται, λέγων ἐν ταῖς Παροιμίαις· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· ἴσον γάρ ἐστι τὸ εἰπεῖν (76), Ἔδωκέ μοι ὁ Πατὴρ τὰ ἔργα, καὶ, Ἔκτισέ με Κύριος (77) εἰς ἔργα.

[29] Psal. ci, 19. [30] Psal. xxi, 32. [31] Genes. ii, 17. [32] Joan. xiv, 3. [33] Ephes. ii, 10. [34] Psal. cxxxvii, 8. [35] Joan. xvii, 4. [36] Joan. v, 36. [37] Prov. viii, 22.

(65) Seguerian., παρουσίας. Editi et alii, οὐσίας, Mox Κύριος deest in Seguerian. et Felc. 1.

(66) Seguerian. et Reg., γενομένου. Editi, γινομένου.

(67) Seguerian., αὐτή.

(68) Goblerian. et Felck. 1, καὶ πάλιν, ἀναγγελήσεται.

(69) Sic Seguerian. et Basil. ut et habetur Genes. 2, 17. Reg., φάγησθε· Felc. 4, φάγητε, mendose. Editi et alii, φάγεσθε.

(70) Sic Seguerian. At alii et editi, κτισθέντες ὑπ' αὐτοῦ ἐπ' ἔργοις. Mox Seguerian. Goblerian. Felc. 1 et 4, Πάλιν τε. Cæteri et editi, πάλιν δέ. Paulo post Goblerian. et Felc. 4, παραβάσεως, γέγονε.

(71) Sic Seguerian. Reg. et Anglican. At Goblerian. et Felc. 1, λέγοντος Δαβίδ. Editi λέγοντες Δαβίδ. Ibidem mss., cum edit. Commel. et Parisiensi habent, ἐδέοντο. Editio autem Coloniensis, ὀγδόῳ, nulla auctoritate, quod et passim aliis in Psalmorum locis commisit, secuta videlicet distinctionem Psalmorum quæ hodie in Græcis Scripturæ codicibus habent. At Athanasius Psalmos solet numerare, prout in Vulgata notantur. Item ibid. Seguer. Goblerian. et Felc. 1, Κύριε, ἀνταποδώσεις. Alii et editi, Κύριος ἀνταποδώσει.

(72) Seguer. διὰ τοι τοῦτο. Alii et editi, διὰ τοῦτο.

(73) Seguer., Gobler. Felc. 1 et 4, ἀποδιδούς, et paulo post, ἔλειπε. Cæteri et editi, ἀποδούς, et ἔλιπε.

(74) Πάλιν deest in Gobler. et Felc. 1.

(75) Seguer. Gobler. et Felc. 1, αὐτὰ τὰ ἔργα. Basil. Reg. et Anglic., ταῦτα τὰ ἔργα. Editi, ταῦτα ἔργα. Mox Seguer. Gobler. et Felc. 1, δεδωκέναι αὐτῷ. In aliis et editis deest αὐτῷ.

(76) Seguer. Basil. et Felc. 5, τῷ εἰπεῖν. At in Seg. τό supra τῷ ascriptum est· Anglic. Gobler. et Felc. 1, τὸ εἰπεῖν. Felc. 5, εἰπεῖν tantum. Editi vere et alii, εἰ εἶπεν. Ibid. Basil., τὰ ἔργα εἰς τὸ τελειῶσαι, καὶ ἔκτισέ με.

(77) Felc. 5, omittit Κύριος.

67. Πότε οὖν ἔλαβε τὰ ἔργα εἰς τὸ τελειῶσαι, ὦ θεομάχοι; Ἐκ γὰρ τούτου καὶ τὸ, ἔκτισε, γνωσθήσεται. Κατὰ μὲν οὖν τὴν ἀρχὴν, ὅτε ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ ἐποίει (78), ἐὰν εἴπητε, ψεῦδός ἐστιν· οὔπω γὰρ ἦν γενόμενα· φαίνεται δὲ λέγων, ὡς τὰ ἤδη ὄντα λαμβάνων. Ἀλλ' οὐδὲ τὸν πρὸ τοῦ γένηται ὁ Λόγος σὰρξ χρόνον εἰπεῖν εὐαγὲς, ἵνα μὴ περιττὴ λοιπὸν αὐτοῦ ἡ ἐπιδημία φανῇ· τούτων γὰρ χάριν καὶ ἡ ἐπιδημία ἐγένετο (79). Οὐκοῦν λείπει λοιπὸν εἰπεῖν, ὅτι· ὅτε γέγονεν ἄνθρωπος, τότε ἔλαβε τὰ ἔργα· τότε γὰρ αὐτὰ καὶ ἐτελείωσεν, ἰασάμενος τὸ τραύματα ἡμῶν, καὶ χαρισάμενος ἡμῖν (80) τὴν ἐκ νεκρῶν ἀνάστασιν. Εἰ δὲ ὅτε γέγονεν ὁ Λόγος σὰρξ, τότε ἐδόθη αὐτῷ τὰ ἔργα, δῆλον, ὅτι (81), ὅτε γέγονε ἄνθρωπος, τότε καὶ εἰς τὰ ἔργα κτίζεται. Οὐκ ἄρα τῆς οὐσίας αὐτοῦ σημαντικόν ἐστι τὸ, ἔκτισεν, ὥσπερ πολλάκις εἴρηται, ἀλλὰ τῆς σωματικῆς αὐτοῦ γενέσεως. Τότε γὰρ διὰ τὸ γεγενῆσθαι ἀπὸ τῆς παραβάσεως ἀτελῆ καὶ χωλὰ τὰ ἔργα, λέγεται σωματικῶς, ὅτι κτίζεται, ἵνα τελειώσας αὐτὰ καὶ ὁλόκληρα ποιήσας, παραστήσῃ τῷ Πατρὶ τὴν Ἐκκλησίαν, ὡς εἶπεν ὁ Ἀπόστολος· Μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Τετελείωται οὖν ἐν αὐτῷ καὶ ἀποκατεστάθη, ὥσπερ ἦν καὶ κατὰ τὴν ἀρχὴν γεγονὸς (82), τὸ ἀνθρώπινον γένος, καὶ μείζονι μᾶλλον χάριτι· ἀναστάντες γὰρ ἐκ νεκρῶν, οὐκέτι φοβούμεθα θάνατον, ἀλλ' ἐν Χριστῷ βασιλεύσομεν ἀεὶ ἐν τοῖς οὐρανοῖς. Τοῦτο δὲ γέγονεν, ἐπειδὴ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἴδιος καὶ ἐκ τοῦ Πατρὸς ὢν ἐνεδύσατο τὴν σάρκα, καὶ γέγονεν ἄνθρωπος. Εἰ γὰρ κτίσμα ὢν ἐγεγόνει ἄνθρωπος, ἔμενεν οὐδὲν ἧττον ὁ ἄνθρωπος (83), ὥσπερ καὶ ἦν, οὐ συναφθεὶς τῷ Θεῷ. Πῶς γὰρ ἂν ποίημα ὢν, διὰ ποιήματος συνήπτετο τῷ κτίστῃ (84); Ἡ ποία βοήθεια παρὰ τῶν ὁμοίων τοῖς ὁμοίοις γένοιτ' ἄν, δεομένων καὶ αὐτῶν τῆς αὐτῆς βοηθείας; Πῶς δὲ, εἴπερ κτίσμα ἦν ὁ Λόγος (85) τὴν ἀπόφασιν τοῦ Θεοῦ λῦσαι δυνατὸς ἦν, καὶ ἀφεῖναι τὴν ἁμαρτίαν γεγραμμένου (86) παρὰ τοῖς προφήταις, ὅτι τοῦτο Θεοῦ ἐστι; Τίς γὰρ Θεὸς ὥσπερ σὺ ἐξαίρων ἁμαρτίας, καὶ ὑπερβαίνων ἀνομίας; Ὁ μὲν γὰρ Θεὸς εἶπε· Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· οἱ δὲ ἄνθρωποι γεγόνασι θνητοί· Πῶς τοίνυν (87) οἷόν τε ἦν παρὰ τῶν γενητῶν λυθῆναι τὴν ἁμαρτίαν; ἀλλ' ἔλυσέ γε αὐτὸς ὁ Κύριος, ὡς εἶπεν αὐτὸς, Ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς (88) ἐλευθερώσῃ· καὶ ἔδειξεν ἀληθῶς ὁ Υἱὸς ὁ ἐλευθερώσας, ὡς οὐκ ἔστι κτίσμα, οὐδὲ τῶν γενη-

A 67. Quandonam igitur opera perficienda suscepit, o Dei hostes? Hinc enim quid dictio *creavit* significet, facile intelligetur. Si respondetis principio suscepisse opera perficienda, cum illa e nihilo fecit ut essent: falsum id utique est; necdum enim facta erant. Atqui de his tanquam quæ jam essent apparet eum loqui. Neque etiam fas est istud de tempore intelligere quod prius fuit quam Verbum caro fieret, ne inutilis ejus videatur adventus, cum hujusce rei causa advenerit. Itaque jam restat ut fateamur tunc accepisse opera cum homo factus est. Siquidem tunc illa perfecit, cum nostra sanavit vulnera, nobisque ex mortuis resurgere concessit. Quod si cum Verbum caro factum est, tunc ei data sunt opera, liquet ipsum, cum homo factus est,

B tunc quoque in opera esse creatum. Non ergo hoc verbo, *creavit*, ejus natura significatur, uti sæpius dictum est, sed ortus ipsius corporeus. Tunc enim, quod opera imperfecta et mutila peccato facta fuerant, creari secundum corpus dicitur, ut illis perfectis atque in integrum statum restitutis, Ecclesiam Patri exhiberet *non habentem maculam*, ut ait Apostolus, *aut rugam, aut aliquid hujusmodi, sed ut sit sancta et immaculata* [38]. In illo ergo perfectum est hominum genus, qualeque initio factum fuerat, vel potius ampliore cum gratia restitutum atque reparatum est. Siquidem ex mortuis excitati, mortem non amplius pertimescimus, sed in Christo semper in cœlis sumus regnaturi. Quod ideo consequimur, quod ipsum Dei Verbum proprium atque ex Patre genitum carnem induit factusque homo

C est. Nam si creatam cum haberet naturam, factus postea fuisset homo: idem profecto quod antea mansisset hominum genus, neque cum Deo conjunctum fuisset. Qui enim res facta per rem factam cum Creatore conjungi posset? Aut quid auxilii similibus posset dari a similibus, cum ipsa eodem auxilio indigeant? Qui vero, si Verbum res creata esset, posset Dei sententiam abrogare, peccatumque dimittere, cum hoc Dei proprium esse scripserint prophetæ? Nam, *Quis Deus, similis tui, qui aufers peccata, et transcendis iniquitates* [39]? Siquidem Deus dixit: *Terra es, et in terram reverteris* [40], eaque causa est cur homines facti mortales fuerint. Quomodo igitur peccatum possent 424 res factæ solvere? Verum ipse solvit Dominus, ut idem ipse

[38] Ephes. v, 27. [39] Mich. vii, 18. [40] Genes. iii, 19.

(78) Reg. et Felc. 5, ἐποίησεν.
(79) Seguer., ἐγίνετο.
(80) Seguerian. Goblerian. Felckman. 1 et 4, ἡμῖν. Editi et alii, πᾶσιν.
(81) Sic Seguerian. Reg. Anglic. et Felc. 4. At editio Commel., δηλονότι ὅτε, etc.
(82) Seguer. Reg. Basil. Anglic. Felc. 2, 4 et 5, γεγονός. Gobler. et Felc. 1, γεγονώς. Editi, γεγονε.
(83) Seguer., ἔμενεν ἂν οὐδὲν ἧττον ἄνθρωπος, et mox συναφθεὶς Θεῷ.
(84) Seguer. Gobler. Felc. 1 et 4, τῷ κτίστῃ. Anglican., τῷ κτίσματι, mendose. Alii et editi τῷ κτίσαντι. Paulo post Seguer., Gobler., Anglican. et

D Felc. 1, δεόμενα καὶ αὐτὰ τῆς αὐτῆς Editi et alii, δεομένων καὶ αὐτῶν τῆς αὐτῆς.
(85) Felckman. 2, et editio Commel., ἦν Λόγος. Alii mss., ἦν ὁ Λόγος.
(86) Seguer. et Reg., γεγραμμένον.
(87) Seguer. et Reg., Πῶς τοίνυν. Editi, Πῶς γάρ.
(88) Seguer. et Felc. 4, ἡμᾶς. Ibid. Im Seguerian., Regius, Goblerian., Felc. 1. 4 et 5, ἀληθῶς ὁ Υἱὸς ὁ ἐλευθερώσας, ὡς οὐκ ἔστι κτίσμα. Alii et editi, ἀληθῶς ὡς Υἱὸς ὁ ἐλευθερώσας, ὅτι οὐκ ἔστι κτίσμα. Ibid. Felc. 5, γεννητῶν.

sit, *Nisi Filius vos liberaverit*[41], vereque ostendit Filius liberator se nec creatum nec factum esse, sed naturæ Patris, qui sententiam illam initio tulerat, solusque peccata condonat, proprium esse Verbum et imaginem. Cum enim in Verbo dictum fuerit, *Terra es, et in terram reverteris*, valde congruenter per idem ipsum Verbum atque in ipso libertas et solutio damnationis facta est.

A τῶν, ἀλλὰ ἴδιος Λόγος, καὶ εἰκὼν τῆς τοῦ Πατρὸς οὐσίας, τοῦ καὶ κατὰ τὴν ἀρχὴν ἀποφηναμένου καὶ ἀφιέντος μόνου τὰς ἁμαρτίας. Ἐπειδὴ γὰρ εἴρηται ἐν τῷ Λόγῳ, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, ἀκολούθως δι' αὐτοῦ τοῦ Λόγου καὶ ἐν αὐτῷ ἡ ἐλευθερία καὶ ἡ λύσις (89) τῆς κατακρίσεως γεγένηται.

68. Atqui, inquiunt, etiamsi Salvator creatus esset, poterat Deus tantummodo dicere, atque ita solvere maledictionem. At simili modo ipsis ita occurri possit: Etiam sine ullo ejus adventu poterat Deus tantummodo dicere, atque ita solvere maledictionem. Verum attendere oportet quid sit hominibus utile, non autem quid in omnibus possit Deus. Namque etiam ante Noe arcam, homines qui B peccaverant poterat interimere: tamen id nonnisi post arcam fecit. Poterat quoque absque Moyse, solummodo dicere, populumque educere ex Ægypto: at id per Moysem fieri conveniebat. Poterat item Deus populum sine judicibus conservare: verum e re populi erat judices pro tempore habere. Quin etiam ipse Salvator poterat ab initio advenire; vel postquam advenit, poterat non tradi Pilato: attamen in fine sæculorum advenit, et quæsitus dixit, *Ego sum*[42]. Quod enim ille facit, id hominibus expedit, nec aliter fieri decuit: quod autem et expedit et decet, id ipse curat et providet. Venit itaque non ut illi ministraretur, sed ut ipse ministraret[43], et nobis restitueret salutem. Certe tametsi legem e cœlo poterat enuntiare, vidit tamen hominibus conducere C eam e monte Sina proferri: quod quidem fecit ut et Moyses posset ascendere, et illi, verba propius audiendo, facilius crederent. Verumtamen quanta cum ratione id factum fuerit, ex his perspicere licet. Si Deus pro sua potentia dixisset, solutaque esset maledictio: apparuisset quidem jubentis potestas, talisque factus fuisset homo qualis fuit Adam ante peccatum, qui nimirum gratiam extrinsecus acciperet, nec eam corpori connexam haberet. Enimvero cum istiusmodi esset Adam, in paradiso est collocatus: imo vero forte pejor factus est, quippe qui peccare didicerit. Quod si, cum talis fuisset, contigisset quoque ut a serpente deciperetur, Deum iterum jubere et maledictionem solvere opus fuisset, eoque modo nullum finem consecuta

68. Ἀλλ' ἠδύνατο, φασί, καὶ κτίσματος ὄντος τοῦ Σωτῆρος, μόνον εἰπεῖν ὁ Θεὸς καὶ λῦσαι τὴν κατάραν. Τὸ αὐτὸ δι' ἂν ἀκούσαιεν καὶ αὐτοὶ παρ' ἑτέρου λέγοντος. Ἠδύνατο καὶ μηδ' ὅλως ἐπιδημήσαντος αὐτοῦ, μόνον εἰπεῖν ὁ Θεὸς καὶ λῦσαι τὴν κατάραν. Ἀλλὰ σκοπεῖν δεῖ τὸ τοῖς ἀνθρώποις λυσιτελοῦν καὶ μὴ ἐν πᾶσι τὸ δυνατὸν τοῦ Θεοῦ λογίζεσται· ἐπεὶ (90) ἠδύνατο καὶ πρὸ τῆς Νῶε κιβωτοῦ τοὺς τότε παραβάντας ἀνθρώπους ἀπολέσαι· ἀλλὰ μετὰ τὴν κιβωτὸν πεποίηκεν. Ἠδύνατο καὶ χωρὶς Μωσέως καὶ μόνον εἰπεῖν, καὶ ἐξαγαγεῖν τὸν λαὸν ἐξ Αἰγύπτου· ἀλλὰ συνέφερε διὰ Μωσέως. Ἠδύνατο καὶ χωρὶς τῶν κριτῶν σώζειν τὸν λαὸν ὁ Θεός· ἀλλὰ συνέφερε τοῖς λοῖς (91) κατὰ καιρὸν ἐγείρεσθαι κριτὴν αὐτοῖς. Ἠδύνατο καὶ ἐξ ἀρχῆς ὁ Σωτὴρ ἐπιδημῆσαι, ἢ ἐλθὼν μὴ παραδοθῆναι Πιλάτῳ· ἀλλὰ καὶ ἐπὶ (92) συντελείᾳ τῶν αἰώνων ἦλθε, καὶ ζητούμενος εἶπεν. Ἐγώ εἰμι· ὃ γὰρ ποιεῖ, τοῦτο καὶ συμφέρει τοῖς ἀνθρώποις, καὶ ἄλλος οὐκ ἔπρεπε γενέσθαι· καὶ ὅπερ δὲ συμφέρει καὶ πρέπει, τούτου καὶ πρόνοιαν ποιεῖται. Ἦλθε γοῦν, οὐχ ἵνα διακονηθῇ, ἀλλ' ἵνα διακονήσῃ, καὶ τὴν ἡμῶν ἐργάσηται σωτηρίαν. Ἀμέλει δυνάμενος (93) ἀπὸ τοῦ οὐρανοῦ λαλῆσαι τὸν νόμον, εἶδεν, ὅτι λυσιτελεῖ τοῖς ἀνθρώποις ἀπὸ τοῦ Σινᾶ λαλῆσαι, καὶ τοῦτο πεποίηκεν, ἵνα καὶ Μωσῆς ἀναβῆναι δυνηθῇ, κἀκεῖνοι (94) τὸν λόγον ἐγγύθεν ἀκούοντες· μᾶλλον πιστεῦσαι δυνηθῶσι. Πλὴν καὶ τὸ εὔλογον τοῦ γενομένου θεωρεῖν ἔξεσθιν ἐντεῦθεν· Εἰ διὰ τὸ ὀτνατὸν εἰρῆκει, καὶ ἐλέλυτο (95) ἡ κατάρα· τοῦ μὲν κελεύσαντος ἡ δύναμις ἐπεδείκνυτο, ὁ μέντοι ἄνθρωπος τοιοῦτος ἐγίνετο, οἷος ἦν καὶ ὁ Ἀδὰμ (96) πρὸ τῆς παραβάσεως, ἔξωθεν λαβὼν τὴν χάριν, καὶ μὴ συνερμοσμένην ἔχων αὐτὴν τῷ σώματι· τοιοῦτος γὰρ ὢν καὶ τότε τέθειτο ἐν τῷ παραδείσῳ· τάχα δὲ καὶ χείρων ἐγίνετο, ὅτι (97) καὶ παραβαίνειν μεμάθηκεν. Ὢν τοίνυν τοιοῦτος, εἰ καὶ παραπέπειστο ὑπὸ τοῦ ὄφεως, ἐγίνετο πάλιν χρεία· προστάξαι τὸν Θεὸν καὶ λῦσαι τῆν κατάραν· καὶ οὕτως εἰς ἄπειρον ἐγίνετο ἡ χρεία, καὶ οὐδὲν ἧττον οἱ ἄν-

[41] Joan. VIII, 36. [42] Joan. XVIII, 5. [43] Matth. XX, 28.

(89) Seguerianus et Felckm. 4, λύσις. Alii et editi, λύτρωσις.

(90) Seguer., ἐπεί, et ibidem, πρὸ τῆς Νῶε κιβωτοῦ. Alii et editi, ἐπειδή, et πρὸ τῆς κιβωτοῦ.

(91) Seguer., Basil., Gobler., Felc. 1 et 4, τοῖς λαοῖς. Alii et editi, τοῖς ἄλλοις.

(92) Seguer., Reg. et Felc. 4, ἀλλὰ καὶ ἐπὶ. Editi et alii, ἀλλὰ ἐπί.

(93) Felckman. 2, et editio Commel., ἀμέλει καὶ δυνάμενος. Alii mss., ἀμέλει δυνάμενος. Mox Seguerian., Reg., Anglican., Goblerian., Felckman. 1, 4 et 5, εἶδεν. Cæteri et editi, οἶδεν.

(94) Sic mss. At editio Commel., κἀκεῖνον.

(95) Seguer., Gobler.. et Felckman. 1, et 9, ἐλέλυτο. Alii et editi, λέλυτο. Mox Seguer., Reg., Anglic. et Felc. 2, ἐδείκνυτο. Cæteri et editi, ἐπεδείκνυτο. Seguer. paulo post, τοιοῦτος ἐγένετο.

(96) Seguer., Gobler., Felc. 1 et 4, οἷος ἦν καὶ Ἀδάμ. Reg., Basil., Anglic. et Felc. 5, οἷος ἦν καὶ ὁ Ἀδάμ. Editio Commel., οἷος ἦν ὁ Ἀδὰμ Mox Seguerian. et Reg., καὶ μὴ συνηρμοσμένην. Alii et editi, καὶ μὴ συγχωρουμένην.

(97) Seguer., ὅτι, alii et editi, ὅτε. Mox Seguer., Anglican., Gobler. Felc. 1 et 4, εἰ καὶ παραπέπειστο. In aliis et editis deest καί.

θρωποι ἔμενον ὑπεύθυνοι, δουλεύοντες τῇ ἁμαρτίᾳ· ἀεὶ δὲ ἁμαρτάνοντες, ἀεὶ ἐδέοντο τοῦ συγχωροῦντος, καὶ οὐδέποτε ἠλευθεροῦντο (98), σάρκες ὄντες καθ' ἑαυτοὺς, καὶ ἀεὶ ἡττώμενοι τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τῆς σαρκός.

A esset necessitas, hominesque nihilominus rei mansissent, ac peccato serviissent. Ita autem semper peccando, semper condonante opus habuissent, ac proinde nunquam fuissent liberati, cum ex se toti sint carnei, atque ob carnis infirmitatem legi semper succumbant.

69. Ἁλίν τε εἰ κτίσμα ἦν ὁ Υἱὸς, ἔμενεν ὁ ἄνθρωπος οὐδὲν ἧττον θνητὸς, μὴ συναπτόμενος τῷ Θεῷ (99)· οὐ γὰρ κτίσμα συνῆπτε τὰ κτίσματα τῷ Θεῷ, ζητοῦν καὶ αὐτὸ τὸν συνάπτοντα· οὐδὲ τὸ μέρος τῆς κτίσεως σωτηρία τῆς κτίσεως ἂν εἴη, δεόμενον καὶ αὐτὸ σωτηρίας. Ἵνα οὖν μηδὲ τοῦτο γένηται (1), πέμπει τὸν ἑαυτοῦ Υἱὸν, καὶ γίνεται υἱὸς ἀνθρώπου, τὴν κτιστὴν σάρκα λαβών· Ἵν', ἐπειδὴ πάντες εἰσὶν ὑπεύθυνοι τῷ θανάτῳ, ἄλλος ὢν τῶν πάντων, αὐτὸς ὑπὲρ πάντων τὸ ἴδιον σῶμα τῷ θανάτῳ προσενέγκῃ, καὶ λοιπὸν, ὡς πάντων δι' αὐτοῦ ἀποθανόντων, ὁ μὲν λόγος τῆς ἀποφάσεως πληρωθῇ (πάντες γὰρ ἀπέθανον ἐν Χριστῷ((2)· πάντες δὲ δι' αὐτοῦ γένωνται λοιπὸν ἐλεύθεροι μὲν ἀπὸ τῆς ἁμαρτίας καὶ τῆς δι' αὐτὴν κατάρας, ἀληθῶς δὲ διαμείνωσιν (3) εἰσαεὶ ἀναστάντες ἐκ νεκρῶν, καὶ ἀθανασίαν καὶ ἀφθαρσίαν ἐνδυσάμενοι. Τοῦ γὰρ Λόγου ἐνδυσαμένου τὴν σάρκα, καθὼς πολλάκις δέδεικται, πᾶν μὲν ὄῆγμα τοῦ ὄφεως δι' ὅλου κατεσθέννυτο ἀπ' αὐτῆς· εἴ τι ἐκ τῶν σαρκικῶν κινημάτων ἀνεφύετο κακὸν, ἐξενόπτετο, καὶ συναναῃρεῖτο (4) τούτοις ὁ τῆς ἁμαρτίας ἀκόλουθος θάνατος, ὡς αὐτὸς ὁ Κύριός φησιν· Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ οὐδὲν εὑρίσκει (5) ἐν ἐμοί· καὶ, Εἰς τοῦτο γὰρ ἐφανερώθη, ὡς ἔγραψεν ὁ Ἰωάννης, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. Τούτων δὲ (6) λυθέντων ἀπὸ τῆς σαρκὸς, πάντες οὕτω κατὰ τὴν συγγένειαν τῆς σαρκὸς ἠλευθερώθημεν, καὶ λοιπὸν συνήφθημεν καὶ ἡμεῖς τῷ Λόγῳ. Συναφθέντες δὲ τῷ Θεῷ, οὐκέτι μὲν ἐπὶ γῆς ἀπομένομεν (7), ἀλλ' ὡς αὐτὸς εἶπεν, ὅπου αὐτὸς, καὶ ἡμεῖς ἐσόμεθα· καὶ λοιπὸν οὔτε τὸν ὄφιν ἔτι φοβηθησόμεθα· κατηργήθη γὰρ ἐν τῇ σαρκὶ διωχθεὶς παρὰ τοῦ Σωτῆρος, καὶ ἀκούσας· Ὕπαγε ὀπίσω μου, Σατανᾶ· καὶ οὕτως ἔξω τοῦ παραδείσου τυγχάνει βαλλόμενος εἰς τὸ πῦρ τὸ αἰώνιον· οὔτε δὲ (8) γυναῖκα παραπείθουσαν φυλαξόμεθα· Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι (9)· καὶ ἐν Χριστῷ Ἰησοῦ καινὴ κτίσις ἔσται· καὶ οὔτε ἄρσεν, οὔτε θῆλυ, ἀλλὰ πάντα καὶ ἐν πᾶσιν

69. Præterea si Filius res creata esset, homo nihilominus mortalis remaneret, utpote minime cum Deo copulatus. Nec enim res aliqua creata res alias creatas cum Deo potest conjungere, cum ipsa conjungentem aliquem quærat. Neque pars aliqua creatæ naturæ salutem illi posset afferre **425** cum ipsa salute quoque indigeat. Quod ne fieret, Deus sui ipsius Filium misit, qui creata carne assumpta factus est filius hominis, ut quoniam omnes rei essent mortis, ille qui alius est ab omnibus, proprium corpus pro omnibus morti offerret, atque ita omnibus veluti per ipsum mortuis, et sententia adversum nos lata compleretur (omnes enim in Christo mortui sunt), et omnes deinceps a peccato et maledictione, quæ ex eo secuta est, per ipsum fierent liberi, vereque in perpetuum permanerent, immortalitate et incorruptione, postquam resurrexissent, induti. Namque postquam Verbum carnem induit, ut sæpe dictum est, ab ea exstinctus penitus est serpentis morsus, et quidquid mali exoriebatur ex carnis motibus, præcisum omnino est, ac denique ipsa mors peccati comes fuit simul interempta, ut ipse Dominus hujusmodi verbis declarat: *Venit princeps hujus mundi, et nihil in me invenit* [44]. Et: *In hoc enim apparuit*, uti scripsit Joannes, *ut dissolvat opera diaboli* [45]. His autem carne dissolutis, omnes propter carnis cognationem liberati sumus, Jamque nos etiam cum Verbo copulati fuimus. Porro cum Deo conjuncti, non amplius in terra remanebimus, sed, ut ipse dixit [46], ubi ille erit, nos quoque erimus, nec serpentem amplius sumus formidaturi. Profligatus enim ille est a Salvatore eum in sua carne persequente ac dicente, *Vade post me, Satana* [47]: atque ita extra paradisum in ignem æternum est dejectus. Nec etiam ullæ muliebres illecebræ cavendæ nobis erunt: *In resurrectione enim nec nubent nec nubentur, sed sunt sicut angeli* [48]. Et in Christo Jesu nova creatura erit [49], neque masculus aut femina, sed omnia et in omnibus erit Christus [50].

[44] Joan. XIV, 30. [45] I Joan. III, 8. [46] Joan. XIV, 3. [47] Matth. IV, 10. [48] Matth. XXII, 30. [49] Galat VI, 15. [50] Galat. III, 28, ; I Cor. XV, 28.

(98) Seguer., ἐλευθεροῦντος ἀρκεσθέντες. Gobler., Felc. 1, 4 et 5, ἠλευθεροῦντο ἀρκεσθέντες. Cæteri et editi, ἠλευθεροῦντο, σάρκες ὄντες. Ibid. καὶ deest in Gobler. et Felc. 1.

(99) Seguer. et Felc. 4, συναπτόμενος Θεῷ.

(1) Seguer. Ἵν' οὖν τοῦτο μὴ γένηται. Gobler. Felc. 1 et 4. Ἵνα οὖν μὴ τοῦτο, etc. Editi et alii, Ἵνα οὖν μηδὲ τοῦτο, etc.

(2) Seguer., ἀπέθανεν Χριστῷ. Paulo post Seguer. Reg. Gobler. Felc. 1 et 5, δι' αὐτοῦ γεννῶνται. Anglic. et Felc. 4, δι' αὐτοῦ γένωνται. Alii et editio Commel., πάντες δὲ γένωνται.

(3) Seguer., διαμένωσιν.

(4) Seguer., Gobler., Felc. 1 et 4, συναναῃρεῖτο. Basili., Anglic., Reg., Felc. 2 et 5, συναναῄρητο. Editi et alii, συναρήρητο.

(5) Gobler., Felc. 1 et 4, εὑρήσει. Ibid. Gobler. et Felc. 1, ἐν ἐμοί. Εἰς τοῦτο γάρ, etc.

(6) Seguer, Gobler., Felc. 1 et 4, τούτων δέ. Alii et editi, τούτων οὖν.

(7) Gobler. et Felc. 1, ἀπομένωμεν. Paulo post, Seguer., Gobler., Felc. 1 et 4, καὶ λοιπόν. Ibid. Seguer., οὐδέ. Editi et alii καί omittunt.

(8) Sic Seguer., Gobler., Felc. 1 et 4. At in aliis et editis δέ deest.

(9) Felckman. 5, ὡς οἱ ἄγγελοι.

Ubi autem Christus adest, quis timor vel quid periculi possit accidere?

70. Id autem factum minime fuisset, si quid creatum esset Verbum. Nam diabolus, qui et ipse creatura est, perpetuum cum creatura gessisset bellum, et homo quicunque fuisset intermedius, morti semper subjectus fuisset, quippe qui nihil haberet in quo et per quod cum Deo conjunctus liber fieret ab omni metu. Quocirca ipsa Veritas ostendit Verbum non esse e factis rebus, sed illarum potius esse auctorem. Ita enim corpus factum et humanum assumpsit, ut illud tanquam opifex reficeret, et divinum in scipso redderet, atque hoc pacto nos omnes ad illius similitudinem in cœlum introduceret. Atqui homo cum re creata conjunctus non potuisset divinus effici, nisi Filius verus Deus esset, nequo homo se Patri sistere ausus esset, nisi is qui corpus induit, naturale et verum ejus esset Verbum. Ac quemadmodum nunquam a peccato et a maledictione liberati fuissemus, nisi caro, quam induit Verbum, natura humana esset; ita nunquam homo divinus effectus fuisset, nisi is qui caro factus est, natura esset verum et proprium Patris Verbum. Namque idcirco hujusmodi **426** copulatio facta est, ut eum, qui natura homo est, cum illo, qui natura Deus est, conjungeret, hocque pacto stabilis et firma esset ejus salus et, ut ita loquar, deificatio. Qui ergo Filium natura esse ex Patre aut ejus substantiæ proprium esse inficiantur, negent quoque eum veram humanam carnem ex Maria semper virgine accepisse. Nihil enim nobis hominibus profuisset, si nec Verbum verus et naturalis Dei Filius esset, nec vera esset caro quam assumpsit. Sed profecto veram accepit carnem, quantumvis fuerat Valentinus. Erat item et natura et verum Dei Verbum, insaniant licet Ariani: atque in ea carne nostrum novæ creationis fuit principium, homo pro nobis creatus, qui et nobis viam illam, ut dictum est, renovavit.

(10) Seguer. Gobler. Felc.. 1 et 4, addunt ἔσται, quod in aliis et editis deest.

(11) Sic mss. At editio Commel., Πρὸς γὰρ κτίσμα ὢν καὶ ὁ διάβολος.

(12) Anglic., γενήσεται.

(13) Seguer Basil. Reg. Anglican. Gobler. Felc. 1 et 4, αὐτοῦ Λόγος. Cæteri et editi, αὐτοῦ ὁ Λόγος.

(14) Theodoretus Dialogo 2, qui ἀσύγχυτος, id est, *inconfusus*, inscribitur, hunc locum affert cum hoc titulo, τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τοῦ πρὸς τὰς αἱρέσεις λόγου δευτέρου. Exstat quoque in concilio Chalcedonensi parte III, cap. 1, pag. 829 postremæ editionis, ubi generatim inscribitur, τοῦ μακαρίου Ἀθανασίου ἐκ τοῦ κατὰ αἱρέσεων λόγου.

(15) Sic Seguer. Reg. Gobler, Felc. 1 et 4, et Theodoretus. At concil. Chalced. omittit, τῆς κατάρας. Alii et editi habent, καὶ ἀπὸ τῆς κατάρας.

(16) Felc. 5, ἀΐδιος. Ibid. Seguer. Theodoret. et concil. Chalcedon., αὐτοῦ ἦν ὁ Λόγος. Editi et alii, ἦν αὐτοῦ Λόγος.

(17) Seguer. Felc. 4. Theodoret. et concil. Chalcedon., τῷ κατὰ φύσιν. Alii et editi, τὸ κατὰ φύσιν. Sic autem hunc locum vertit interpres concilii Chalcedonensis: *Idcirco namque talis est facta connexio, ut ei, qui juxta naturam divinitatis est, illum hominem, qui est humanæ naturæ, conjungeret.* Ibique desinit hic locus.

(18) Seguer., Reg. et Theodor, γένηται ἡ σωτηρία. Alii et editi, γένηται σωτηρία. **Mox Seguer.**, Gobler. et Felc. 1, οὐκοῦν ἀρνούμενοι. **Idem ibidem** et Theodoretus: ἀρνούμενοι ἐκ τοῦ Πατρός. **Alii et** editi, ἀρνούμενοι μὴ ἐκ τοῦ Πατρός.

(19) Sic Seguer. Reg. **Theodoret. Gobler. Felc. 1 et 5. At alii et editi, τῆς ἰδίας οὐσίας. Ibidem Felckm. 4, αὐτοῦ Υἱόν. Rursus ibid. Gobler. Felckm. 1, et Theodor.. ἀρνησάσθωσαν. Item Theodoret ibid., ἀρνησάσθωσαν ἀληθινὴν σάρκα καὶ ἀνθρωπίνην. Editio Commel. et alii mss., ἀρνείσθωσαν καὶ ἀληθινὴν σάρκα ἀνθρωπίνην.**

(20) Theodoret., Παρθένου. **Ibique locus desinit.** Ibid. κέρδος abest a Felc. 2, et editione Commel.

(21) Seguer., ἀληθινὸς ἦν καὶ φύσει ἦν Υἱός, **etc.**

(22) Sic Seguer. Anglican. **Gobler. et Felc. 1** et 4. At cæteri et editi, ἡμῶν ἀρχή.

(23) Seguerianus, Goblerianus, **Felckmanni 1 et** 4, ac Regius, ἐγκαινίσας. Editi et **alii, ἀνακαινίσας.** Sed Felckm. 5, sic habet ὑπὲρ ἡμῶν **ὥσπερ εἴρηται,** omissis intermediis. Idem ibidem, **οὔτε κτίσμα.**

A ἔσται (10) ὁ Χριστός. Ἔνθα δὲ ὁ Χριστὸς, ποῖος φόβος ἢ ποῖος κίνδυνος ἔτι γενήσεται;

70. Τοῦτο δὲ οὐκ ἂν ἐγεγόνει, εἰ κτίσμα ἦν ὁ Λόγος. Πρὸς γὰρ κτίσμα, κτίσμα ὢν καὶ ὁ διάβολος (11), εἶχεν ἀεὶ τὴν μάχην· καὶ μέσος ὢν ὁ ἄνθρωπος, ὑποπτος ἦν ἀεὶ τῷ θανατῳ, μὴ ἔχων ἐν ᾧ καὶ δι' οὗ συναφθεὶς τῷ Θεῷ ἐλεύθερος παντὸς φόβου γένηται (12). Ὅθεν ἡ ἀλήθεια δείκνυσι μὴ εἶναι τῶν γενητῶν τὸν Λόγον, ἀλλὰ μᾶλλον τούτων αὐτὸν δημιουργόν· οὕτω γὰρ καὶ προσελάβετο τὸ γενητὸν καὶ ἀνθρώπινον σῶμα, ἵνα, τοῦτο ὡς δημιουργὸς ἀνακαινίσας, ἐν ἑαυτῷ θεοποιήσῃ, καὶ οὕτως εἰς βασιλείαν οὐρανῶν εἰσαγάγῃ πάντας ἡμᾶς καθ' ὁμοιότητα ἐκείνου. Οὐκ ἂν δὲ πάλιν ἐθεοποιήθη κτίσματι συναφθεὶς ὁ ἄνθρωπος, εἰ μὴ Θεὸς ἦν ἀληθινὸς ὁ Υἱός· καὶ οὐκ ἂν παρέστη τῷ B Πατρὶ ὁ ἄνθρωπος, εἰ μὴ φύσει καὶ ἀληθινὸς ἦν αὐτοῦ Λόγος (13) ὁ ἐνδυσάμενος τὸ σῶμα (14). Καὶ ὥσπερ οὐκ ἂν ἠλευθερώθημεν ἀπὸ τῆς ἁμαρτίας καὶ τῆς κατάρας (15), εἰ μὴ φύσει σὰρξ ἦν ἀνθρωπίνη, ἣν ἐνεδύσατο ὁ Λόγος· οὐδὲν γὰρ κοινὸν ἦν ἡμῖν πρὸς τὸ ἀλλότριον· οὕτως οὐκ ἂν ἐθεοποιήθη ὁ ἄνθρωπος, εἰ μὴ φύσει ἐκ τοῦ Πατρὸς καὶ ἀληθινὸς καὶ ἴδιος (16) αὐτοῦ ἦν ὁ Λόγος, ὁ γενόμενος σάρξ. Διὰ τοῦτο γὰρ τοιαύτη γέγονεν ἡ συναφή, ἵνα τῷ κατὰ φύσιν (17) τῆς θεότητος συνάψῃ τὸν φύσει ἄνθρωπον, καὶ βεβαία γένηται ἡ σωτηρία (18) καὶ ἡ θεοποίησις αὐτοῦ. Οὐκοῦν οἱ ἀρνούμενοι ἐκ τοῦ Πατρὸς εἶναι φύσει καὶ ἴδιον αὐτοῦ τῆς οὐσίας (19) τὸν Υἱὸν ἀρνείσθωσαν καὶ ἀληθινὴν σάρκα ἀνθρωπίνην αὐτὸν εἰληφέναι ἐκ Μαρίας τῆς ἀειπαρθένου (20). Οὐδὲν γὰρ πλέων ἡμῖν κέρδος τοῖς ἀνθρώποις ἦν, εἰ μήτε ἀληθινὸς καὶ φύσει ἦν Υἱὸς (21) τοῦ C Θεοῦ ὁ Λόγος, μήτε ἀληθινὴ σὰρξ ἦν, ἣν προσελάβετο. Ἀλλ' ἔλαβέ γε ἀληθινὴν σάρκα, κἂν μαίνηται Οὐαλεντῖνος· ἦν γὰρ καὶ φύσει καὶ ἀληθινὸς Θεὸς ὁ Λόγος, κἂν μαίνωνται οἱ Ἀρειομανῖται· καὶ ἐν ἐκείνῃ γέγονεν ἡμῶν ἡ ἀρχὴ (22) τῆς καινῆς κτίσεως, κτισθεὶς ἄνθρωπος ὑπὲρ ἡμῶν, καὶ τὴν ὁδὸν ἡμῖν ἐκείνην ἐγκαινίσας (23), ὥσπερ εἴρηται.

71. Οὔτε οὖν κτίσμα ἐστὶν ὁ Λόγος, οὔτε ἔργον· A ταὐτὸν γὰρ ἐστι κτίσμα καὶ ποίημα, καὶ ἔργον· καὶ εἴπερ κτίσμα καὶ ποίημα ἦν ἂν καὶ ἔργον. Διὰ τοῦτο γοῦν οὐδὲ εἴρηκεν· Ἔκτισέ με ἔργον· οὐδὲ, Σὺν τοῖς ἔργοις ἐποίησεν, ἵνα μὴ τῇ φύσει (24) καὶ τῇ οὐσίᾳ κτίσμα εἶναι δόξῃ· οὔτε ὅτι, Διὰ τὸ ποιῆσαί με ἔργα, ἔκτισεν, ἵνα μὴ πάλιν κατὰ τὴν κακόνοιαν τῶν ἀσεβῶν ὡς ὄργανον δι' ἡμᾶς γενόμενος νομισθῇ· ἀλλ' οὐδ' ὅτι Πρὸ τῶν ἔργων ἔκτισέ με, ἀνήγγειλεν, ἵνα μὴ, ὥσπερ ἐστὶ γέννημα ὢν πρὸ πάντων, οὕτω καὶ κτιζόμενος πρὸ τῶν ἔργων, ταὐτὸν ποιήσῃ (25) νομίζεσθαι τὸ, γέννημα, καὶ τὸ, ἔκτισεν· ἀλλὰ μετὰ παρατηρήσεως ἀκριβοῦς, εἰς ἔργα, εἴρηκεν· ἴσον τῷ εἰπεῖν, Εἰς σάρκα με (26) πεποίηκεν ὁ Πατὴρ γενέσθαι ἄνθρωπον· ὥστε καὶ ἐκ τούτου πάλιν δείκνυσθαι, μὴ εἶναι ἔργον αὐτὸν, ἀλλὰ γέννημα. Ὡς γὰρ ὁ εἰσερχόμενος (27) εἰς οἰκίαν οὐκ ἔστι μέρος τῆς οἰκίας, B ἀλλὰ ἄλλος ἐστὶ παρὰ τὴν οἰκίαν· οὕτως ὁ εἰς τὰ ἔργα κτιζόμενος ἄλλος ἂν εἴη τὴν φύσιν παρὰ τὰ ἔργα· ἐπεὶ εἰ καθ' ὑμᾶς ὁ τοῦ Θεοῦ Λόγος ἔργον ἐστὶν, ὦ Ἀρειανοὶ, ἐν (28) ποίᾳ ἄρα χειρὶ καὶ σοφίᾳ γέγονε καὶ αὐτός; Πάντα γὰρ τὰ γενόμενα, ἐν τῇ χειρὶ καὶ ἐν σοφίᾳ τοῦ Θεοῦ γέγονε, λέγοντος μὲν αὐτοῦ τοῦ Θεοῦ· Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα (29)· τοῦ δὲ Δαβὶδ ψάλλοντος· Καὶ σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ τὰ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· καὶ πάλιν ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ δευτέρῳ ψαλμῷ· Ἐμνήσθην ἡμερῶν ἀρχαίων, καὶ (30) ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Οὐκοῦν εἰ ἐν χειρὶ τοῦ Θεοῦ (31) τὰ ποιήματα εἰργάσθη, γέγραπται δὲ, ὅτι Πάντα διὰ τοῦ Λόγου ἐγένετο, καὶ χωρὶς αὐ- C τοῦ ἐγένετο οὐδὲ ἕν· καὶ πάλιν, Εἷς Κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, καὶ ὅτι· Ἐν αὐτῷ τὰ πάντα συνέστηκεν· εὔδηλον, ὡς οὐκ ἂν εἴη ὁ Υἱὸς ἔργον, ἀλλ' αὐτός ἐστιν ἡ χεὶρ τοῦ Θεοῦ καὶ ἡ σοφία. Τοῦτο γινώσκοντες καὶ οἱ (32) ἐν Βαβυλῶνι γενόμενοι μάρτυρες, Ἀνανίας, Ἀζαρίας, Μισαὴλ, ἐλέγχουσι τὴν Ἀρειανὴν ἀσέβειαν. Εἰπόντες γὰρ (33)· Εὐλογεῖτε

71. Itaque Verbum nec res est creata, nec opus. Nam idem est res creata et facta, atque opus: unde si res creata et facta esset, esset quoque opus. Hinc non dixit: Creavit me opus, neque, Cum operibus fecit, ne natura et substantia res creata esse videretur: neque, Creavit me ad opera facienda, ne rursus eum tanquam organum nostri causa factum esse arbitraremur, quæ prava est impiorum sententia: neque etiam dixit: Ante opera creavit me, ne quemadmodum est ante omnia genitus, ita quoque, si ante opera creatus diceretur, inde colligeretur idem significari vocabulis, *genitus*, et, *creavit*: verum cautissime addit, *in opera*, quod idem est ac si diceret: In carnem me fecit Pater, ut homo fierem. Unde ex hoc etiam loco evidens sit illum non opus, sed genitum esse. Nam ut qui domum ingreditur, non est pars domus, sed alius est a domo: ita qui in opera creatur, alius sane est ab operibus. Alioquin si, ut putatis, o Ariani, Dei Verbum opus est, quanam, amabo, in manu et sapientia factum est? Nam omnia quæ facta sunt, in manu et sapientia Dei facta sunt, ut Deus ipse ait: ***Manus mea fecit hæc omnia*** [51]; et David: ***Et tu initio, Domine, terram fundasti, et opera manuum tuarum sunt cæli*** [52]; et rursus psalmo centesimo quadragesimo secundo: ***Memor fui dierum antiquorum, et meditatus sum in omnibus operibus tuis; in factis manuum tuarum meditabar*** [53]. Itaque si in manu Dei facta sunt opera, scriptum autem est: *Omnia per Verbum facta sunt, et sine ipso factum est nihil* [54]; et rursus: *Unus Dominus Jesus, per quem omnia* [55]; et: *In ipso omnia constituta sunt* [56]: clarum utique est Filium non esse opus, sed Dei manum et sapientiam. Quod cum non 427 ignorarent Babylonis martyres Ananias, Azarias et Misael, Arianam, et ipsi impietatem redarguunt. Namque postquam dixissent, ***Benedicite, omnia opera Domini, Domino*** [57], ea quidem quæ cum in cœlis tum in terra exsistunt, atque universas res creatas tanquam opera recensuerunt: at

[51] Isa. LXVI, 22. [52] Psal. CI, 26. [53] Psal. CXLII, 5. [54] Joan. I, 3. [55] I Cor. VIII, 6. [56] Coloss. I, 17. [57] Dan. III, 57.

(24) Seguer. Gobler. Felckman. 1 et 4, μὴ τῇ φύσει. Alii et editi, μὴ φύσει. Paulo post Reg. Basili. Anglic. et Felc. 5, ποιῆσαί με ἔργα. Seg. Gobler. Felc. 1 et 4, ποιῆσαί με τὰ ἔργα, mendose scilicet pro, ποιῆσαι μετὰ ἔργα. Alii vero et editi, ποιῆσαι μὲν ἔργα.

(25) Seguerian. Goblerian. Felckman. 1 et 4, ποιῆσαι.

(26) Seguer. εἰς σάρκα με. In aliis et editis με deest. Editio Commel. ibi mendose, εἰ σάρκα. Paulo post Seguer. Gobler. Felc. 1 et 4, ὥστε καὶ ἐν τοῦτου. Alii et editi, ὥστε καὶ ἐκ τοῦ τοιούτου.

(27) Seguer. Gobler. Felc. 1 et 4, ὁ εἰσερχόμενος. Basil. ὁ ἐργαζόμενος. Alii et editi, ὁ ἐρχόμενος, Paulo post, Felc. 4, ἀλλὰ ἄλλο.

(28) Sic Seguer., Felc. 2 et editi. At in cæteris mss. ἐν deest. Mox Felc. 2 et editi γέγονεν αὐτός. Alii mss. γέγονε καὶ αὐτός. Ibidem Seguerian. et Basiliens. Πάντα γὰρ τὰ γενόμενα, ἐν τῇ χειρὶ καὶ ἐν σοφίᾳ. Anglican. Πάντα ἃ γέγονε, ἐν τῇ χειρὶ καὶ ἐν σοφίᾳ. Reg. Goblerian. Felc. 1, 4 et 5, Πάντα γὰρ τὰ γενομενα ἔργα ἐν χειρὶ καὶ ἐν σοφίᾳ. Alii et D editi, Πάντα γὰρ ἔργα ἃ γέγονε, τῇ χειρὶ καὶ σοφίᾳ.

(29) Gobler. et Felc. 1, τὰ πάντα. Paulo post Leguer. καὶ ἔργα τῶν χειρῶν. Ibidem Gobler. et Felckman. 1, καὶ αὖθις· Ἐμνήσθην ἡμερῶν. Vox ψαλμῷ ibidem deest in Seguer. et Felc. 4.

(30) Καί abest a Seguer. Gobler. Felc. 1 et 4.

(31) Seguer. χειρὶ Θεοῦ. Mox idem et Gobler., Felc. 1 et 4, γέγραπται δὲ, ὅτι Πάοτα διὰ τοῦ Λόγου ἐγένετο. Alii et editi, γέγραπται γὰρ, ὅτι Πάννα διὰ τοῦ Λόγου γέγονε.

(32) Seguerian. et Reg. καὶ οἱ. In aliis et editis deest καί. Ib. Goblerian. et Felckman. 1, γενόμενοι παῖδες ἐλέγχουσι.

(33) Sic Seguer. Gobler. Felc. 1 et 4. At alii et editio Commel. γάρ omittunt. Ibidem Seguerian. Reg. et Felckman. 4, τὰ ἔργα Κυρίου τὸν Κύριον. Alii vero et editi, τὰ ἔργα τὸν Κύριον. Item ibidem, Seguer. et Felc. 4, τὰ μὲν ἐν οὐρανῷ. At μέν abest ab aliis et ed. Commel. Ibidem Seguerian. Basiliens. Gobler. Felc. 1 et 4, καὶ ἐπὶ γῆς.

Filium prætermiserunt. Nec enim dixere : Benedic, Verbum, et lauda, sapientia : nempe ut ostenderent res alias omnes et laudantes et opera esse, Verbum autem nec opus nec e laudantium esse numero, sed una cum Patre laudari, adorari, et Deum agnosci, atque ejus quidem Verbum et sapientiam esse, operum vero creatorem. Id etiam Spiritus in Psalmis dilucide admodum distinxit his verbis : *Rectum est Verbum Domini et omnia opera ejus in fide* [58] ; et alibi : *Quam magnificata sunt opera tua, Domine ! omnia in sapientia fecisti* [59].

A πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· τὰ μὲν ἐν οὐρανῷ καὶ τὰ ἐπὶ γῆς, καὶ πᾶσαν τὴν κτίσιν, ὡς ἔργα κατέλεξαν· τὸν δὲ Υἱὸν οὐκ ὠνόμασαν· οὐ γὰρ εἰρήκασιν (34)· Εὐλόγει, Λόγε, καὶ ὕμνει, σοφία· ἵνα δείξωσιν, ὅτι τὰ μὲν ἄλλα πάντα ὑμνοῦντά ἐστι, καὶ ἔργα ἐστί· ὁ δὲ Λόγος οὐκ ἔστιν ἔργον οὐδὲ τῶν ὑμνούντων, ἀλλὰ σὺν τῷ Πατρὶ ὑμνούμενος, καὶ προσκυνούμενός (35) ἐστι καὶ θεολογούμενος, Λόγος μὲν αὐτοῦ καὶ σοφία ὤν, τῶν δὲ ἔργων δημιουργός. Τοῦτο καὶ τὸ Πνεῦμα ἐν Ψαλμοῖς (36) μετὰ καλλίστης διαστολῆς εἴρηκεν, ὅτι Εὐθὺς ὁ Λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει· καθάπερ καὶ ἐν ἑτέρῳ φησίν· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

72. Atqui si Verbum opus esset, absque dubio in sapientia quoque fuisset factum, nec ipsum Scriptura ab operibus discriminasset, neque illa quidem opera : hoc autem, Verbum et propriam Dei sapientiam appellasset. Cum autem Scriptura ipsum ab operibus secernat, docet profecto sapientiam esse operum effectricem, non vero opus. Eadem distinctione usus est Paulus Epistola ad Hebræos, ubi hæc scribit : *vivus enim est verbum Dei et efficax et acutius omni gladio ancipiti, et pertingit usque ad divisionem animæ et spiritus, compagum quoque ac medullarum, et judex cogitationum et meditationum cordis, nec ulla est creatura invisibilis in conspectu ejus : omnia autem nuda et aperta sunt oculis ejus, ad quod nobis est sermo* [60]. Ecce res quidem factas, *creaturam*, appellat : Filium vero Verbum Dei esse novit, utpote qui alius sit a rebus creatis. Cum item addit : *Omnia autem nuda et aperta sunt oculis ejus, ad quod nobis est sermo*, alium certe eum ab omnibus esse significat. Hinc ille quidem judicat : singulæ vero res creatæ ei rationem referre tenentur. Ex eo etiam loco, ubi universa creatura nobiscum una dicitur congemere ut liberetur a servitute corruptionis [61], Filium alium a rebus creatis esse ostenditur. Enimvero si creatus esset, unus et ipse esset gementium, qui alio pariter opus haberet, a quo simul ipse cum omnibus filius efficeretur et liberaretur. Si porro res omnis creata congemit ut liberetur a corruptione servitutis, ipse autem Filius non unus est gementium, nec indigentium libertate, sed ipse est qui omnes et filios efficit et liberos reddit. ut olim

72. Εἰ δὲ ἔργον ἦν ὁ Λόγος, πάντως ἂν (37) καὶ αὐτὸς ἐν σοφίᾳ ἐγεγόνει, καὶ οὔτ' ἂν διέστελλεν αὐτὸν ἀπὸ τῶν ἔργων ἡ Γραφή, οὔτε τὰ μὲν ἔργα ὠνόμαζε, τὸν δὲ Λόγον καὶ σοφίαν ἰδίαν τοῦ Θεοῦ εὐηγγελίζετο. Νῦν δὲ, διαστέλλουσα τῶν ἔργων αὐτὸν ἡ Γραφὴ, δείκνυσιν, ὅτι τῶν ἔργων δημιουργός ἐστιν ἡ σοφία, καὶ οὐκ ἔργον. Ταύτῃ τῇ διαστολῇ καὶ ὁ Παῦλος κέχρηται γράφων Ἑβραίοις· Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι (38) μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. Ἰδοὺ γὰρ τὰ μὲν γενητὰ κτίσιν ὠνόμασε (39)· τὸν δὲ Υἱὸν Λόγον οἶδεν ὄντα τοῦ Θεοῦ, ὡς ἄλλου ὄντος αὐτοῦ παρὰ τὰ κτίσματα. Πάλιν δὲ λέγων· Πάντα δὲ (40) γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος· ἄλλον αὐτὸν εἶναι σημαίνει τῶν πάντων. Διὰ τοῦτο γὰρ καὶ ὁ μὲν κρίνει, τῶν δὲ γενητῶν πάντων ἕκαστος ὑπεύθυνός ἐστιν αὐτῷ διδόναι λόγον. Οὕτως ἄρα καὶ τῆς κτίσεως πάσης συστεναζούσης ἡμῖν εἰς τὸ ἐλευθερωθῆναι ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, ἄλλος τῶν κτισμάτων δείκνυται εἶναι (41) ὁ Υἱός. Εἰ γὰρ ἦν κτίσμα, εἷς ἦν καὶ αὐτὸς τῶν στεναζόντων, καὶ δεόμενος τοῦ υἱοποιοῦντος καὶ ἐλευθεροῦντος καὶ αὐτὸν μετὰ πάντων. Εἰ δὲ πᾶσα μὲν ἡ κτίσις συστενάζει ἐλευθερίας χάριν τῆς ἀπὸ τῆς φθορᾶς τῆς δουλείας, ὁ δὲ Υἱὸς οὐκ ἔστι τῶν στεναζόντων, οὐδὲ τῶν δεομένων ἐλευθερίας, ἀλλ' αὐτός ἐστιν ὁ υἱοποιῶν (42) καὶ ἐλευθερῶν τὰ πάντα, λέγων τοῖς τότε Ἰουδαίοις· Ὃ δὲ

[58] Psal. xxxii, 4. [59] Psal. ciii, 24. [60] Hebr. iv, 12, 13. [61] Rom. viii, 21, 22.

(34) Seguer. Anglican. et Felc. 4, οὐ γὰρ εἰρήκασιν. Goblerian. et Felc. 1, οὐ γὰρ εἶπασιν. Alii et editi utrumque omittunt.

(35) Καὶ προσκυνούμενος deest in Basil. Gobler. et Felckman. 1.

(36) Seguer. Reg. et Felc. 4 addunt, ἐν Ψαλμοῖς, quod in aliis et editis deest. Ibid. Seguer. Gobler. Felc. 1 et 4, μετὰ καλλίστης τῆς Basil. ibid. ὁ Λόγος ὁ τοῦ Κυρίου.

(37) Felc. 5 ἂν omittit. Mox Felc. 4, καὶ οὐκ ἂν διέστελλεν.

(38) Seguer. et Felc. 4, μέχρι. Basil. ibid. μελῶν. Paulo post, Seguerian. Gobler. Felc. 1 et 4, omittunt καὶ ἐννοιῶν καρδίας.

(39) Seguer. Gobler. Felc. 1 et 4, τὰ γενητὰ κτίσιν ὀνομάζει. Paulo post. Felc. 2 et editio Commel. ὄντες τοῦ παρά. Cæteri mss. ὄντος αὐτοῦ παρά.

(40) Seguer. Reg. Anglic. Gobler. Felc. 1, 2 et 4. Πάντα δὲ Editi, Πάντα καί. Basil. omittit δέ et καί. Ibidem Felc. 2 et editio Commel. τῷ ὀφθαλμῷ. Alii mss. τοῖς ὀφθαλμοῖς. Mox Seguer. Gobler. Felc. 1 et 4, αὐτὸν εἶναι σημαίνει. In aliis et editis deest εἶναι.

(41) Sic Seguer. Reg. Gobler. et Felc. 1. At editi et alii εἶναι omittunt.

(42) Seguer. ἐστιν ὁ υἱοποιῶν. Cæteri et editi, ἐστιν υἱοποιῶν. Basil. ibid. δῆλον, ὡς αὐτός ἐστιν υἱοποιῶν. Mox Seguerian., ὁ δοῦλος.

δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα· ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε· λευκότερον φωτὸς ἀποδείκνυται καὶ ἐκ τούτων, ὅτι οὐκ ἔστι κτίσμα ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' Υἱὸς ἀληθινὸς καὶ φύσει γνήσιος τοῦ Πατρός. Περὶ μὲν οὖν τοῦ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν, εἰ καὶ δι' ὀλίγων, ἀλλ' ἱκανά ἐστιν, ὡς γε νομίζω, πρόφασιν παρασχεῖν ταῦτα τοῖς λογιωτέροις πλείονα κατασκευάζειν εἰς ἀναίρεσιν τῆς Ἀρειανῆς αἱρέσεως· ἐπειδὴ δὲ καὶ (43) τὸν ἑξῆς στίχον ἀναγινώσκοντες οἱ αἱρετικοὶ, κακῶς καὶ περὶ τούτου ἐνθυμούμενοι νομίζουσιν, ἐπειδὴ γέγραπται, Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, εἰς τὴν θεότητα τοῦ Λόγου καὶ μὴ εἰς τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν εἰρῆσθαι καὶ ταῦτα (44), ἀναγκαῖον, καὶ τοῦτον τὸν στίχον διαλύοντας, δεῖξαι τὴν πλάνην ἐκείνων.

73. Γέγραπται· Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· εἰ τοίνυν τῇ σοφίᾳ ἡ γῆ τεθεμελίωται (45), πῶς ὁ θεμελιῶν θεμελιοῦται; Ἀλλὰ παροιμιωδῶς ἐστιν εἰρημένον καὶ τοῦτο· καὶ δεῖ καὶ τούτου τὸν νοῦν (46) ζητεῖν, ἵνα γινώσκωμεν, ὅτι τῇ μὲν σοφίᾳ ὁ Πατὴρ δημιουργεῖ, καὶ θεμελιοῖ τὴν γῆν εἰς τὸ εἶναι ἑδραίαν καὶ διαμένειν αὐτήν· αὐτὴ δὲ ἡ σοφία ἐθεμελιοῦτο (47) εἰς ἡμᾶς, ἵνα ἀρχὴ καὶ θεμέλιος τῆς καινῆς ἡμῶν κτίσεως καὶ ἀνακαινίσεως γένηται. Οὐκ εἴρηκε γοῦν οὐδὲ ἐν τούτοις (48), Πρὸ τοῦ αἰῶνος Λόγον ἢ Υἱόν με πεποίηκεν, ἵνα μὴ ὡς ἀρχὴν ἔχῃ τοῦ ποιεῖσθαι· τοῦτο γὰρ πρὸ πάντων δεῖ ζητεῖν, εἰ Υἱός ἐστι, καὶ περὶ τούτου τὰς Γραφὰς προηγουμένως ἐρευνᾶν. Τοῦτο γὰρ (49) καὶ τῶν ἀποστόλων ἐρωτηθέντων ὁ Πέτρος ἀπεκρίνατο λέγων· Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος (50)· τοῦτο γὰρ καὶ ὁ πατὴρ τῆς Ἀρειανῆς αἱρέσεως ἐν πρώτοις ἠρώτησεν, Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ. Ἤδει γὰρ, ὅτι τοῦτό ἐστιν ἡ ἀλήθεια, καὶ τὸ κύριον τῆς πίστεως ἡμῶν· καὶ ὅτι, ἐὰν μὲν αὐτὸς ᾖ ὁ Υἱὸς (51), τέλος ἕξει ἡ διαβολικὴ τυραννὶς· ἐὰν δὲ κτίσμα ᾖ, εἰς ὅστι καὶ αὐτὸς τῶν ἐκ τοῦ Ἀδὰμ τοῦ ἐπατηθέντος παρ' αὐτοῦ (51*), καὶ οὐδεμία φροντὶς ἦν αὐτῷ. Διὰ τοῦτο καὶ οἱ τότε Ἰουδαῖοι ἠγανάκτουν, ὅτι ὁ Κύριος Υἱὸν Θεοῦ ἑαυτὸν καὶ Πατέρα ἴδιον ἔλεγεν ἑαυτοῦ (52) εἶναι τὸν Θεόν. Εἰ γὰρ ἦν ἑαυτὸν ἕνα τῶν κτισμάτων εἰρηκὼς, ἢ ὅτι Ποίημά εἰμι, οὐκ ἐξενίζοντο ἀκούοντες, οὐδὲ βλασφημίαν ἐνόμιζον τὰ τοιαῦτα ῥήματα, εἰδότες καὶ ἀγγέλων ἐπιδημίαν γενομένην πρὸς τοὺς πατέρας· ἀλλ' ἐπειδὴ Υἱὸν ἑαυτὸν ἔλεγεν (53), ἐθεώ-

A Judæis aiebat ipse: *Servus non manet in domo in æternum: filius autem manet in æternum. Si ergo Filius vos liberaverit, vere liberi eritis* [62]: ex his profecto luce ipsa clarius est Dei Verbum non creatum esse, sed verum et natura proprium Patris Fillium. Hæc quæ de loco illo Proverbiorum, *Dominus creavit me initium viarum* [63], licet paucis disseruimus, tamen, ut equidem reor, ampliorem doctioribus dicendi copiam adversus Arianam hæresim queunt suppeditare. Quando vero hæretici etiam sequentem hunc versum **428** male interpretantur, *Ante ævum fundavit me* [64], quæ scilicet verba de divinitate, non de ejus adventu corporeo dicta esse autumant: necesse omnino est ut hunc etiam versum explicemus, illorumque errorem patefaciamus.

B

73. Scriptum est: *Dominus sapientia fundavit terram* [65]. Si igitur sapientia terram fundavit, qui fieri potest ut is qui fundat, fundetur? Verum id etiam proverbii instar dictum est, ejusque nobis quærenda significatio est, ut cognoscamus Patrem sapientia creare et fundare terram, ut firma et stabilis permaneat: ipsam vero sapientiam nostri causa esse fundatam, ut videlicet nostræ novæ creationis et renovationis principium fieret et fundamentum. Hinc nec eo in loco ait: Ante ævum Verbum vel Filium me fecit, ne quasi initium, quo fieri cœpisset, habere crederetur. Namque id ante omnia quærendum est, si nempe Filius ipse est, eaque de re Scripturæ sunt præcipue scrutandæ. Id enim cum interrogarentur et ipsi apostoli, Petrus C ita respondit: *Tu es Christus, Filius Dei viventis* [66]. Idem vero et ipse pater Arianæ hæresis in primis percunctatus est, *Si Filius Dei es* [67]. Hoc enim veritatem et præcipuum nostræ fidei fundamentum esse non ignorabat, et, si ipse esset Filius, finem habituram esse diabolicam tyrannidem: sin autem creatus esset, unum quoque eum esse ex Adæ posteris quem olim decepit, proindeque nihil hoc curandum esse. Ea similiter de causa Judæi indignabantur, quod Dominus se Filium Dei, et Deum sui proprium Patrem diceret. Nam si se unam e creatis rebus vel factum esse dixisset, nihil illos perturbassent hujusmodi verba, nec impia esse judicassent, utpote quibus non latebat angelos olim ad

[62] Joan. VIII, 55. [63] Prov. VIII, 22. [64] ibid. 23. [65] Prov. III, 19, [66] Matth. XVI, 16. [67] Matth. IV, 6.

(43) Anglican. ἐπειδὴ καί. Ibid. mss. οἱ αἱρετικοί. Editi vero omittunt articulum οἱ. Item ibid. Seguerian. Goblerian. Felc. 1 et 4, περὶ τούτου ἐνθυμούμενοι. Alii et editi, περὶ τούτου διανοούμενοι.

(44) Seguer. Gobler. Felc. 1 et 4, καὶ ταῦτα. Editi, καὶ ταύτην. Ibidem Felc. 4, ἀναγκαῖον τοῦτον.

(45) Seguer. τὴν γῆν τεθεμελίωκε.

(46) Sic mss. At editio Commel. τοῦτον τὸν νοῦν.

(47) Seguer. Gobler. Felc. 1 et 4, ἐθεμελιοῦτο. Alii et editi, θεμελιοῦται. Paulo post Seguer. Reg. Basil. Goblerian. Felc. 1 et 4, ἀνακαινίσεως. Editi et alii, ἀνακαινώσεως.

D (48) Felc. 2 et editio Commel. omittunt ἐν τούτοις. At in aliis legitur. Mox Seguer. Υἱόν με πεποίηκεν. In aliis et editis deest με.

(49) Seguer. Gobler. Felc. 1 et 4, Τοῦτο γάρ. Alii et editi, Τοῦτο δέ.

(50) Sic Seguer. Reg. Gobler. et Felc. 1 et 4. Alii vero et editi, Θεοῦ ζῶντος.

(51) Regius et Felc. quintus, ἐὰν μὲν οὗτος ᾖ ὁ Υἱὸς τοῦ Θεοῦ. Mox Seguer. διαβολικὴ τυραννία ἂν δὲ κτίσμα ᾖ, εἷς ἐστι καὶ αὐτὸς ἐκ τοῦ Ἀδάμ.

(51*) Gobler. et Felc. 1, ὑπ' αὐτοῦ.

(52) Felc. 4, ἑαυτῷ.

(53) Seguer. Gobler. Felc. 1 et 4, ἀλλ' ἐπειδὴ Υἱὸν ἑαυτὸν ἔλεγεν. Alii et editio Commel. Ἐπειδὴ οὖν Υἱὸν Θεοῦ ἑαυτὸν ἔλεγεν.

suos patres accessisse. Verum quia se Filium dicebat, id non rei creatæ sed divinitatis ac paternæ naturæ notam esse perspiciebant.

74. Par itaque erat Arianos saltem suum imitari patrem diabolum, quidque rei esset inquirere, ita ut, si dixisset quidem, Verbum vel Filium me fundavit, idem sentirent atque nunc sentiunt: at si non hæc ejus essent verba, ea quoque quæ non essent non comminiscerentur. Nec enim dixit, Ante ævum Verbum vel filium me fundavit, sed tantum, *fundavit me*, ut nimirum indicaret, quemadmodum jam observavi, non propter se, sed propter illos qui super ipsum ædificantur, hæc, proverbii instar, locutum esse. Id optime intelligebat Apostolus cum ita scripsit: ***Fundamentum aliud nemo potest ponere, præter id quod positum est, quod est Jesus Christus. Unusquisque autum videat quomodo superædificet*** [68]. Porro necesse est ut tale sit fundamentum qualia sunt quæ super ipsum ædificantur, ut inter se possint apte congruere. Atqui ut Verbum, tales, qualis **429** et ipse est, qui secum conveniant habere non potest, quippe, cum sit unigenitus. At factus homo similes habet, quorum videlicet similem carnem assumpsit. Itaque secundum naturam humanam fundatur, ut et nos tanquam lapides pretiosi super ipsum ædificari possimus, et templum efficiamur sancti Spiritus in nobis habitantis. Cæterum ut ipse fundamentum est, nos autem sumus qui super ipsum ædificamur: ita etiam idem ipse vitis est, nos autem veluti palmites cohærentes, non quidem secundum divinitatis naturam, nam hoc fieri nequit, sed secundum naturam humanam (necesse enim est vitis similes esse palmites), quia nos scilicet secundum carnem similes illius sumus. Quoniam vero hæretici nihil nisi humanum sapiunt, haud abs re fuerit eos humanis exemplis eodem ex loco depromptis confutare. Itaque non dixit, Fundamentum me fecit, ne inde cum rem factam esse atque ortus principium habuisse suspicati hæretici, impietatis stabiliendæ

[68] I Cor. III, 11, 10.

A ρουν μὴ κτίσματος εἶναι τὸ τοιοῦτον γνωρισμα, ἀλλὰ θεότητος (54) καὶ φύσεως πατρικῆς.

74. Ἔδει τοίνυν τοὺς Ἀρειανοὺς, κἂν τὸν πατέρα ἑαυτῶν τὸν διάβολον μιμουμένους, περιεργάζεσθαι· καὶ εἰ μὲν εἴρηκε, Λόγον ἢ Υἱόν με (55) ἐθεμελίωσε, φρονεῖν, ὡς φρονοῦσιν· εἰ δὲ μὴ οὕτως εἴρηκε, μὴ ἐπινοεῖν ἑαυτοῖς (56) τὰ μὴ ὄντα. Οὐ γὰρ εἴρηκε, Πρὸ τοῦ αἰῶνος Λόγον ἢ Υἱόν με ἐθεμελίωσεν· ἀλλ' ἁπλῶς, ἐθεμελίωσέ με, ἵνα δείξῃ πάλιν, καθάπερ εἶπον, ὅτι οὐ δι' ἑαυτὸν, διὰ δὲ τοὺς ἐποικοδομουμένους (57) ἐπ' αὐτὸν παροιμιωδῶς καὶ τοῦτο λέγει. Τοῦτο γὰρ εἰδὼς καὶ ὁ Ἀπόστολος γράφει (58)· Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Ἕκαστος δὲ B βλεπέτω, πῶς ἐποικοδομεῖ (59). Ἀνάγκη δὲ τὸν θεμέλιον τοιοῦτον εἶναι, οἷα καὶ τὰ ἐποικοδομούμενά ἐστιν, ἵνα καὶ συναρμολογεῖσθαι δυνηθῇ. Λόγος μὲν οὖν ὢν, ᾗ Λόγος ἐστὶν, οὐκ ἔχει τοιούτους, οἵὸς ἐστι καὶ αὐτὸς (60), τοὺς συναρμολογουμένους αὐτῷ· μονογενὴς, γάρ ἐστιν· ἄνθρωπος δὲ γενόμενος ἔχει τοὺς ὁμοίους, ὧν καὶ τὴν ὁμοίαν ἐνεδύσατο (61) σάρκα. Οὐκοῦν κατὰ τὸ ἀνθρώπινον θεμελιοῦται, ἵνα καὶ ἡμεῖς ἐπ' αὐτὸν ὡς λίθοι τίμοι ἐποικοδομεῖσθαι δυνηθῶμεν, καὶ γενώμεθα ναὸς τοῦ ἐν ἡμῖν (62) οἰκοῦντος ἁγίου Πνεύματος. Ὥσπερ δὲ θεμέλιος αὐτὸς, ἡμεῖς δὲ λίθοι ἐποικοδομούμενοι ἐπ' αὐτόν· οὕτως αὐτὸς πάλιν ἄμπελός ἐστιν, ἡμεῖς δὲ ὡς κλήματα (63) συνημμένα, οὐ κατὰ τὴν οὐσίαν τῆς θεότητος· ἀδύνατον γὰρ τοῦτό γε· ἀλλὰ πάλιν κατὰ τὸ ἀνθρώπινον· ὅμοια γὰρ εἶναι δεῖ τὰ κλήματα τῇ ἀμπέλῳ· ἐπεὶ καὶ ἡμεῖς ὅμοιοι C κατὰ τὴν σάρκα τυγχάνομεν ὄντες αὐτοῦ (64). Ἄλλως τε ἀνθρώπινα φρονοῦντας τοὺς αἱρετικοὺς, ἀνθρωπίνοις παραδείγμασι διελέγχειν προσήκει διὰ τῶν αὐτῶν λόγων. Οὐκ εἴρηκε γοῦν, ὅτι Θεμέλιόν (65) με πεποίηκεν, ἵνα μὴ, ὡς ποιήματος καὶ ἀρχὴν ἔχοντος αὐτοῦ τοῦ γίνεσθαι, κἂν ἐν τούτῳ πρόφασιν εὕρωσιν ἀναίσχυντον πρὸς ἀσέβειαν· ἀλλ' ὅτι Ἐθεμελίωσέ με. Τὸ δὲ θεμελιούμενον θεμελιοῦται μὲν διὰ τοὺς ἐπιβαλλομένους ἐπ' αὐτὸ (66) λίθους· γίνεται δὲ οὐχ, ἁπλῶς,

(54) Seguer. ἀλλὰ θεότητος. Alii vero et editi, ἀλλὰ καὶ θεότητος. Ibidem in codice Basiliensi hæc exstat nota, ὅτι τὴν φύσιν τοῦ Υἱοῦ ἤτοι τὴν οὐσίαν οὐ λέγει ὑϊκὴν, ἀλλὰ πατρικήν· καὶ ὧδε καὶ πρὸ τούτου ἐκάλεσεν αὐτὴν πατρικὴν, ἵνα μὴ τρεῖς φύσεις ἤ οὐσίας τις τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα νομίσῃ εἶναι ἢ τρεῖς θεότητας ὅλως· id est: *Filii naturam sive essentiam non dicit filialem sed paternam: ipsamque hic et antea paternam appellavit, ne quis tres naturas vel essentias sanctam et consubstantialem Trinitatem esse vel tres omnino divinitates existimet.*

(55) Sic Seguer. Gobler. Felc. 1 et 4. At alii et editi, εἴρηκεν ὁ Λόγος, Υἱόν, με etc.

(56) Mss. ἑαυτοῖς, præter Felc. 2, qui, ut et editi, αὐτοῖς.

(57) Sic Seguerian. et Reg. Editi et alii, ἐποικοδομημένους.

(58) Seguer. γράφει λέγων. Gobler. et Felc. 1, φησιν. Editi et alii, γράφει, tantum. Ibidem Seguer. Gobler. et Felckman. 1, Θεμέλιον ἄλλον. Alii et editi, Θεμέλιον γὰρ ἄλλον.

(59) Seguer. Gobler. Felck. 1 et 4, ἐποικοδομεῖ, ut et habet Scriptura. Alii et editi, οἰκοδομεῖ.

(60) Basiliensis, οἵὸς ἐστι καὶ αὐτός. **Hæc autem** verba desunt in Seguer· Gobler. **Felc. 1 et 4.** In editis et aliis καὶ deest. Ibid. **Seguer.**, συναρμοζομένους. Alii et editi, συναρμολογουμένους.

(61) Seguerian. ἀνεδέξατο. **Editi et alii,** ἐνεδύσατο.

(62) Seguerian. ἐνοικοῦντος ἐν ἡμῖν.

(63) Seguerian. ὡς κλήματα. **In aliis et editis** deest ὡς.

(64) Sic Seguerian. Goblerian. **Felc. 1 et 4.** At Basili. τυγχάνομεν αὐτῷ. Alii et editi, τυγχάνομεν αὐτοῦ. Ibid. Seguer. Goblerian. **Felc. 1 et 4,** ἀνθρώπινα. Alii et editi, ἀνθρωπίνως. **Mox Goblerian.** et Felc. 1, ἐλέγχειν.

(65) Sic Seguerian. Goblerian. **Felc. 1 et 4.** At Reg. Οὐκ εἴρηκε, Θεμέλιον. Editi et alii, **Οὐκ εἴρηκε** γοῦν, Θεμέλιον.

(66) Seguerianus, Goblerianus, **Felc. 1 et 5,** ἐπ' αὐτῷ. Reg. Basiliens. Anglican. **Felc. 2 et 5,** ἐπ' αὐτό. Alii et editi, ἐπ' αὐτόν.

ἀλλ' ὅταν ἐξ ὄρους μετενεχθῇ λίθος, καὶ εἰς τὸ βάθος τῆς γῆς κατατεθῇ. Καὶ ἕως μὲν ἐν τῷ ὄρει λίθος ἐστὶν, οὔπω τεθεμελίωται· ἐπειδὰν δὲ ἡ χρεία ἀπαιτῇ, καὶ μετενεχθῇ (67), καὶ περιβάληται τὸ βάθος τῆς γῆς· τότε λοιπὸν, εἰ λάβοι φωνὴν ὁ λίθος, εἴποι ἄν· Νῦν ἐθεμελίωσέ με, (68) ὁ ἐξ ὄρους ὧδε μεταθείς. Οὐκοῦν οὐχ ὁ Κύριος καὶ ὅτε τεθεμελίωται, ἀρχὴν ἔχει τοῦ εἶναι (ἦν γὰρ καὶ πρὸ τούτου Λόγος)· ἀλλ' ὅτε τὸ ἡμέτερον ἐνεδύσατο σῶμα, ὅπερ ἐκ Μαρίας τμηθὲν ἔλαβε, τότε φησὶν, (69) Ἐθεμελίωσέ με· ἴσον τῷ εἰπεῖν· Λόγον ὄντα με περιέβαλε γηΐνῳ σώματι. Οὕτω γὰρ δι' ἡμᾶς θεμελιοῦται, τὰ ἡμῶν ἀναδεχόμενος, ἵνα ἡμεῖς, ὡς σύσσωμοι συναρμολογούμενοι καὶ συνδεθέντες ἐν αὐτῷ (70) διὰ τῆς ὁμοιώσεως τῆς σαρκὸς, εἰς ἄνδρα τέλειον καταντήσαντες, ἀθάνατοι καὶ ἄφθαρτοι διαμείνωμεν.

A occasionem impudenter arriperent; sed dixit: *Fundavit me.* Porro quod fundatur, lapidibus super ipsum projectis fundatur, quod quidem non quovis modo perficitur, sed cum lapis e monte translatus, in imis terris collocatur. Nam quandiu lapis est in monte, nondum positus est in fundamentum. Cum vero exigente causa, translatus fuerit, et terræ profundo coopertus, tunc si vox lapidi daretur, hæc utique posset dicere: Qui me huc transtulit, nunc fundavit me. Igitur ipse quoque Dominus, non tunc esse cœpit, cum fundatus est (siquidem antea erat Verbum), sed postquam nostrum induit corpus, quod ex Maria desectum accepit, tunc dixit, *Fundavit me*: quod idem est ac si diceret: Me, qui sum Verbum: terreno corpore cooperuit. Sic enim ille, qui nostra suscipit, nostri causa fundatur, ut nos, qui simile habemus corpus, carnis similitudine in illo aptati et colligati, in virum perfectum occurramus [69], immortalesque et incorrupti maneamus.

75. Τὸ δὲ, Πρὸ τοῦ αἰῶνος, καὶ, Πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ, Πρὸ τοῦ ὄρη ἑδρασθῆναι, μηδένα ταραττέτω (71)· πάνυ γὰρ καὶ τοῦτο καλῶς συνῆψε τῷ, ἐθεμελίωσε, καὶ τῷ, ἔκτισε· τοῦτο γὰρ πάλιν τῆς κατὰ σάρκα οἰκονομίας ἅπτεται. Ἡ γὰρ παρὰ τοῦ Σωτῆρος εἰς ἡμᾶς γενομένη χάρις, ἄρτι μὲν ἐπεφάνη, ὡς εἶπεν ὁ Ἀπόστολος, καὶ γέγονεν ἐπιδημήσαντος αὐτοῦ· προητοίμαστο δὲ αὕτη καὶ πρὶν γενέσθαι ἡμᾶς, μᾶλλον δὲ καὶ πρὸ (72) τῆς καταβολῆς τοῦ κόσμου· καὶ ἡ αἰτία χρηστὴ καὶ θαυμαστή πώς ἐστιν. Οὐκ ἔπρεπε τὸν Θεὸν ὕστερον περὶ ἡμῶν βουλεύεσθαι, ἵνα μὴ ὡς ἀγνοῶν τὰ καθ' ἡμᾶς φαίνηται. Κτίζων τοίνυν ἡμᾶς διὰ τοῦ ἰδίου Λόγου ὁ τῶν ὅλων Θεὸς, καὶ εἰδὼς τὰ ἡμῶν ὑπὲρ ἡμᾶς, προγινώσκων τε, ὅτι, καλοὶ γενόμενοι, ὕστερον παραβάται τῆς ἐντολῆς ἐσόμεθα, καὶ ἐκ τοῦ παραδείσου ἐκβληθησόμεθα διὰ τὴν παρακοὴν (73), φιλάνθρωπος καὶ ἀγαθὸς ὢν, προετοιμάζει ἐν (74) τῷ ἰδίῳ Λόγῳ, δι' οὗ καὶ ἔκτισεν ἡμᾶς, τὴν περὶ τῆς σωτηρίας ἡμῶν οἰκονομίαν, ἵνα, κἂν ἀπατηθέντες **παρὰ τοῦ ὄφεως ἐκπέσωμεν**, μὴ τέλεον **ἀπομείνωμεν** νεκροὶ, ἀλλ' ἔχοντες ἐν τῷ Λόγῳ τὴν προητοιμασμένην ἡμῖν λύτρωσίν τε καὶ σωτηρίαν, πάλιν ἀναστάντες, ἀθάνατοι διαμείνωμεν, ὅταν αὐτὸς ὑπὲρ ἡμῶν ἀρχὴ τῶν ὁδῶν κτισθῇ, καὶ ὁ πρωτότοκος τῆς κτίσεως γένηται πρωτότοκος ἀδελφῶν, καὶ αὐτὸς ἀπαρχὴ τῶν νεκρῶν ἀναστῇ. Τοῦτο Παῦλος ὁ μακάριος ἀπόστολος (75) γράφων διδάσκει· τὸ

B 75. Nemo vero his etiam loquendi modis conturbetur: *Ante ævum*, et, *Priusquam terram faceret*, et, *Antequam montes collocarentur* [70]. Recte enim ista conjunxit cum verbis, *fundavit*, et *creavit*. Namque hæc ejus secundum carnem dispensationem spectant. Etenim gratia quæ nobis a Salvatore donata est, modo quidem apparuit, ut ait Apostolus [71], exortaque est postquam ipse advenit: verum antequam nos nasceremur, vel potius ante mundi constitutionem præparata fuit, cujus hæc causa et recta est et admiranda. Deum de nobis posterius deliberare minime decebat, ne res nostras ignorare videretur. Quodcirca cum nos rerum universarum Deus per proprium Verbum crearet, et ea, quæ ad nos pertinent, supra nos prospiceret, prænosceretque nos postquam boni facti fuissemus, C legem violaturos, atque idcirco e paradiso expellendos: ille qui parhumanus et benignus est, in proprio Verbo, per quod nos creavit, **430** nostræ salutis dispensationem præparavit, ut videlicet, etiamsi contingeret ut a dæmone circumventi caderemus, ne mortui penitus remaneremus, sed ut redemptionem et salutem in Verbo nobis præparatam habentes, reviviscceremus et immortales essemus, postquam ipse pro nobis principium viarum est creatus, et qui creaturæ primogenitus est, fratrum factus fuit primogenitus, et ipse, mortuorum

[69] Ephes. IV, 13. [70] Prov. VIII, 23-25. [71] Tit. II, 11.

(67) Seguerian. omittit καὶ μετενεχθῇ.

(68) Sic Seguerian. Gobl. Felc. 1 et 4. In editis vero et aliis ὁ deest. Ibidem Seguerianus, Gobl. et Felc. 1, Οὐκ οὖν καὶ ὁ Κύριος οὐχ ὅτε τεθεμελίωται. Felc. 4, οὐκοῦν ὁ Κύριος οὐχ ὅτι τεθεμελίωται. Cæteri et editi, Οὐκοῦν ὅτε ὁ Κύριος ὅτε θεμελιοῦται.

(69) Sic Seguerian. Reg. Basil. Anglican. Goblerian. Felc. 1, 4 et 5, et mox περιέβαλε. Alii vero et editi, τότε λοιπὸν ἐθεμελίωσέ με, et, περιέβαλλε.

(70) Seguerian. Goblerian. Felckm. 1 et 4, ἐν αὐτῷ. In aliis et editis ἐν deest.

(71) Anglicanus, μηδένα μηδὲν ταραττέτω. Paulo post, Seguerian. et Felck. 4, καὶ τῷ ἔκτισε. Alii et editi, καὶ ἔκτισε.

D (72) Reg. μᾶλλον δὲ πρὸ, etc. Editio Commel. μᾶλλον καὶ πρό, etc. Cæteri mss. μᾶλλον δὲ καὶ πρό, etc. Ibid. Seguerianus, Goblerianus, Felckm. 1 et 4, πρὸ καταβολῆς. Editi et alii, πρὸ τῆς καταβολῆς.

(73) Sic Seguerianus, Goblerianus, Felc. 1 et 4. At alii et editio Commel. διὰ τῆς παρακοῆς.

(74) Felc. 5 ἐν omittit. Mox Seguerian. Reg. Goblerian. Felc. 1 et 4, ἡμᾶς, τὴν περὶ τῆς σωτηρίας ἡμῶν οἰκονομίαν. Alii et editi, ἡμᾶς περὶ τῆς σωτηριώδους ἡμῶν οἰκονομίας. Ibidem Seguerianus, Goblerian. Felckm. 1 et 4, ἀπατηθέντες παρὰ τοῦ ὄφεως. Editi et alii, ἀπατηθέντες ἐν τοῦ ὄφεως.

(75) Goblerian. et Felc. 1 omittunt ὁ μακάριος ἀπόστολος. Iidem mox, διερμηνεύων φησὶ Τιμοθέῳ, Reg. φησὶ πρὸς τὸν Τιμόθεον.

primitiæ, revixit. Hæc ipsa est beati apostoli Pauli doctrina, qui illa Proverbiorum verba, *ante ævum*, et, *antequam terra fieret*, ita Epistola ad Timotheum interpretatur [72]; *Collabora Evangelio secundum Dei virtutem, qui salvos nos fecit et vocavit vocatione sancta, non secundum opera nostra, sed secundum proprium propositum et gratiam, quæ nobis data est in Christo Jesu ante æterna tempora, et nunc apparuit per adventum Salvatoris nostri Jesu Christi, qui mortem quidem destruxit, vitam autem illuminavit.* Et ad Ephesios: *Benedictus Deus et Pater Domini nostri Jesu Christi, qui benedixit nobis in omni benedictione spirituali, in cœlestibus, in Christo Jesu, sicut elegit nos in ipso ante mundi constitutionem, ut essemus sancti et immaculati in conspectu ejus in charitate, qui prædestinavit nos in adoptionem per Jesum Christum in ipsum* [73].

76. Quomodo ergo nos elegit antequam essemus, nisi, ut ipse dixit, in ipso fuissemus præsignati? Qui vero fieri potuit, ut nos, priusquam homines crearentur, in adoptionem prædestinaverit, nisi ipse Filius ante ævum fundatus esset, suscepta, nostri gratia, dispensatione? Vel quomodo, ut subjicit Apostolus, *sorte sumus prædestinati* [74], nisi ipse Dominus ante ævum fundatus fuisset, ita ut ipsi propositum fuerit omnem judicii adversum nos lati sortem carne suscipere, quo nos deinceps filii in ipso efficeremur? Quomodo item nos, qui nondum eramus, sed tempore exstitimus, ante æterna tempora accepimus, nisi gratia, quæ ad nos pervenit, in Domino fuisset reposita? Hinc ille in judicio, cum unusquisque pro suis factis mercedem est accepturus, dicet *Venite, benedicti Patris mei: possidete paratum vobis regnum a constitutione mundi* [75]. Quomodo igitur, vel in quo, antequam essemus, paratum est, nisi in Domino, qui ante ævum eam ob causam fundatus est, ut nos super ipsum tanquam ædificati, vitæ et gratiæ quæ ab illo oritur, velut apti lapides, participes essemus? Id autem eo factum est, quantum pie potest cogitari, ut, quemadmodum dixi, a morte temporaria excitati, perpetuo vivere possimus, quod nobis nequaquam licuisset qui terreni sumus

A γὰρ ἐν ταῖς Παροιμίαις, Πρὸ τοῦ αἰῶνος, καὶ, Πρὸ τοῦ τὴν γῆν γενέσθαι, διερμηνεύων, οὕτω φησὶ πρὸς μὲν Τιμόθεον· Συγκακοπάθησον τῷ Εὐαγγελίῳ, κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ· οὐ κατὰ τὰ ἔργα ἡμῶν (76), ἀλλὰ κατὰ τὴν ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖναν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ τὴν (77) ζωήν. Πρὸς δὲ τοὺς Ἐφεσίους· Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ (78)· καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς
B ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν (79).

76. Πῶς οὖν ἐξελέξατο, πρὶν γενέσθαι ἡμᾶς εἰ μή, ὡς αὐτὸς εἴρηκεν, ἐν αὐτῷ ἦμεν προτετυπωμένοι; Πῶς δὲ ὅλως, πρὶν ἀνθρώπους κτισθῆναι, ἡμᾶς προώρισεν εἰς υἱοθεσίαν (80), εἰ μὴ αὐτὸς ὁ Υἱὸς πρὸ τοῦ αἰῶνος τεθεμελίωτο, ἀναδεξάμενος τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν; Ἢ πῶς, ὡς ἐπιφέρει λέγων ὁ Ἀπόστολος, ἐκληρώθημεν προορισθέντες, εἰ μὴ αὐτὸς ὁ Κύριος, πρὸ τοῦ αἰῶνος ἦν θεμελιωθείς, ὥστε αὐτὸν πρόθεσιν ἔχειν ὑπὲρ ἡμῶν πάντα τὸν καθ' ἡμῶν κλῆρον τοῦ κρίματος (81) ἀναδέξασθαι διὰ τῆς σαρκὸς, καὶ λοιπὸν ἡμᾶς ἐν αὐτῷ υἱοποιηθῆναι; Πῶς δὲ καὶ πρὸ χρόνων αἰωνίων ἐλαμβάνομεν, μήπω γεγονότες, ἀλλ' ἐν
C χρόνῳ γεγονότες (82), εἰ μὴ ἐν τῷ Χριστῷ (83) ἦν ἀποκειμένη ἡ εἰς ἡμᾶς φθάνουσα χάρις; διὸ καὶ ἐν τῇ κρίσει, ὅταν ἕκαστος κατὰ τὴν πρᾶξιν (84) ἀπολαμβάνῃ, φησί· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Πῶς οὖν ἦ ἐν τίνι, πρὶν γενέσθαι ἡμᾶς, ἡτοιμάσθη, εἰ μὴ ἐν τῷ Κυρίῳ τῷ πρὸ αἰῶνος εἰς τοῦτο θεμελιωθέντι, ἵν' ἡμεῖς ὡς ἐπ' αὐτὸν ἐποικοδομούμενοι (85), μεταλάβωμεν, ὡς λίθοι εὐάρμοστοι, τῆς παρ' αὐτοῦ ζωῆς τε καὶ χάριτος. Τοῦτο δὲ γέγονεν, ὡς γε μετρίως (86) ἐπέρχεταί τινι νοεῖν εὐσεβῶς, ἵνα καθὰ προεῖπον, ἀναστάντες ἀπὸ τοῦ πρὸς ὀλίγον θανάτου, αἰωνίως ζῆσαι (87) δυνηθῶμεν, οὐκ ἂν δυνηθέντες ἄνθρωποι τυγχάνοντες ἀπὸ

[72] II Tim. I, 8-10. [73] Ephes, I, 3-5. [74] Ibid. 11. [75] Matth. XXV, 34.

(76) Regius et Felc. 5 omittunt, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ. Ibidem, pro ἰδίαν, Seguerian. Goblerian. Felc. 1 et 4, habent οἰκείαν. Seguerian. præterea τὴν omittit.

(77) In Seguerian. τὴν deest, et in Græco Scripturæ textu.

A xisse seipsum in Patre et Patrem in seipso esse, quod nec ipsum quidem sermonem quem proferebat sui esse diceret, sed Patris, nec propria item sui esse opera, sed Patris, a quo videlicet agendi virtutem acceperat. » Profecto si puerulus ista loqueretur, veniam ex ætate posset consequi. Cum autem hæc ille scribat qui sophista vocatur, et omnia se profitetur cognoscere; qua, quæso, damnatione dignus esse censendus est? Annon etiam seipsum ab Apostolo alienum probat, quippe qui persuasibilibus **437** sapientiæ sermonibus glorietur [25], quibus et alios se decipere posse confidit, cum tamen nec ipse ea quæ dicit, nec de quibus contendit, intelligat [26].Ea enim quæ Filius soli Filio, qui Verbum et Sapientia, ac Patris naturæ B imago est, convenire et propria esse docuit, iste rebus omnibus creatis attribuit, illisque cum Filio pugnat esse communia : quin etiam virtutem virtuti Patris impertiri impius asseverat, ut ex impia ejus doctiina efficiatur,Filium in Filio factum esse Filium, et Verbum potentiam Verbi accepisse. Nec item eum ut Filium ista vult dixisse, sed ipsum, ut qui ea quoque didicerit, una cum aliis operibus collocat. Si enim propterea quod verba quæ proferebat Filius, non ejus essent sed Patris, ut et opera, idcirco dicebat, *Ego in Patre, et Pater in me est :* cum ipse quoque David dicat : *Audiam quid loquatur in me Dominus Deus* [27] : et Salomon : *Sermones mei a Deo dicti sunt* [28] : cum similiter Moyses sermonum Dei administer fuerit, singulique prophetæ non propria, sed Dei verba annuntiaverint, unde aiebant, *Hæc dicit Dominus* : cum C item opera ipsa quæ sancti effecere, non sua esse, sed Dei virtutem suppeditantis affirmarint, ut ex Elia et Eliseo patet qui Deum invocavere ut mortuos ipse excitaret : unde idem Eliseus postquam Naamani lepram sanasset, ei dixit : *Ut scias esse Deum in Israel :* Samuel quoque messis tempore Deum ut pluviam daret oravit : apostoli denique se non propria virtute sed Dei gratia signa et prodigia facere fatebantur : ex his,inquam, dilucide secundum illum sequitur vocem hujusmodi omnium quoque esse communem singulosque posse dicere,

[25] I Cor. II, 4. [26] I Timoth. I, 7. [27] Psal. LXXXIV, 9. [28] III Reg. VIII, 59 ; X, 24.

λόγον. Item ibidem Reg. 1 et Seguerian. φησιν εἶναι, ἀλλὰ τοῦ Πατρὸς, μήτε. At alii et editi, φησιν, ἀλλὰ τοῦ Πατρὸς εἶναι, μηδέ. D

(68) Felc. 2 et editi, ᾖ. Cæteri mss. ἦν.

(69) Reg. 1, ἐν πειθοῖς σοφίας λόγοις, ut et habet Scriptura. Felck. 5, ἐν πειθοῖ σοφίας λόγου. Editi, ἐν πειθεῖ σοφίας λόγοις.

(70) Reg. 1 et Seguerian. τίνων, iideinque mox ἴδια. Alii et editi, τίνος, et οἰκεῖα.

(71) Sic Reg. 1, Seguer. Gobler et Felck. 1. At alii et editio Commel. τήν τε δύναμιν.

(72) Sic Reg. 1 et Seguer. At alii et editi, ἐν τῷ Υἱῷ. Mox Reg. 1 et Seguer. ἔλαβε Λόγου ἐξουσίαν. Editio Commel. et aliquot mss. λόγον ἐξουσίαν.

(75) Sic Reg. 1, Seguer. Gobler. et Felck. 1. At Reg. 2, Basil. Anglic. et Felck. 5, ἦν τὰ ἔργα, καὶ τὰ ἔργα, πῶς ἔλεγεν. Alii et editi, ἦν τὰ ἔργα, πῶς ἔλεγεν....

(74) Sic Reg. 1 et 2, Seguer. Gobler. et Felck. 1. At alii et editi, ὁ Κύριος Θεός. Ibid. Reg. 1, Seguer. Basil. Gobler. et Felck. 1, Σολομῶν. Alii et editi, Σαλομῶν.

(75) Reg. 1, ἕκαστός τε. Mox idem et Regius 2, Seguerian. Gobler. Felck. 1, τὰ παρὰ τοῦ Θεοῦ. In aliis et editione Commel. τά deest.

(76) Sic Reg. 1 et Seguer. Gobler. Felck. 1 et 5. At cæteri et editi, δύναμιν τοῦ Θεοῦ. Paulo post, Reg. 1 et Seguer. αὐτὸς ἐγείρῃ· ὅτε δὲ τῷ Ναιεμὰν λέγει. Alii et editi, αὐτοῖς ἐγείρῃ· ὅτε δὲ τῷ Νεεμὰν ἔλεγεν. Porro quæ sequuntur Elisæi verba ad Naaman, non habentur in Scriptura : sed ipse Naaman sanatus et ad Elisæum reversus ait : Ἰδοὺ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ ἐν τῷ Ἰσραήλ. *Vere scio quod non sit alius Deus in universa terra, nisi tantum in Israel* (*IV Reg.* V, 15).

Ego in Patre, et Pater in me est, nec proinde jam unum hunc esse Dei Filium et Verbum ac Sapientiam, sed eum unum quoque ex multis esse.

3. Atqui si hæc esset verbornm Domini sententia, non ita eum loqui oportuisset, *Ego in Patre, et Pater in me est*, sed potius : Ego etiam sum in Patre, et Pater in me etiam est; ut videlicet nihil se proprium et singulare apud Patrem, tanquam Filium, habere, sed communi cum omnibus gratia gaudere significaret. Verum non ita se res habet, ut opinantur illi, qui cum eum verum ex Patre Filium esse non sentiant, falsa de vero fingunt, cui soli dicere convenit, *Ego in Patre, et Pater in me est*. Filius enim in Patre est, quantum licet telligere, quia totum quod est Filius, hoc naturæ Patris proprium est, eo modo quo ex luce splendor, et ex fonte fluvius exoritur, adeo ut qui Filium videt, id quod proprium est Patris videat, intelligatque Filium idcirco in Patre esse quia ex Patre habet ut sit; et vicissim Patrem in Filio esse, quia Filius est id quod proprium est ex Patre, sicuti sol est in splendore, mens in verbo, et fons in fluvio. Ita enim qui Filium contemplatur, id quod naturæ Patris proprium est simul contemplatur, Patremque in Filio **488** esse intelligit. Nam cum forma et divinitas Patris hoc ipsum sit quod est Filius, omnino sequitur ut Filius sit in Patre, et Pater in Filio. Quocirco cum antea dixisset, *Ego et Pater unum sumus* [29], hic recte ait, *Ego in Patre et Pater in me est* [30], ut scilicet eamdem amborum divinitatem unamque naturam esse doceret.

4. Unum enim illi sunt, non quod unum in duas partes sit divisum, quæ nihil sint præter unum; neque quod unum bis nominetur, ita ut idem aliquando Pater, aliquando sui Filius fiat; quæ cum sentiret Sabellius, hæreticus est judicatus. Verum duo quidem sunt, quia Pater Pater est, nec ipse est Filius; et vicissim Filius est Filius, nec ipse Pater est. Una vero illorum natura est : nec enim genitoris genitus est dissimilis, cum imago ejus sit, et omnia quæ Patri sunt, sint quoque Filii. Hinc Filius alius non est Deus, quia non extrinsecus effictus est: alioquin complures diis inducerentur, si extranea excogitaretur divinitas præter Patris divinitatem. Tametsi enim (88) aliud est Filius, ut

[29] Joan. x, 20. [30] Joan. xiv, 10.

A Λόγον (77) καὶ Σοφίαν, ἀλλ' ἐκ πολλων ἕνα καὶ τοῦτον τυγχάνειν.

3. Ἀλλ' εἴπερ ἦν οὕτως ὁ Κύριος εἰρηκὼς, ἔδει (78) μὴ εἰπεῖν αὐτόν· Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· ἀλλὰ μᾶλλον· Κἀγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ δὲ καὶ ἐν ἐμοί (79) ἐστιν, ἵνα μηδὲ ἴδιον καὶ ἐξαίρετον ἔχῃ πρὸς τὸν Πατέρα ὡς Υἱὸς, κοινὴν δὲ μετὰ πάντων ἔχῃ τὴν αὐτὴν χάριν. Ἀλλ' οὐκ ἔστιν, ὡς νομίζουσιν ἐκεῖνοι· μὴ φρονοῦντες γὰρ Υἱὸν εἶναι γνήσιον ἐκ Πατρὸς, καταψεύδονται τοῦ γνησίου, ᾧ μόνῳ ἁρμόζει λέγειν· Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. Ἔστι γὰρ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ὥς γε νοεῖν ἔξεστιν, ἐπειδὴ σύμπαν τὸ εἶναι τοῦ Υἱοῦ, τοῦτο τῆς τοῦ Πατρὸς οὐσίας ἴδιόν ἐστιν, B ὡς ἐκ φωτὸς ἀπαύγασμα, καὶ ἐκ πηγῆς (80) ποταμὸς, ὥστε τὸν ὁρῶντα τὸν Υἱὸν ὁρᾷν τὸ τοῦ Πατρὸς ἴδιον, καὶ νοεῖν, ὅτι τοῦ Υἱοῦ τὸ εἶναι, ἐκ τοῦ Πατρὸς ὄν, οὕτως (81) ἐν τῷ Πατρί ἐστιν. Ἔστι δὲ καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, ἐπειδὴ τὸ ἐκ τοῦ Πατρὸς ἴδιον, τοῦτο ὁ Υἱὸς τυγχάνει ὤν, ὡς ἐν τῷ ἀπαυγάσματι ὁ ἥλιος (82), καὶ ἐν τῷ λόγῳ ὁ νοῦς, καὶ ἐν τῷ ποταμῷ ἡ πηγή· οὕτω γὰρ ὁ θεωρῶν τὸν Υἱὸν, θεωρεῖ τῆς τοῦ Πατρὸς οὐσίας τὸ ἴδιον, καὶ νοεῖ, ὅτι ὁ Πατὴρ ἐν τῷ Υἱῷ ἐστι. Τοῦ γὰρ εἴδους (83) καὶ τῆς θεότητος τοῦ Πατρὸς οὔσης τὸ εἶναι τοῦ Υἱοῦ ἀκολούθως ὁ Υἱὸς ἐν τῷ Πατρί ἐστι, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Διὰ τοῦτο γὰρ καὶ εἰκότως (84) εἰρηκὼς πρότερον· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἐπήγαγε τό· Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· ἵνα τὴν μὲν ταὐτότητα τῆς θεότητος, τὴν δὲ ἑνότητα (85) τῆς οὐσίας δείξῃ.

C 4. Ἓν γάρ εἰσιν, οὐχ ὡς ἑνὸς πάλιν εἰς δύο μέρη διαιρεθέντος, καὶ μηδὲν ὄντων πλὴν ἑνός· οὐδὲ ὡς τοῦ ἑνὸς δὶς ὀνομαζομένου, ὥστε (86) τὸν αὐτὸν ἄλλοτε μὲν Πατέρα, ἄλλοτε δὲ Υἱὸν ἑαυτοῦ γίνεσθαι· τοῦτο γὰρ Σαβέλλιος φρονήσας, αἱρετικὸς ἐκρίθη. Ἀλλὰ δύο μέν εἰσιν, ὅτι ὁ Πατὴρ Πατήρ ἐστι, καὶ οὐχ ὁ αὐτὸς Υἱός ἐστι· καὶ ὁ Υἱὸς Υἱός ἐστι, καὶ οὐχ ὁ αὐτὸς Πατήρ ἐστι. Μία δὲ ἡ φύσις· οὐ γὰρ ἀνόμοιον τὸ γέννημα τοῦ γεννήσαντος· εἰκὼν γάρ ἐστιν αὐτοῦ, καὶ πάντα τὰ Πατρὸς τοῦ Υἱοῦ ἐστι. Διὸ οὐδὲ ἄλλος Θεὸς ὁ Υἱὸς (87)· οὐ γὰρ ἔξωθεν ἐπενοήθη· ἐπεὶ πάντως καὶ πολλοὶ, ξένης παρὰ τὴν τοῦ Πατρὸς ἐπινοουμένης θεότητος· εἰ γὰρ καὶ ἕτερόν ἐστιν ὡς γέννημα ὁ Υἱὸς, ἀλλὰ ταὐτόν ἐστιν ὡς Θεός· καὶ ἓν

(77) Sic Reg. 1, Seguer. Gobler. et Felck. 1. Editi autem et alii, εἶναι τὸν τοῦ Πατρὸς Υἱον καὶ Λόγον. Mox Reg. 1, Seguer. Gobler. et Felck. 1, ἀλλ' εἴπερ. Editi et alii, ἀλλ' ἐπείπερ.

(78) Sic Reg. 1 et Seguer. At alii et editi, ἦν οὕτος ὁ Κύριος, ἔδει, etc.

(79) Felck. 2 et editi, δὲ ἐν ἐμοί. Cæteri mss. δὲ καὶ ἐν ἐμοί. Mox Reg. 1 et 2, et Seguer. πρὸς τὸν Πατέρα ὡς Υἱός. At alii et editi, πρὸς τὸν Πατέρα ὁ Υἱός.

(88) Reg. 1, Seguer. Gobler. et Felck. 1, ἐκ πηγῆς. Alii et editio Commel ὡς πηγῆς.

(81) Reg. 1, Seguer. Gobler. et Felck. 1, οὕτως. Cæteri et editi, οὗτος

(82) Reg. 1 et Seguer. ὁ ἥλιος. In aliis et editis, ὁ deest. Ibid. Reg. 1, Seguer. Gobler. et Felck. 1, καὶ D τῷ Λόγῳ. Alii et editi, καὶ ἐν τῷ Λόγῳ.

(83) Reg. 1, Seguer. Gobler. et Felck. 1, εἴδους. In Anglic. quoque margine notatur, γρ. εἴδους. Cæteri et editio Commel. ἰδίου.

(84) Reg. 1, Seguer. γὰρ εἰκότως. Alii et editi, γὰρ καὶ εἰκότως.

(85) Seguer. τὴν ἑνότητα.

(86) Sic Reg. 1. Seguer. Gobler. et Felck. 1. At alii et editi, οὐδὲ ὥστε. Paulo post, Felck. 5, Σαβέλιος.

(87) Reg. 1 et 2, Seguer. Basil. Anglic. Gobler. Felck. 1 et 5, Θεὸς ὁ Υἱός. Editi et alii, Θεὸς Υἱός.

(88) Ita vertimus, textum Græcum secuti, licet vulgo doceant theologi Filium non *aliud*, sed *alium* esse a Patre. Verum ista dictione, *aliud*, idem hic significat sanctus Athanasius, quod theologi dictione, *alius*, ut patet.

εἶσιν αὐτὸς καὶ ὁ Πατὴρ τῇ ἰδιότητι καὶ οἰκειότητι τῆς φύσεως, καὶ τῇ ταὐτότητι τῆς μιᾶς θεότητος, ὥσπερ εἴρηται. Καὶ γὰρ καὶ τὸ (89) ἀπαύγασμα φῶς ἐστιν, οὐ δεύτερον τοῦ ἡλίου, οὐδὲ ἕτερον φῶς, οὐδὲ κατὰ μετουσίαν αὐτοῦ, ἀλλ' ὅλον ἴδιον αὐτοῦ γέννημα. Τὸ δὲ τοιοῦτον γέννημα ἐξ ἀνάγκης ἓν (90) ἐστι φῶς· καὶ οὐκ ἄν. τις εἴποι δύο φῶτα εἶναι ταῦτα, ἀλλὰ δύο μὲν ἥλιον καὶ ἀπαύγασμα, ἓν δὲ τὸ ἐξ ἡλίου φῶς ἐν τῷ ἀπαυγάσματι φωτίζον τὰ πανταχοῦ. Οὕτω καὶ ἡ τοῦ Υἱοῦ θεότης τοῦ Πατρός ἐστιν· ὅθεν καὶ ἀδιαίρετός ἐστι· καὶ οὕτως εἷς Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Οὕτω γοῦν ἓν αὐτῶν ὄντων, καὶ μιᾶς αὐτῆς οὔσης (91) τῆς θεότητος, τὰ αὐτὰ λέγεται περὶ τοῦ Υἱοῦ, ὅσα λέγεται καὶ περὶ τοῦ Πατρὸς, χωρὶς τοῦ λέγεσθαι Πατήρ· οἷον τὸ Θεός (92)· Καὶ Θεὸς ἦν ὁ Λόγος· τὸ Παντοκράτωρ· Τάδε λέγει ὁ ἦν, καὶ ὁ ὤν, καὶ ὁ ἐρχόμενος (93) ὁ Παντοκράτωρ· τὸ Κύριος· Εἷς Κύριος Ἰησοῦς Χριστός· τὸ εἶναι φῶς· Ἐγώ εἰμι τὸ φῶς· τὸ ἐξαλείφειν ἁμαρτίας. Ἵνα δὲ, φησὶν, εἰδῆτε, ὅτι ἔχει ἐξουσίαν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας (94)· καὶ ὅσα ἄλλα ἂν εὕροις. Πάντα γὰρ, φησὶν αὐτὸς ὁ Υἱὸς, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι (95)· καὶ πάλιν, Τὰ ἐμὰ σά ἐστιν.

5. Ὁ δὲ ἀκούων τὰ τοῦ Πατρὸς λεγόμενα ἐφ' Υἱοῦ ὄψεται καὶ οὕτω τὸν Πατέρα ἐν τῷ Υἱῷ· θεωρήσει δὲ καὶ τὸν Υἱὸν ἐν τῷ Πατρὶ, ὅταν τὰ λεγόμενα ἐφ' Υἱοῦ ταῦτα λέγηται καὶ ἐπὶ Πατρός (96). Διὰ τί δὲ τὰ τοῦ Πατρὸς ἐφ' Υἱοῦ λέγεται, ἢ ὅτι ἐξ αὐτοῦ γέννημά ἐστιν ὁ Υἱός; Διὰ τί (97) δὲ καὶ τὰ τοῦ Υἱοῦ ἴδιά ἐστι τοῦ Πατρὸς, ἢ ὅτι πάλιν τῆς οὐσίας αὐτοῦ ἴδιόν ἐστι (98) γέννημα ὁ Υἱός ; Τῆς δὲ οὐσίας τοῦ Πατρὸς ἴδιον ὢν γέννημα ὁ Υἱὸς, εἰκότως καὶ τὰ τοῦ Πατρὸς λέγει ἑαυτοῦ εἶναι· ὀθνεπρεπόντως καὶ ἀκολούθως τῷ μὲν λέγειν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἐπήγαγεν· Ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· τούτῳ δὲ πάλιν προσείρηκεν· (99)· Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα · καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς νοῦς

genitus : attamen idem est, ut Deus : atque adeo ipse et Pater unum sunt cum naturæ proprietate, tum eadem et una divinitate, quemadmodum dictum est. Enimvero ipse quoque splendor lux est, nec sole posterior, neque alia lux, neque quatenus ejus fit particeps, sed totus proprius ejus est fetus. Hujusmodi porro fetus necessario lux una est, nec dici potest duas illas esse luces, sed duo quidem esse solem et splendorem, unam vero ex sole ortam lucem esse, quæ in splendore orbem illuminat universum. Ita similiter Filii divinitas, est quoque ipsa Patris, quam quidem ob causam individua est, atque hoc pacto unus est Deus, nec alius est præter illum. Quia ergo unum illi sunt, unaque ipsa est divinitas, idcirco eadem de Filio quæ de Patre dicuntur, Patris excepto nomine. Sic ergo Filius dicitur Deus : *Et Deus erat Verbum*[31] ; item Omnipotens, *Hæc dicit qui erat, et qui est, et qui venturus est Omnipotens*[32]; similiter Dominus, *Unus Dominus Jesus Christus*[33] ; lux quoque esse dicitur, *Ego sum lux*[34] ; nec non peccata delere : *Ut autem sciatis*, inquit, *quia Filius hominis habet potestatem in terra dimittendi peccata*[35] ; et quæcunque alia similia inveneris. Nam *omnia*, inquit ipse Filius, *quæcunque habet Pater, mea sunt*[36] ; et rursus, *mea tua sunt*[37].

5. Porro is qui ea quæ Patris sunt Filio attribui audierit, hac ratione Patrem in Filio videbit ; Filiumque similiter intuebitur in Patre, cum illa quæ de Filio dicuntur, eadem quoque de Patre dicantur. Cur vero ea quæ Patris sunt, Filio attribuuntur, nisi quia Filius ex illo genitus est? Cur item quæ Filii sunt eadem propria sunt Patris, nisi quia Filius ejus naturæ proprius est fetus ? Quare cum Filius proprius sit naturæ Patris fetus, jure merito ea, quæ Patris sunt, sui esse **439** asseverat. Quapropter bene ac congruenter post hæc verba, *Ego et Pater unum sumus*[38], subjecit, *Ut cognoscatis quia Pater in me est, et ego in Patre*[39] ; post quæ rursus addidit : *Qui vidit me, vidit Patrem*[40], quorum utique trium locorum

[31] Joan. I, 1. [32] Apocal. I, 8. [33] I Cor. VIII, 6. [34] Joan. VIII, 12. [35] Luc. V, 24. [36] Joan. XVI, 15. [37] Joan. XVII, 10. [38] Joan. X, 30. [39] Joan. X, 38. [40] Joan. XIV, 9.

(89) Reg. 1, Seguer. Gobler. et Felck. 1, καὶ γὰρ τό. Alii et editi, καὶ γὰρ καὶ τό. Paulo post Reg. 1. Seguer. Gobler. et Felck. 1, ἀλλ' ὅλον ιδιον. Editi et alii, ἀλλ' ὃν ιδιον.

(90) Sic Regius primus et Seguerianus. In editis vero et aliis, ἓν deest.

(91) Regius primus et Seguerianus, μιᾶς αὐτῆς οὔσης. Alii et editi, μιᾶς οὔσης

(92) Seguer. Reg. 2, Gobler. et Felckm. 1, οἷον Θεός· καὶ Θεὸς, etc. Sic etiam in Reg. 1, prima manu ; sed altera manu scribitur, οἷον το Θεὸς· καὶ Θεὸς, etc. Cæteri autem et editi, οἷον Θεός· τὸ, Καὶ Θεὸς, etc.

(93) Sic Reg. 1 et 2, et Seguer. In Reg. 2, tamen habetur. τὸ Κύριος εἷς· εἷς Κύριος· At alii et editi, ὁ ἐρχόμενος· τὸ Κύριος εἷς· εἷς Κύριος. Ibidem Χριστός abest a Reg. 1 et Seguer.

(94) Sic Regius primus et secundus, Seguerianus et Scriptura. Alii et editi, τὰς ἁμαρτίας.

(95) Sic Regius primus et Seguerianus At Reg. 2 et editio Commeliniana, ἐμά ἐστιν· ὁ δὲ ἀκούων, omissis intermediis. Ibidem Regius primus et Seguerianus, τὰ τοῦ Πατρὸς Υἱοῦ λεγόμενα ἐπόψεται οὕτω τὸν Πατέρα.

(96) Regius primus et Seguerianus, λέγῃ ταῦτα καὶ ἐπὶ Πατρός. Goblerianus et Felckmanni primus, λέγηται καὶ ἐπὶ Πατρός. Alii et editio Commeliniana, λέγηται ἐπὶ Πατρός.

(97) Regius primus et Seguerianus, ἐστι γέννημα· διὰ τί. Iidem ibidem et Reg. 2, Basil. Gobler. Felckm· 1 et 5, τὰ τοῦ Υἱοῦ, etc. In aliis vero et editione Commeliniana τά decst. Item ibidem Reg. 1, Seguer. Gobler. et Felckm. 1, ἢ ὅτι πάλιν. Alii et editio Commeliniana ἢ omittunt.

(98) Ἐστι deest in Segueriano et Regio primo qui ultimus habet, γέννημα ὁ Υἱὸς, εἰκότως, omissis intermediis. Seguer. ibidem et Gobler. Felckm. 1 ac Joannes Damascenus qui hunc locum citat, Oratione tertia de imaginibus, ἴδιον ὢν γέννημα. Editi et alii, ἴδιον ὂν γέννημα.

(99) Reg. 1 et Seguer. τούτῳ δὲ πάλιν προσείρηκεν. Editi et alii, τοῦτο δὲ πάλιν προείρηκεν. Mox Reg. 1 et Seguer. εἷς δὲ ὁ αὐτὸς νοῦς. At alii et editi, εἷς καὶ ὁ αὐτὸς νοῦς.

una eademque est sententia. Qui enim ita scit unum esse Filium et Patrem, novit certe eum in Patre, et Patrem in Filio esse. Divinitas enim Filii, Patris quoque ipsa est, eademque est in Filio : quod qui comprehenderit, is persuasum facile habebit, eum qui Filium vidit Patrem vidisse : quippe cum Patris divinitas in Filio conspiciatur. Id autem facilius, imaginis imperatoris exemplo, poterit intelligi. Nempe in imagine species quidem et forma imperatoris est, in imperatore autem eadem species est quæ in imagine videtur. Perfecta enim similitudo est in imperatoris imagine, ita ut et is qui imaginem viderit, in ipsa imperatorem intueatur, et vicissim qui imperatorem viderit, agnoscat illum ipsum esse qui in imagine conspicitur. Ex eo autem quod nulla discrepent dissimilitudine, si quis post imaginem, vellet imperatorem videre, recte illi imago diceret : Ego et imperator unum sumus ; ego enim in illo sum, et ille in me : quodque in me vides, idem in illo aspicis, et quod in illo vidisti, idem in me cernis. Itaque qui imaginem adorat, in ea quoque imperatorem adorat : imago siquidem ejus species et forma est. Cum igitur Filius imago quoque sit Patris ; intelligere necesse est divinitatem et proprietatem Patris, hoc ipsum esse quod est Filius. Hoc autem est quod his verbis significatur, *Qui in forma Dei exsistens* [41] ; et, *Pater in me* [42].

6. Cæterum non ex parte tantum divinitatis forma est, sed hoc quod est Filius, plenitudo est divinitatis Patris, ita ut Filius totus sit Deus. Hinc cum æqualis Deo esset, non rapinam arbitratus est Deo æqualem esse [43]. Similiter, quia Filii divinitas et species seu forma nullius alius quam Patris est, hoc ipsum est quod dixit, *Ego in Patre* [44]. Sic *Deus in Christo erat mundum reconcilians sibi* [45]. Namque naturæ Patris proprius est Filius, in quo natura creata cum Deo reconciliatur. Sic ea quæ Filius agebat opera Patris erant, quia Filius species seu forma erat Patris divinitatis, quæ ipsa opera efficiebat. Sic qui videt Filium, Patrem simul videt, quia in paterna divinitate et est et cernitur Filius ; paternaque species quæ in illo est, Patrem in eodem exhibet, atque hoc modo Pater est in Filio. Proprietas autem et divinitas, quæ ex Patre in Filio exsistit, Filium in Patre commonstrat, eumdemque ab eo dividi nunquam posse osten-

A ἐν τοῖς τρισὶ τούτοις ῥητοῖς. Ὁ γὰρ οὕτως ἐγνωκὼς, ὅτι ἓν ἐ'στιν ὁ Υἱὸς καὶ ὁ Πατὴρ, οἶδεν, ὅτι αὐτὸς ἐν τῷ Πατρί ἐστι, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ· ἡ γὰρ τοῦ Υἱοῦ θεότης τοῦ Πατρός ἐστι, καὶ αὐτὴ (1) ἐν τῷ Υἱῷ ἐστι· καὶ ὁ τοῦτο δὲ καταλαβὼν πέπεισται, ὅτι ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα· ἐν γὰρ τῷ Υἱῷ ἡ τοῦ Πατρὸς θεότης θεωρεῖται. Τοῦτο δὲ καὶ (2) ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος τοῦ βασιλέως προσεχέστερόν τις κατανοεῖν δυνήσεται. Ἐν γὰρ τῇ εἰκόνι τὸ εἶδος καὶ ἡ μορφὴ τοῦ βασιλέως ἐστὶ, καὶ ἐν τῷ βασιλεῖ δὲ τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. Ἀπαράλλακτος γάρ ἐστιν ἡ ἐν τῇ εἰκόνι τοῦ βασιλέως ὁμοιότης· ὥστε τὸν ἑνορῶντα τῇ εἰκόνι (3) ὁρᾷν ἐν αὐτῇ τὸν βασιλέα, καὶ τὸν πάλιν ὁρῶντα τὸν βασιλέα ἐπιγινώσκειν, ὅτι οὗτός ἐστιν ὁ ἐν τῇ εἰκόνι. Ἐκ δὲ

B τοῦ μὴ διαλλάττειν τὴν ὁμοιότητα, τῷ θέλοντι μετὰ τὴν εἰκόνα θεωρῆσαι τὸν βασιλέα εἰπεῖ ἂν ἡ εἰκών· Ἐγὼ καὶ ὁ βασιλεὺς ἓν ἐσμεν (4) ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμὶ, κἀκεῖνος ἐν ἐμοί· καὶ ὃ ὁρᾷς ἐν ἐμοὶ, τοῦτο ἐν ἐκείνῳ βλέπεις· καὶ ὃ ἑώρακας ἐν ἐκείνῳ, τοῦτο βλέπεις ἐν ἐμοί. Ὁ γοῦν προσκυνῶν (5) τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ καὶ τὸν βασιλέα· ἡ γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδός ἐστιν (6) ἡ εἰκών. Ἐπεὶ τοίνυν καὶ ὁ Υἱὸς εἰκὼν ἐστι τοῦ Πατρὸς, ἐξ ἀνάγκης ἐστὶ νοεῖν, ὅτι ἡ θεότης καὶ ἡ ἰδιότης τοῦ Πατρὸς τὸ εἶναι τοῦ Υἱοῦ ἐστι. Καὶ τοῦτό ἐστιν, Ὃς (7) ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ, Ὁ Πατὴρ ἐν ἐμοί.

6. Οὐκ ἐκ μέρους δὲ ἡ τῆς θεότητος μορφὴ, ἀλλὰ τὸ πλήρωμα τῆς τοῦ Πατρὸς θεότητός ἐστι τὸ εἶναι τοῦ Υἱοῦ, καὶ ὅλος (8) Θεός ἐστιν ὁ Υἱός. Διὰ τοῦτο καὶ ἵνα Θεῷ ὢν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα C Θεῷ· καὶ πάλιν ἐπειδὴ τοῦ Υἱοῦ ἡ θεότης καὶ τὸ εἶδος οὐδενὸς ἄλλου, ἢ τοῦ Πατρός ἐστι, τοῦτό ἐστιν, ὅπερ εἶπε τὸ (9), Ἐγὼ ἐν τῷ Πατρί· Οὕτω Θεὸς ἦν ἐν Χριστῷ κόσμον ἑαυτῷ καταλλάσσων· τὸ γὰρ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας ἐστὶν ὁ Υἱὸς, ἐν ᾧ ἡ κτίσις πρὸς τὸν Θεὸν κατηλλάσσετο. Οὕτως ἃ εἰργάζετο (10) ὁ Υἱὸς, τοῦ Πατρός ἐστιν ἔργα· τὸ γὰρ εἶδος τῆς τοῦ Πατρὸς θεότητός ἐστιν ὁ Υἱὸς, ἥτις εἰργάζετο τὰ ἔργα· οὕτω δὲ ὁ βλέπων τὸν Υἱὸν ὁρᾷ τὸν Πατέρα· ἐν γὰρ τῇ πατρῴᾳ θεότητί ἐστι καὶ θεωρεῖται ὁ Υἱός· καὶ τὸ ἐν αὐτῷ πατρικὸν εἶδος δείκνυσιν ἐν αὐτῷ (11) τὸν Πατέρα· καὶ οὕτως ἐστὶν ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Καὶ ἡ ἐκ τοῦ Πατρὸς δὲ ἐν Υἱῷ ἰδιότης καὶ θεότης δείκνυσι τὸν Υἱὸν ἐν τῷ Πατρὶ, καὶ τὸ ἀεί (12)

[41] Philip. II, 6. [42] Joan. XIV, 10. [43] Philip. II, 6. [44] Joan. XIV, 10. [45] II Cor. V, 19.

(1) Reg. et Seguer. αὐτή. Cæteri et editi, αὕτη. D Mox Reg. 1 et Seguer. πέπιστται. Damasc. ἐπίσταται. Cæteri et editi, πεπίστευκεν

(2) Sic mss. Damasc. et concilium secundum Nicænum, act 4, ubi hic locus affertur. Editio vero Commel. τοῦτο καί.

(3) Concil. Nicæn. ἑνορῶντα τὴν εἰκόνα. Damasc., ὁρῶντα τὴν εἰκόνα. Mox Gobler. Felck. 1 et concil. Nicæn., καὶ πάλιν τὸν ὁρῶντα.

(4) Damasc. εἴποι ἂν τούτῳ ἡ εἰκών, ἐγὼ καὶ βασιλεὺς ἓν τί ἐσμεν.

(5) Damasc. Ὁ γὰρ προσκυνῶν. Mox Reg. 1 et Seguer. προσκυνεῖ καὶ τόν. In alius et editis, deest καί.

(6) Damasc. τὸ εἶδος αὐτοῦ ἐστιν, etc.

(7) Sic Reg. 1, Seguer. et Anglic. ut et habet Scriptura. Alii autem et editi, ὅ.

(8) Anglic. ὅλως. Reg. 2, καὶ ὁ Λόγος Θεός ἐστιν ὁ Υἱός. Felck. 5, καὶ ὁ Λόγος ἐστὶν ὁ Υἱός.

(9) Reg. 1, Seguer. Gobler. et Felck. 1, εἴπομεν. Alii et editi, εἶπε Ibid. post Πατρί, Felck 5, addit, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

(10) Reg. 1, et Seguer. εἰργάζετο, et paulo post ἥτις εἰργάζετο. Cæteri et editi, ἐργάζεται et ὅστις ἐργάζεται.

(11) Sic Reg. 1 et Seguer. At alii et editi, δείκνυσιν ἑαυτῷ.

(12) Basil. et Anglic., καὶ τὸ ἀεί, etc. Alii et editio Commel., καὶ ἀεί. Ibidem in codice Seguer. abscissum est folium integrum.

ἀδιαίρετον αὐτοῦ· καὶ ὁ ἀκούων δὲ καὶ βλέπων τὰ λεγόμενα περὶ τοῦ Πατρὸς, ταῦτα λεγόμενα περὶ τοῦ Υἱοῦ, οὐ κατὰ χάριν ἢ μετοχὴν ἐπιγενόμενα (13) τῇ οὐσίᾳ αὐτοῦ, ἀλλ' ὅτι αὐτὸ τὸ εἶναι τοῦ Υἱοῦ ἴδιον τῆς πατρικῆς οὐσίας ἐστὶ γέννημα, νοήσει καλῶς τὸ εἰρημένον, καθὰ προεῖπον, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Ἔστι γὰρ ὁ Υἱὸς, οἷος ὁ Πατὴρ, τῷ πάντα τὰ τοῦ Πατρὸς ἔχειν· διὸ καὶ μετὰ τοῦ Πατρὸς σημαίνεται. Πατέρα γὰρ οὐκ ἄν τις εἴποι, μὴ ὑπάρχοντος Υἱοῦ. Ὁ μέντοι ποιητὴν λέγων τὸν Θεὸν, οὐ πάντως καὶ τὰ γενόμενα (14) δηλοῖ· ἔστι γὰρ καὶ πρὸ τῶν ποιημάτων ποιητής· ὁ δὲ Πατέρα λέγων εὐθὺς μετὰ τοῦ Πατρὸς (15) σημαίνει καὶ τὴν τοῦ Υἱοῦ ὕπαρξιν. Διὰ τοῦτο καὶ ὁ πιστεύων εἰς τὸν Υἱὸν εἰς τὸν Πατέρα πιστεύει· εἰς γὰρ τὸ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας πιστεύει (16)· καὶ οὕτω μία ἐστὶν ἡ πίστις εἰς ἕνα Θεόν· καὶ ὁ προσκυνῶν δὲ καὶ τιμῶν τὸν Υἱὸν ἐν Υἱῷ προσκυνεῖ καὶ τιμᾷ τὸν Πατέρα. Μία γάρ ἐστιν ἡ θεότης· καὶ διὰ τοῦτο μία τιμὴ καὶ μία ἐστὶ προσκύνησις ἡ ἐν Υἱῷ (17) καὶ δι' αὐτοῦ γινομένη τῷ Πατρί· καὶ ὁ οὕτω προσκυνῶν ἕνα Θεὸν προσκυνεῖ· εἷς γὰρ Θεός ἐστι, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Ὅτε γοῦν μόνος λέγεται ὁ Πατὴρ Θεός· καὶ ὅτι εἷς Θεός ἐστι, καὶ τὸ, Ἐγώ εἰμι, καὶ, Πλὴν ἐμοῦ (18) οὐκ ἔστι Θεός· καὶ τὸ, Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καλῶς λέγεται· εἷς γὰρ Θεὸς καὶ μόνος καὶ πρῶτός ἐστιν. Οὐκ εἰς ἀναίρεσιν δὲ τοῦ Υἱοῦ λέγεται. Μὴ γένοιτο· ἔστι γὰρ καὶ αὐτὸς ἐν τῷ ἑνὶ, καὶ πρώτῳ, καὶ μόνῳ, ὡς τοῦ ἑνὸς καὶ μόνου καὶ πρώτου καὶ μόνος Λόγος (19), καὶ σοφία, καὶ ἀπαύγασμα ὤν. Ἔστι δὲ καὶ πρῶτος (20) καὶ αὐτὸς, πλήρωμα τῆς τοῦ πρώτου καὶ μόνου θεότητος, ὅλος καὶ πλήρης ὢν Θεός. Οὐκοῦν οὐ δι' αὐτὸν εἴρηται, ἀλλ' εἰς ἀναίρεσιν τοῦ μὴ εἶναι ἕτερον, οἷός ἐστιν ὁ Πατὴρ, καὶ ὁ τούτου Λόγος· καὶ ἔστι μὲν αὐτὸς ὁ νοῦς (21) τοῦ προφήτου φανερὸς καὶ πᾶσι πρόδηλος.

7. Ἐπειδὴ δὲ οἱ ἀσεβεῖς καὶ ταῦτα φέροντες δυσφημοῦσι μὲν τὸν Κύριον, ὀνειδίζουσι δὲ ἡμῖν λέγοντες· Ἰδοὺ εἷς, καὶ μόνος, καὶ πρῶτος λέγεται ὁ Θεὸς, πῶς ὑμεῖς λέγετε τὸν Υἱὸν εἶναι Θεόν (22); Εἰ γὰρ ἦν Θεὸς, οὐκ ἂν ἔλεγεν, Ἐγὼ μόνος, οὐδὲ ὅτι εἷς ἐστιν ὁ Θεός· ἀναγκαῖον τὸν νοῦν καὶ τούτων (23)

A dit. Quocirca qui audit et videt ea, quæ de Patre dicuntur, de Filio quoque dici, non quod hæc per gratiam ejus accidant naturæ, aut quatenus sit horum particeps, sed quia hoc ipso quod est Filius, proprius est naturæ Patris fetus : ille, procul dubio optime, ut jam dixi, hæc verba intelliget, *Ego in Patre et Pater in me est*[46]; et, *Ego et Pater unum sumus*[47]. Talis siquidem est Filius qualis Pater, eo quod **440** omnia habent quæ Patris sunt : quo fit ut et ipse una cum Patre significetur. Nemo enim Patrem appellaverit, nisi exsistat Filius. Nec vero qui Deum effectorem dicit, idcirco res effectas necessario significat ; siquidem opifex etiam est ante opera. Sed qui Patrem dicit omnino cum Patre Filium quoque exsistere significat. Unde qui credit in Filium, in Patrem credit, quippe qui in eum credat, B qui proprius est naturæ Patris : atque hoc pacto una est fides in unum Deum : et ille vero qui Filium adorat et honorat, in Filio adorat et honorat Patrem, quia una est amborum divinitas. Qua de causa unus est honor, unaque adoratio, qua Pater in Filio et per Filium colitur, et qui ita adorat, unum Deum adorat, quia unus est Deus, nec alius est præter eum. Cum ergo solus Pater dicitur Deus : cum item dicitur unus esse Deus, et, *Ego sum*[48]; et, *Præter me non est Deus*[49]; et, *Ego primus, et ego post hæc*[50] : hæc, inquam, omnia recte dicuntur, quia unus et solus et primus est Deus. Nec vero hujusmodi verbis excluditur Filius. Absit. Ipse enim est in uno, primo et solo, tanquam unius, solius et primi solum item Verbum, sapientia et splendor. Ipse item primus est, quippe qui divinitatis primi et solius C plenitudo sit, totusque et plenus Deus. Itaque non ejus causa illa dicta sunt, sed ad declarandum non esse alium qualis est Pater ejusque Verbum : eamque prophetæ mentem esse clarum manifestumque est ab omnibus.

7. Verum quandoquidem impii hæc circumferentes, impie de Domino loquuntur, nobisque hujusmodi verbis obtrectant : Ecce unus et solus et primus dicitur Deus, quare ergo vos Filium Deum quoque esse contenditis? si enim esset Deus, non diceret, *Ego solus*[51], neque quod, *unus est Deus*[52] :

[46] Joan. XIV, 10. [47] Joan. X, 30. [48] Exod. III, 14. [49] Deut. XXXII, 39. [50] Isa. XLI, 6. [51] Deut. XXXII, 39. [52] Deut. VI, 4.

(13) Reg. 1, ἐπιγενόμενα. Editi ἐπιγινόμενα. Mox mss., αὐτὸ τὸ εἶναι. Editio vero Comin., αὐτὸ εἶναι.

(14) Regius primus, τὰ λεγόμενα, ut et Nannius legit. Alii et editi, τὰ γενόμενα.

(15) Reg. 1, μετὰ τοῦ Πατρός. Editi, μετὰ Πατρός.

(16) Hæc verba, εἰς γὰρ τὸ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας πιστεύει, desunt in Gobler. et Felck. 1.

(17) Reg. 1, ἡ ἐν Υἱῷ. Editi ἡ omittunt. Paulo post Reg. 1, Ὅτε γοῦν μόνος λέγεται. Editi, Ὅτε γοῦν καὶ μόνος, etc.

(18) Reg. 1, Goblerian., Felck. 1, καὶ πλὴν ἐμοῦ. Editi, καὶ τὸ, πλὴν ἐμοῦ. Ibidem Reg. 1, οὐκ εστι Θεός. Editi, οὐκ ἔστιν ἄλλος Θεός. Item Reg. 1, ibid., καὶ ἐκὼ μετὰ ταῦτα. Editi, καὶ τὸ, ἐγὼ μετὰ ταῦτα.

(19) Sic Reg. 1. At Reg. 2, λέγει ταῦτα· μὴ γέ- D νοιτο ! ἔστι δὲ καί αὐτὸς ἐν τῷ ἑνὶ καὶ μόνῳ καὶ πρώτῳ, ὡς τοῦ ἑνὸς καὶ μόνου καὶ πρώτου μόνος Λόγος, etc. Editi, λέγει ταῦτα. μὴ γένοιτο ! ἔστι δὲ καὶ πρῶτος αὐτὸς ἐν τῷ ἑνὶ καὶ μόνῳ καὶ πρώτῳ, ὡς τοῦ ἑνὸς καὶ πρώτου καὶ μόνου μόνος Λόγος.

(20) Felck. 2 et editi, Ἔστι καὶ πρῶτος. Cæteri mss., ἔστι δὲ καὶ πρῶτος. Paulo post Anglic., Gobler. et Felck. 1, ὅλως καὶ πλήρης. Sic etiam in Reg. 1, prima manu scriptum erat, sed altera emendatum est.

(21) Sic Reg. 1, Goblerian. et Felck. 1. At alii et editi, οὗτος ὁ νοῦς.

(22) Reg. 1, τὸν Χριστόν.

(23) Reg. 1, τὸν νοῦν καὶ τούτων. Goblerian. et Felck. 1, τὸν νοῦν καὶ περὶ τούτων. Editi, τοίνυν καὶ περὶ τούτων. Ibidem Reg. 1, ὡς δυνατὸν, εἰπεῖν.

eam ob rem operæ pretium est, etiam de hujusmodi dictis pro nostra facultate disserere, ut inde omnibus pateat vere Arianos Dei hostes esse. Si igitur Filio contentio esset cum Patre, non immerito hujusmodi ille audiret voces ; et si quemadmodum David de Adonia et Absalone audivit, ita Pater Filium videret, recte item hæc verba sibi ipsi diceret et proferret, ne forte Filius, seipsum Deum dicendo, aliquos a Patre abduceret. Sed si contra se res habet, illeque qui Filium cognoscit, Patrem melius cognoscit, quem nempe illi Filius ipse patefacit : si, inquam, melius quoque in Verbo, uti dictum est, videbit Patrem : si item postquam advenit Filius, non seipsum sed Patrem honoravit, unde cuidam ad se accedenti ait, *Quid me dicis bonum? Nemo bonus, nisi solus Deus* [53] ; et interroganti quodnam majus mandatum esset in lege, respondit, *Audi, Israel, Dominus Deus tuus, Dominus unus est* [54] : turbis similiter ait : *Ego de cœlo descendi, non ut faciam voluntatem meam, sed voluntatem Patris qui misit me* [55] : sic quoque docebat discipulos, *Pater meus major me est* [56] ; et, *Qui me honorat, honorat eum qui misit me* [57]. Quod si Filius talem se erga Patrem præbet, quid illic est contrarium, ut quis illa Scripturæ loca hoc modo velit intelligere? In primis vero, si Verbum Filius est Patris, quis præter Dei hostes adeo demens sit, ut suspicetur Deum hæc locutum esse, quo suum Verbum calumniaretur et tolleret. Non est hæc Christianorum sententia : absit! Nec enim propter Filium ista scripta sunt, sed ad falsorum deorum, qui ab hominibus ficti sunt, eversionem : idque haud absque recta ratione.

8. Quia enim qui falsis diis sunt addicti, a vero Deo recedunt : ideo Deus qui bonus est curamque hominum habet, cum errantes revocat, ait : *Ego Deus solus* [58] ; et, *Ego sum* [59] ; et, *Præter me non est Deus* [60], aliaque id genus, cum ut ea quæ nulla sunt exploderet, tum ut omnes ad seipsum converteret. Ac quemadmodum si quis per diem et sole lucente lignum temere pingeret, in quo ne species quidem esset luminis, diceretque hanc imaginem causam esse lucis : quod sol animadvertens si diceret, Ego

τῶν ῥητῶν, ὡς δυνατόν ἐστιν, εἰπεῖν, ἵνα πάντες γνῶσι καὶ ἐκ τούτων, ὅτι ὄντως εἰσὶν οἱ Ἀρειανοὶ θεομάχοι. Εἰ μὲν οὖν ἄμιλλα τῷ Υἱῷ ἐστι πρὸς τὸν Πατέρα, τοιαύτας ἀκουέτω φωνάς· καὶ εἰ ὥσπερ Δαβὶδ (24) ἤκουσε περὶ τοῦ Ἀδωνίου καὶ τοῦ Ἀβεσσαλὼμ, οὕτω καὶ ὁ Πατὴρ βλέπει τὸν Υἱόν· πρὸς ἑαυτὸν λεγέτω καὶ προφερέτω τοιαῦτα ῥήματα, μήποτε ὁ Υἱὸς, λέγων ἑαυτὸν Θεὸν, ἀποστήσῃ τινὰς ἀπὸ τοῦ Πατρός· εἰ δὲ ὁ γινώσκων τὸν Υἱὸν γινώσκει μᾶλλον τὸν (25) Πατέρα, ἀποκαλύπτοντος τοῦτον αὐτῷ τοῦ Υἱοῦ, καὶ ἐν τῷ Λόγῳ ὄψεται μᾶλλον τὸν Πατέρα, καθάπερ εἴρηται· ἐλθὼν δὲ ὁ Υἱὸς, οὐχ ἑαυτὸν, ἀλλὰ τὸν Πατέρα ἐδόξασε, λέγων μὲν τῷ προστερχομένῳ· Τί με λέγεις ἀγαθόν ; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός· ἀποκρινόμενος δὲ τῷ ἐρωτῶντι, ποία (26) ἐντολὴ ἐν τῷ νόμῳ μείζων, ὅτι, Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ τοῖς μὲν ὄχλοις λέγων· Ἐγὼ ἐκ τοῦ (27) οὐρανοῦ καταβέβηκα οὐχ ἵνα ποιήσω τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός (28)· τοὺς δὲ μαθητὰς διδάσκων, ὅτι, Ὁ Πατήρ μου μείζων μού ἐστι· καὶ, Ὁ ἐμὲ τιμῶν τιμᾷ τὸν πέμψαντά με. Καὶ εἰ τοιοῦτός ἐστιν ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα, ποία ἐναντιότης, ἵνα καὶ τοιαύτην τις ὑπόνοιαν λάβῃ (29) περὶ τῶν τοιούτων ῥητῶν ; Ἄλλως τε εἰ Λόγος ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς, τίς οὕτως ἐστὶν ἄφρων, πλὴν τῶν χριστομάχων, ὡς νομίζειν ὅτι, τὸν ἑαυτοῦ Λόγον διαβάλλων καὶ ἀναιρῶν, τὰ τοιαῦτα λελάληκεν ὁ Θεός ; Οὐκ ἔστιν οὗτος ὁ νοῦς Χριστιανῶν· μὴ γένοιτο! Οὐ γὰρ διὰ (30) τὸν Υἱὸν ταῦτα γέγραπται, ἀλλ' εἰς ἀναίρεσιν τῶν πλασθέντων παρὰ τῶν ἀνθρώπων ψευδωνύμων θεῶν· καὶ ἡ διάνοια τῶν τοιούτων ῥητῶν ἔχει τὴν αἰτίαν εὔλογον.

8. Ἐπειδὴ γὰρ οἱ προσκείμενοι τοῖς ψευδωνύμοις θεοῖς ἀφίστανται τοῦ ἀληθινοῦ Θεοῦ, διὰ τοῦτο ἀγαθὸς ὢν καὶ κηδόμενος (31) τῶν ἀνθρώπων ὁ Θεὸς, ἀνακαλούμενος τοὺς πλανηθέντας, φησίν· Ἐγὼ Θεὸς μόνος· καὶ, Ἐγώ εἰμι· καὶ (32), Πλὴν ἐμοῦ οὐκ ἔστι Θεός· καὶ ὅσα τοιαῦτά ἐστι ῥητά· ἵνα τὰ μὲν μὴ ὄντα διαβάλῃ, ἐπιστρέψῃ δὲ πάντας εἰς ἑαυτόν. Καὶ ὥσπερ ἂν εἴ τις ἡμέρας οὔσης καὶ ἡλίου φαίνοντος ζωγραφοίη ξύλον ἁπλῶς, οὐδὲ κἂν φαντασίαν ἔχον φωτὸς, καὶ λέγοι τὴν εἰκόνα ταύτην αἰτίαν εἶναι

[53] Luc. XVIII, 19. [54] Marc. XII, 29, 30. [55] Joan. VI, 38. [56] Joan. XIV, 28. [57] Joan. V, 23. [58] Deut. XXXII, 39. [59] Exod. III, 15. [60] Deut. VI, 4.

(24) Reg. 1, ἀκουέτω φωνάς· καὶ εἰ ὥσπερ ὁ Δαβὶδ, etc. Editi, ἀκουέτωσαν φωνάς· καὶ εἰ ὡς Δαβὶδ, etc. Ibidem Aug. 1, Gobleriau. et Felck. 1, Ἀβεσσαλώμ. Reg. 2, Basil. et Anglican., Ἀβεσαλώμ. Editi, Ἀβσαλώμ. Item ibidem Reg. 1, Gobler. et Felck. 1, οὕτως καὶ ὁ Πατὴρ βλέπει. Editio Commel., καὶ ὁ Πατὴρ οὕτω βλέπει. Reg. 1, ibidem πρὸς ἑαυτὸν λεγέτω. Editi, πρὸς αὐτὸν λεγέτω.

(25) Sic Reg. 1, Gobler. et Felck. 1. Editi vero, μᾶλλον καὶ τόν.

(26) Reg. 1, ἀποκρινόμενος δὲ τῷ ἐρωτῶντι ποία, etc. Editi, ἀποκρινάμενος δὲ τῷ ἐρωτῶντι αὐτὸν, ποία.

(27) Sic Reg. 1 et Anglic. At Gobler. et Felck. 1, λέγων, ὅτι Ἐγὼ ἐκ τοῦ. Editi, λέγον, ἐκ τοῦ.

(28) Sic Reg. 1 et 2, Gobler., Felck. 1 et 4. At in editione Commel. deest Πατρός.

(29) Reg. 1, Seguer. et Basil., λαβῇ. Ibidem Reg. 1 et Seguer., ῥητῶν. Alii et editi, λάβοι, et ῥημάτων.

(30) Sic Reg. 1, Seguer. Gobler. et Felck. 1. At alii et editi, οὐδὲ διά.

(31) Sic Reg. 1 et Seguer. Cæteri autem et editi, ὢν κηδόμενος.

(32) Sic Reg. 1 et 2, Seguer. Basil. Anglicin. et Felck. 5. In aliis vero et editis καί deest. Mox Reg. 1, et Seguer. διαβάλῃ : alii et editi, διαπάλλῃ. Ibidem Reg. 1 et 2, Seguer., πάντας εἰς ἑαυτόν. Editi, πάντα εἰς ἑαυτόν. Item ibidem Reg. 1 et Seguer., Ὥσπερ ἂν εἴ τις ἡμέρας. Alii et editi, Ὥσπερ ἂν τῆς ἡμέρας.

τοῦ φωτός (33)· ὁ δὲ ἥλιος τοῦτο βλέπων εἰ λέγοι· Ἐγὼ μόνος εἰμὶ τὸ φῶς τῆς ἡμέρας, καὶ οὐκ ἔστιν ἄλλο φῶς τῆς ἡμέρας πλὴν ἐμοῦ· οὐ πρὸς τὸ ἑαυτοῦ ἀπαύγασμα βλέπων ταῦτα λέγει, ἀλλὰ πρὸς τὴν πλάνην διὰ τὴν εἰκόνα τοῦ ξύλου καὶ ἀνομοιότητα τῆς ματαίας, φαντασίας· οὕτως ἐστὶ καὶ τὸ, Ἐγώ εἰμι, καὶ, Ἐγὼ μόνος (34) Θεὸς, καὶ, Οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ· ἵνα τῶν ψευδωνύμων ἀποστήσῃ τοὺς ἀνθρώπους, καὶ μάθωσιν αὐτὸν λοιπὸν τὸν ἀληθινὸν Θεόν. Ἀμέλει ταῦτα λέγων ὁ Θεὸς διὰ τοῦ Λόγου ἑαυτοῦ ἔλεγεν· εἰ μὴ ἄρα καὶ τοῦτο προσθῶσιν οἱ νῦν Ἰουδαῖοι, ὅτι μὴ διὰ τοῦ Λόγου ταῦτα λελάληκεν· ἀλλ' οὕτως εἴρηται, κἂν μαίνωνται οἱ διαβολικοί. Ἐγένετο γὰρ Λόγος (35) Κυρίου πρὸς τὸν προφήτην, καὶ ταῦτα ἠκούετο. Εἰ δὲ αὐτοῦ ἦν ὁ Λόγος, καὶ δι' αὐτοῦ ταῦτ' ἐλέγετο· καὶ οὐκ ἔστι τι ὁ λέγει καὶ ποιεῖ ὁ Θεὸς, ὁ μὴ ἐν τῷ Λόγῳ λέγει (36) καὶ ποιεῖ οὐκ ἄρα δι' αὐτὸν εἴρηται, ὦ Θεομάχοι, ἀλλὰ διὰ τὰ ἀλλότρια καὶ μὴ ὄντα παρ' αὐτοῦ. Καὶ γὰρ καὶ κατὰ (37) τὴν εἰρημένην εἰκόνα, καὶ ὁ ἥλιος εἰ τὰς φωνὰς ἔλεγεν ἐκείνας, οὐκ ἐκτὸς ἔχων τὸ ἑαυτοῦ ἀπαύγασμα, ἀλλ' ἐν τῷ ἀπαυγάσματι δεικνὺς ἑαυτοῦ τὸ φῶς ἤλεγχε τὴν πλάνην (38), καὶ εἶπεν ἂν τοιαῦτα. Οὐκοῦν οὐκ εἰς ἀναίρεσιν τοῦ Υἱοῦ, οὐδὲ δι' αὐτόν ἐστι τὰ τοιαῦτα ῥητὰ, ἀλλ' εἰς ἀθέτησιν τοῦ ψεύδους. Ἐξ ἀρχῆς γοῦν ὁ Θεὸς οὐκ εἶπε τῷ Ἀδὰμ τὰς τοιαύτας φωνὰς, καίτοι ὄντος τοῦ Λόγου σὺν αὐτῷ, δι' οὗ τὰ πάντα ἐγένετο· οὐ γὰρ ἦν χρεία, μήπω γενομένων εἰδώλων. Ὅτε δὲ ἀντῆραν ἄνθρωποι κατὰ τῆς ἀληθείας καὶ ὠνόμασαν ἑαυτοῖς οὓς ἤθελον θεούς, τότε δὴ καὶ τοιούτων χρεία γέγονε ῥημάτων εἰς ἀναίρεσιν τῶν μὴ ὄντων θεῶν. Ἐγὼ δ' ἂν εἴποιμὶ πρὸς θεὶς, ὅτι καὶ πρὸς τὴν τῶν χριστομάχων ἀφροσύνην προείρηται τὰ τοιαῦτα ῥητὰ (39), ἵνα γνῶσιν, ὅτι ὃν ἂν ἔξωθεν τῆς οὐσίας τοῦ Πατρὸς ἐπινοήσωσι Θεὸν, οὗτος οὐκ ἔστιν ἀληθινὸς, οὐδὲ τοῦ μόνου (40) καὶ πρώτου εἰκὼν καὶ υἱός.

9. Ἐὰν τοίνυν καὶ μόνος **ἀληθινὸς Θεὸς** ὁ Πατὴρ λέγηται, οὐκ εἰς **ἀθέτησιν** τοῦ λέγοντος, Ἐγώ εἰμι ἡ ἀλήθεια, εἴρηται, ἀλλ' εἰς ἀναίρεσιν πάλιν (41) τῶν μὴ πεφυκότων εἶναι ἀληθινῶν, οἵός ἐστιν ὁ Πατὴρ καὶ ὁ τούτου Λόγος. Οὕτω γὰρ καὶ αὐτὸς ὁ Κύριος εὐθὺς συνῆψε, Καὶ ὃν ἀπέστειλας Ἰησοῦν

A solus sum lux diei, nec est alia lux præter me; nemo profecto hæc a sole dicta esse arbitretur, ut suum excluderet splendorem, sed tantum illius erroris tollendi causa, qui in lignea imagine inanisque figuræ dissimilitudine objiceretur: ita similiter dixit Deus, *Ego sum;* et, *Ego solus Deus*; et, *Non est alius præter me*, ut homines a falsis diis averteret, indeque discerent verum eum esse Deum. Cæterum cum hæc Deus diceret, ea sine dubio per suum Verbum ipse dicebat, nisi forte hodierni Judæi addunt ista Deum minime per suum Verbum locutum fuisse. Verum ita illa dicta sunt, quantumvis furant diabolici viri. Nam Verbum Domini factum est ad prophetam, hæcque audita sunt. Quod si ejus erat Verbum, ac per ipsum hæc dicebantur, nihilque est quod dicat vel faciat Deus, nisi in Verbo: non igitur propter B ipsum dicta ista sunt, o Dei hostes, sed propter aliena et quæ ab ipso non sunt. Etenim, ut in eodem insistamus exemplo, si sol illa verba protulisset, non his utique dictis indicasset se splendorem suum extra se habere, sed potius lumen suum in splendore esse ostendens, errorem illum refellisset. Nec ergo pariter dicta illa sunt ad excludendum Filium, neque propter illum, sed ad confutandum mendacium. Hinc Deus initio mundi nusquam illis est usus vocibus, cum Adamo loqueretur, quamvis Verbum, per quod omnia facta suut, cum illo esset. Nec enim tum his opus erat, cum nondum idola fuerant inventa. Postea autem quam homines a veritate defecerunt, sibique deos ad arbitrium confinxerunt, tunc ad falsos deos exterminandos verba hujusce- C modi fuere necessaria. Mihi vero licet etiam addere, illa ante hæreticorum insaniam dicta esse, ut inde exploratum haberent, eum quem extra Patris naturam Deum fingunt, non esse verum Deum, neque solius primique imaginem et Filium.

9. Quocirca etsi Pater solus verus Deus dicitur, non profecto dicitur ad repudiandum eum qui dicit, *Ego* **ἀλήθεια** *sum veritas* [61], sed ad illos rejiciendos qui natura veri non sunt, qualis ipse est Pater ejusque Verbum. Sic enim Dominus ipse statim conjunxit, *Et quem misisti Jesum Christum* [62]. Qui si res esset

[61] Joan. XIV, 6. [62] Joan. XVII, 3.

(33) Hæc verba, καὶ λέγοι τὴν εἰκόνα ταύτην αἰτίαν εἶναι τοῦ φωτός, desunt in Basil. Ibidem Reg. 1, et Seguer., βλέπων εἰ λέγοι. Alii et editi, βλέπων λέγοι. Paulo post Reg. 1 et 2, Seguer. Gobler. Felck. 1 et 5, ἄλλο φῶς, et post pauca, τὸ ἑαυτοῦ ἀπαύγασμα. Alii et editi, ἄλλο τὸ φῶς, et, τὸ αὐτοῦ ἀπαύγασμα.

(34) Reg. 1, et Seguer., καὶ, Ἐγὼ μόνος. Gobler. et Felckm. 1, καὶ μόνος. Editi et alii, καὶ τὸ, Ἐγὼ μόνος.

(35) Reg. 1, ἐγένετο Λόγος. Seguer. Goblerian. et Felck. 1, Ἐγένετο γὰρ Λόγος. Editi, Ἐγένετο γὰρ ὁ Λογος.

(36) Sic Reg. 1, Seguer. Gobler. et Felck. 1, qui paulo post, Λόγῳ λέγει. Alii et editi, διὰ τοῦ Λόγου, et Λόγῳ καὶ λέγει.

(37) Reg. 1 et Seguer., Καὶ γὰρ καὶ κατά. Alii et D editi, Καὶ γὰρ κατά. Mox Seguer., εἰς τὰς φωνάς, mendose. Ibidem Reg. 1, Seguer, Gobler. et Felck. 1, ἔλεγεν ἐκείνας. Editi et alii, εἰκόνας. Gobler. et Felck. 1, ibidem pro ἔχων, habent, ἔσχον.

(38) Gobler. et Felckm. 1, ἔλεγε καὶ τὴν πλάνην. Iidem ibidem et Reg. 1, ac Seguer. ἂν τοιαῦτα Alii et editio Commel., ἂν τὰ τοιαῦτα.

(39) Reg. 1 et Seguer., ῥητά. Editi et alii, ῥήματα.

(40) Sic Reg. 1, Seguer. Gobler. et Felck. 1. At alii et editi, οὔτε δὲ τοῦ μόνου. Mox Reg. 1 et Seguer., ἀληθινὸς Θεὸς ὁ Πατήρ. In aliis et editis deest Θεός.

(41) Sic Regius primus et Seguerianus. At alii et editi πάλιν omittunt. Paulo post Reg 1, et Seguerian., Οὕτω γὰρ αὐτός. Alii et editi, Οὕτω γὰρ καὶ αὐτός.

creatam non vere conjunxisse nec se cum suo Creatore numerasset. Quæ enim societas vere cum non vero? Cum igitur se cum Patre conjunxerit, utique hoc facto declaravit se naturæ Patris esse, neque occulte vere se ex vero Patre esse genitum. Idem docuit Joannes, ut et ipse quoque didicerat, sic in Epistola scribens: *Et sumus in vero, in Filio eius Jesu Christo: ipse est verus Deus et vita æterna* [43]. Cum item propheta de creatione dicit: *Qui solus extendit cœlos* [44]; cumque Deus ipse ait: *Ego solus cœlos extendi* [45]: perspicuum sane omnino est in solo solius quoque Verbum, in quo omnia facta sunt et sine quo factum est nihil, significari. Igitur si per Verbum facti sunt cœli, dicit tamen Deus, *Ego solus*, sed cum solo intelligitur Filius, per quem facti sunt cœli: similiter ergo etiamsi dicatur, *Unus Deus*, et, *Ego solus*, et, *Ego primus*, in uno, solo et primo simul esse Verbum, ut in luce splendorem, haud dubie est intelligendum: quod quidem de nullo alio præterquam de Verbo intelligi potest. Namque res cæteræ omnes per Filium e nihilo sunt factæ, multumque ab illo natura differunt: ipse autem Filius vere et naturaliter est ex Patre genitus. Hæc proinde verba, *Ego primus* [46], quæ stultis adhibere visum est suæ hæreseos propugnandæ causa, ipsorum impietatem magis redarguunt. *Ego*, inquit Deus, *primus et ego postea*. Quod si igitur velint eum, inter res se posteriores numerari, earumque primum dici, ut et illæ ipso sint posteriores, inde certe efficietur ut ipse opera solo tempore antecedat: quod quidem unum omnem superat impietatem. Sin autem hæc verba, *Ego primus*, protulit, ut se non esse ex aliquo, nec aliquem ante se fuisse, sed se omnium esse principium et causam ostenderet, atque ut gentilium exploderet fabulas; perspicuum quoque est Filium primogenitum appellari, non quod inter res creatas numeretur, sed ad judicandum omnium creatorem adoptionem per Filium esse effectam. Siquidem quemadmodum Pater primus est, ita et ipse primus est, quatenus nimirum imago primi est, et in eo est primus, ipseque ex Patre est genitus, in quo item omnis natura creata cum creatur tum adoptatur.

Α Χ. στον. Εἰ δὲ κτίσμα 42, ἦν, οὐκ ἂν συνῆψε, καὶ τὸν ἑαυτοῦ ἴδιον τῷ κτίσματι αὐτόν. Ποία γὰρ κοινωνία τῷ ἀληθινῷ καὶ τῷ μὴ ἀληθινῷ; Νῦν δέ, συνάπτας ἑαυτὸν τῷ Πατρὶ, ἔδειξε, ὅτι τῆς φύσεως τοῦ Πατρός ἐστι, καὶ ἔδωκεν ἡμῖν 43 γινώσκειν, ὅτι τοῦ ἀληθινοῦ Πατρὸς ἀληθινὸς ἐστι γέννημα. Τοῦτο καὶ Ἰωάννης μαθὼν ἐδίδαξε γράφων ἐν τῇ Ἐπιστολῇ· Καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος. Καὶ τοῦ μὲν προσήκοντος περὶ τῆς κτίσεως λόγου, Ὁ τανύσας τὸν οὐρανὸν μόνος· τοῦ δὲ Θεοῦ· Ἐγὼ μόνος τὸν οὐρανὸν ἐξέτεινα· παντὶ δῆλον γέγονεν, ὅτι ἐν τῷ μόνῳ καὶ ὁ τοῦ μόνου σημαίνεται Λόγος, ἐν ᾧ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Οἴκοθεν εἰ διὰ τοῦ Λόγου γέγονε, φησὶ δὲ, Ἐγὼ μόνος, νοεῖται δὲ σὺν τῷ μόνῳ καὶ Β ὁ Υἱὸς, δι' οὗ γέγονεν ὁ οὐρανός 45) οὕτως ἄρα καὶ ἐὰν λέγηται· Εἷς Θεός, καὶ, Ἐγὼ μόνος, καὶ, Ἐγὼ πρῶτος, ἐν τῷ 46 ἑνὶ καὶ μόνῳ καὶ πρώτῳ συνὼν νοεῖται ὁ Λόγος, ὥσπερ ἐν τῷ φωτὶ τὸ ἀπαύγασμα. Τοῦτο δὲ οὐκ ἂν ἐπί ἄλλου (47) νοηθείη, εἰ μὴ ἐπὶ μόνου τοῦ Λόγου. Τὰ μὲν γὰρ ἄλλα πάντα ἐκ τοῦ μὴ ὄντος ὑπέστη διὰ τοῦ Υἱοῦ, καὶ πολλὴν ἔχει τῇ φύσει τὴν διάστασιν· αὐτὸς δὲ ὁ Υἱὸς ἐκ τοῦ Πατρός ἐστι φύσει καὶ ἀληθινὸν γέννημα· διὸ καὶ ὃ προφέρειν ἐδόξαν οἱ ἀνόητοι ῥητόν, τὸ, Ἐγὼ πρῶτος, εἰς ἀπολογίαν τῆς αἱρέσεως αὐτῶν, τοῦτο μᾶλλον ἐλέγχει αὐτῶν τὴν κακόνοιαν. Φησὶν ὁ Θεός· Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα. Εἰ μὲν οὖν ὡς συναριθμούμενος τοῖς μετ' αὐτὸν λέγεται τούτων πρῶτος, ἵνα κἀκεῖνα δεύτερα τούτου (48) ᾖ, ἔσται καθ' ὑμᾶς τῶν ποιημάτων καὶ αὐτὸς μόνῳ τῷ χρόνῳ προάγων· ἀλλὰ τοῦτο C μόνον πᾶσαν ἀσέβειαν ὑπερβάλλει. Εἰ δὲ εἰς ἀπόδειξιν τοῦ μὴ εἶναι αὐτὸν ἔκ τινος, μηδὲ πρὸ αὐτοῦ τινα, ἀλλ' αὐτὸν εἶναι τῶν πάντων ἀρχὴν καὶ αἴτιον, καὶ εἰς ἀναίρεσιν τῶν παρ' Ἕλλησι μύθων εἴρηκεν, Ἐγὼ πρῶτος· δῆλον, ὅτι (49, καὶ τὸ λέγεσθαι τὸν Υἱὸν πρωτότοκον, οὐ διὰ τὸ συναριθμεῖσθαι αὐτὸν τῇ κτίσει, λέγεται πρωτότοκος, ἀλλ' εἰς ἀπόδειξιν τῆς τῶν πάντων διὰ τοῦ Υἱοῦ δημιουργίας καὶ υἱοποιήσεως. Καὶ γὰρ ὥσπερ ὁ Πατὴρ πρῶτός ἐστιν, οὕτω καὶ αὐτὸς πρῶτος μέν ἐστιν, ὡς εἰκὼν τοῦ πρώτου, καὶ ἐν αὐτῷ ὄντος τοῦ πρώτου, γέννημα δὲ ἐκ τοῦ Πατρός· καὶ ἐν αὐτῷ πᾶσα ἡ κτίσις κτίζεται καὶ υἱοποιεῖται.

[43] Joan. v, 20. [44] Job ix, 8. [45] Isa. xliv, 24. [46] Isa. xlv, 6.

(42) Reg. 1, Seguer. Goblerian. et Felckm. 1, Εἰ κτίσμα. Editi et alii, εἰ δὲ κτίσμα.

(43) Regius primus et Seguerianus, δέδωκεν ἡμῖν. Reg. 2, Basiliensis et Anglic., ἔδωκεν ἡμῖν. At alii cum editione Commel. ἡμῖν omittunt. Ibidem Reg. 1 et Seguer., ὅτι ἀληθινοῦ. Editi et alii, ὅτι τοῦ ἀληθινοῦ. Mox Regius primus et Seguerianus, τοῦτο καὶ Ἰωάννης μαθὼν ἐδίδαξε. Goblerian. et Felck. 1, Τοῦτο καὶ Ἰωάννης ἐδίδαξεν ἐν τῇ Ἐπιστολῇ. Alii et editio Commel., τοῦτο μαθὼν Ἰωάννης.

(44) Reg. 2, et Felckm. 5, ἀληθινὸς Χριστός, ut et in Basiliensi prima manu scriptum fuerat. Ibid. Reg. 1 et Seguerian., καὶ ζωὴ, αἰώνιος. Editi et alii, καὶ ἡ ζωὴ ἡ αἰώνιος. Mox Reg. 1 et 2 et Seguerian., περὶ τῆς κτίσεως. Alii et editi, περὶ τῆς κτίσεως, mox

D (45) Reg. 1, Seguer. Gobler. et Felckm. 1, νοεῖται δὲ σὺν τῷ μόνῳ καὶ ὁ Υἱὸς, δι' οὗ γέγονεν ὁ οὐρανός. Alii et editi, νοεῖται σὺν τῷ μόνῳ καὶ ὁ Υἱὸς, δι' οὗ γέγονε καὶ οὐρανός.

(46) Reg. 1 et Seguer., καὶ ἐν τῷ. In aliis et editis deest καί.

(47) Seguerian., ἐπ' ἄλλου, forte pro ἐπ' ἄλλων.

(48) Reg. 1. τούτῳ. Seguer. Gobler. et Felck. 1, τούτων. Ibidem Reg. 1, et Seguer. ἔστω καθ' ὑμᾶς. Mox Reg. 1 et Seguerian., μόνον τῷ Χριστῷ. Iidem ibidem, ἀλλὰ τοῦτο πᾶσαν.

(49) Reg. 1 et 2, et Felckm. 5, δῆλον, ὅτι. Alii et editi, δηλονότι. Seguer., ibidem λέγεσθαι καὶ τόν. In aliis et editis, deest καί. Mox Reg. 1, et Seguerian. συναριθμεῖσθαι. Editi et alii, συναριθμῆσαι.

10. Ἀλλὰ καὶ πρὸς (50) ταῦτα πάλιν ἐπιχειροῦσι φιλονεικεῖν ταῖς ἰδίαις μυθοπλάστιαις, λέγοντες μὴ οὕτως εἶναι τὸν Υἱὸν καὶ τὸν Πατέρα ἕν, μηδὲ ὅμοιον, ὡς ἡ Ἐκκλησία (51) κηρύσσει, ἀλλ' ὡς αὐτοὶ θέλουσι. Φασὶ γάρ. Ἐπεὶ ἃ θέλει ὁ Πατὴρ, ταῦτα θέλει καὶ ὁ Υἱός, καὶ οὔτε τοῖς νοήμασιν οὔτε τοῖς κρίμασιν ἀντίκειται, ἀλλ' ἐν πᾶσίν ἐστι σύμφωνος αὐτῷ, τὴν ταὐτότητα τῶν δογμάτων καὶ τὸν ἀκόλουθον καὶ συνηρτημένον (52) τῇ τοῦ Πατρὸς διδασκαλίᾳ ἀποδιδοὺς λόγον· διὰ τοῦτο αὐτὸς καὶ ὁ Πατὴρ ἕν εἰσι. Ταῦτα γὰρ οὐ μόνον εἰπεῖν, ἀλλὰ καὶ γράψαι τινὲς ἐξ αὐτῶν τετολμήκασι. Τούτου δὲ τί ἂν τις ἀτοπώτερον ἢ ἀλογώτερον εἴποι; Εἰ γὰρ διὰ ταῦτα ἕν εἰσιν ὁ Υἱὸς καὶ ὁ Πατὴρ, καὶ εἰ οὕτως ὅμοιός ἐστιν ὁ Λόγος τῷ Πατρί (53)· ὥρα καὶ τοὺς ἀγγέλους, καὶ τὰ ἄλλα ἡμῶν τὰ ὑπερκείμενα, ἀρχάς τε καὶ ἐξουσίας, καὶ θρόνους καὶ κυριότητας, καὶ τὰ φαινόμενα, ἥλιόν τε καὶ σελήνην, καὶ τοὺς ἀστέρας εἶναι καὶ αὐτοὺς, ὡς τὸν Υἱὸν (54), υἱούς· λέγεσθαι δὲ καὶ περὶ τούτων, ὅτι αὐτοὶ καὶ ὁ Πατὴρ ἕν εἰσι· καὶ ἕκαστος εἰκὼν καὶ Λόγος ἐστὶ τοῦ Θεοῦ (55)· Ἃ γὰρ θέλει ὁ Θεὸς, ταῦτα θέλουσι καὶ αὐτοί· καὶ οὔτε τοῖς κρίμασιν οὔτε τοῖς δόγμασι διαφωνοῦσιν (56), ἀλλ' ἐν πᾶσιν εἰσιν ὑπήκοοι τῷ πεποιηκότι. Οὐκ ἂν γὰρ ἔμειναν ἐν τῇ ἰδίᾳ δόξῃ, εἰ μὴ, ἅπερ ἤθελεν ὁ Πατὴρ, ταῦτα καὶ αὐτοὶ ἠβούλοντο. Ὁ γοῦν μὴ μείνας (57), ἀλλὰ παραφρονήσας ἤκουσε· Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος, ὁ πρωὶ ἀνατέλλων; πῶς οὖν, τούτων οὕτως ὄντων, μόνος οὗτος Υἱὸς (58) μονογενὴς καὶ Λόγος καὶ Σοφία ἐστίν; ἢ πῶς, τοσούτων ὄντων ὁμοίων τῷ Πατρὶ, μόνος οὗτος εἰκών ἐστι; Καὶ γὰρ καὶ ἓν ἀνθρώποις εὑρεθήσονται πολλοὶ ὅμοιοι τῷ Πατρὶ, πλεῖστοι μὲν μάρτυρες (59) γενόμενοι, καὶ πρὸ αὐτῶν οἱ ἀπόστολοι καὶ προφῆται, καὶ πάλιν πρὸ τούτων οἱ πατριάρχαι· πολλοί τε καὶ νῦν ἐφύλαξαν (60) τὴν τοῦ Σωτῆρος ἐντολὴν, γενόμενοι οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, καὶ τηρήσαντες τὸ, Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα (61) ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Μιμηταὶ δὲ γεγόνασι καὶ τοῦ Παύλου πολλοὶ, ὡς κἀκεῖνος τοῦ Χριστοῦ· καὶ ὅμως οὐδεὶς τούτων οὔτε Λόγος (62), οὔτε Σοφία, οὔτε μονογενὴς Υἱός,

10. Verum ista illi propriis commentis conantur dissolvere. Aiunt itaque Filium et Patrem non ita unum et quid simil esse, ut Ecclesia prædicat, sed ut ipsi docent. Quia enim, inquiunt, quæ vult Pater, eadem etiam vult Filius, ejusque cogitationibus et judiciis non adversatur, sed in omnibus plane cum illo consensit, eaque sermonibus suis docet quæ Patris dogmatis et doctrinæ sunt admodum consentientia : idcirco ipse et Pater unum sunt. Hæc illa sunt quæ nonnulli eorum non tantum dicere, sed etiam scribere ausi sunt, quibus quid, quæso absurdius et ineptius dici queat? Namque si propterea Pater et Filius unum **443** sunt, hocque modo Patris simile est Verbum, sequitur profecto ut etiam angeli, aliique nobis superiores spiritus, Principatus Potestates, Throni, Dominationes, res item aspectabiles, sal, lunaque et stellæ sint filii uti Filius, ac de iisdem dicatur illos et Patrem unum esse, singulosque Dei esse verbum. quæ enim vult Deus eadem et illi volunt, nec ab ejus sententia et judicio dissentiunt, sed in omnibus Creatori obediunt. Siquidem in propria gloria non permanssissent, nisi quæ Pater voluit, illi quoque voluissent. Hinc ille qui non permansit, sed mente depravatus est, hæc audivit : *Quomodo cecidit e cælo Lucifer, ille qui mane oriebatur* [67]? Cum igitur tales sint, quare solus iste, Filius unigenitus, Verbum et Sapientia est? Vel cur si tot sunt Patris similes, solus iste imago est? Namque inter ipsos etiam homines multi reperientur qui Patris sint similes, plurimi scilicet martyres et, ante martyres, apostoli et prophetæ, atque ante istos patriarchæ. Quinetiam complures quoque hobie Salvatoris mandatum servant, fluntque misericordes ut Pater cœlestis [68], atque hisce monitis obsequuntur, *Estote itaque imitatores Dei sicut Filii dilecti : et ambulate in dilectione, sicut et Christus dilexit nos* [69] multi etiam Pauli imitatores effecti sunt ut et ille Christi. Atqui nemo tamen illorum vel Verbum aut Sapientia, vel unigenitus Filius, vel imago est, nec ausus est dicere, *Ego et Pater unum sumus* [70], vel, *Ego in Patre et Pater in me est* [71] : sed hominum quidem nomine dictum est, *Quis similis tui in diis, Do-*

[67] Isa. xiv. 12. [68] Luc. vi, 36. [69] Ephes. v, 1, 2. [70] Joan. x, 30. [71] Joan. xiv, 10.

(50) Reg. 1 et Seguer., ἀλλὰ καὶ πρός. Alii et editi, ἀλλὰ πρός.

(51) Reg. 1 et 2, Seguer. Basil. et Felokm. 5, ὡς ἡ Ἐκκλησία. Alii et editi, ὡς Ἐκλλησία.

(52) Goblerian. et Felckm. 1, συνηρτισμένων.

(53) Sic Reg. 1, et Seguerian. At editi, ἓν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱος, καὶ οὕτως ὁμοιός ἐστιν ὁ Υἱός τῷ Πατρί.

(54) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. Cæteri vero et editi, ὡς καὶ τὸν Υἱόν. Mox Reg. 1. Seguer Gobler. et Felc. 1, ὅτι αὐτοί. Reg. 2, ὅτι καὶ αὐτός. Alii et editi, ὅτι καὶ αὐτοί.

(55) Reg. 1, Seguer. Gobler. et Felc. 1, τοῦ Θεοῦ. Alii et editi, τοῦ Πατρός.

56) Gobler. Felc. 1, et Reg. 2, διαφέρουσιν. Felc. 5, διαφθονοῦσιν. Alii et editio Commel., διαφώνοῦσιν. Paulo post uterque Reg. Seguer. Anglic. et Felc. 5, ἔμειναν. Editio Commel., ἔμεινεν, male.

(57) Sic Reg. 1, et Seguer. At alii et editi, ἐβούλοντο. Οὐκοῦν μὴ μείνας.

(58) Sic Reg. 1, et Seguer. At alii et editi, οὗτος ὁ Υἱός. Ibid. Reg. uterque, Basil. Gobler. Felc. 1 et 5, Μονογενὴς καὶ Λόγος. Alii et editio Commel., μόνον γέννημα καὶ Λόγος.

B 18. Εἰ μὲν οὖν, ὡς πολλάκις εἴπομεν, ὁ αὐτός ἐστιν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, καὶ οὐδὲν ἡμῶν διαφέρει ἡ χρόνῳ (51)· ἔστω ἡμῖν ὅμοιος, καὶ τὴν αὐτὴν ἐχέτω χώραν παρὰ τῷ Πατρὶ, ἣν καὶ ἡμεῖς ἔχομεν· καὶ μήνε μονογενὴς, μήτε μόνος Λόγος, ἢ Σοφία (52) τοῦ Πατρὸς λεγέσθω· ἀλλὰ κοινὸν ἔστω κατὰ πάντων ἡμῶν τῶν ὁμοίων τὸ αὐτὸ ὄνομα. Δίκαιον γὰρ, ὧν ἐστι φύσις (53) μία, τούτων εἶναι καὶ τὸ ὄνομα κοινὸν, κἂν τοῖς χρόνοις ἀλλήλων διαφέρωσιν. Ἄνθρωπος γὰρ ὁ Ἀδὰμ, ἄνθρωπος δὲ καὶ ὁ Παῦλος (54), ἄνθρωπος δὲ καὶ ὁ νῦν γενόμενος· καὶ οὐχ ὁ χρόνος ἀλλοιοῖ τὴν φύσιν τοῦ γένους. Εἰ τοίνυν καὶ ὁ Λόγος χρόνῳ μόνον ἡμῶν διαφέρει, ἔδει καὶ ἡμᾶς ὡς ἐκεῖνον εἶναι. Ἀλλ' οὔτε ἡμεῖς Λόγος ἢ Σοφία, οὔτε ἐκεῖνος κτίσμα ἢ ποίημα (55) τυγχάνει ὤν· ἐπεὶ διὰ τί οἱ πάντες ἐκ τοῦ ἑνὸς γεγόναμεν, καὶ μόνος ἐστὶν αὐτὸς Λόγος ; Ἀλλὰ γὰρ, εἰ καὶ ἐκείνους λέγειν (56) τοιαῦτα πρέπει, ἀλλ' ἡμῖν ἐνθυμεῖσθαι τὰς ἐκείνων βλασφημίας. Καὶ εἰ δὲ οὐδὲ (57) περιεργάζεσθαί τι τῶν ῥητῶν ἐχρῆν πρὸς τὴν οὕτω φανερὰν καὶ εὐσεβῆ διάνοιαν, καὶ τὴν ἐν ἡμῖν ὀρθὴν πίστιν· ὅμως ἵνα καὶ ἐντεῦθεν δειχθῶσιν ἀσεβεῖς, φέρε συντόμως, ὡς παρὰ τῶν Πατέρων μεμαθήκαμεν, ἐκ τοῦ ῥητοῦ τὴν ἑτεροδοξίαν ἐκείνων ἐλέγξωμεν. Ἔθος τῇ θείᾳ (58)

[7] Isa. xiv, 13.

48) Sic uterque Regius et Seguerianus. At alii et editi, ἐν τοιαύτῃ. Mox Reg. 1 et 2, Goblerian. et Felckm. 1, ἢ ἀλόγιστον τόλμαν. Cæteri et editio Commel. ἢ, ἀλόγιστον πόλεμον. Ibidem Reg. 1, Seguer. Goblerian. et Felckm. 1, λεγόντων καὶ αὐτῶν. Alii et editi, λεγόντων αὐτῶν. Item ibidem Regius primus et Seguerianus omittunt εἰς τὸν οὐρανόν.

(49) Reg. 1, Seguer., Gobler. et Felckm. 1, χρηματίζοντας. Editi, χρηματίζειν.

(50) Regius primus et Seguerianus, ἑαυτούς. Alii et editi, αὐτούς.

(51) Reg. 1, Seguer. Goblerian. et Felckm. 1, ἢ χρόνῳ. Cæteri et editi, ἢ μόνῳ χρόνῳ.

(52) Felckm. 5, μήτε Σοφία.

(53) Reg. 1. Seguer. Gobler. et Felckm. 1, ἐστι φύσις. Editi et alii, ἐστιν ἡ φύσις. Mox Regius primus et Seguerianus, κἂν τοῖς χρόνοις, iidemque et Gobler. et Felckm. 1, ἀλλήλων διαφέρωσιν. Alii et editi, εἰ καὶ τοῖς χρόνοις ἀλλήλων διαφέρουσιν.

(54) Δέ hic et mox post ἄνθρωπος deest in Gobler. et Felckm. 1.

(55) Regius primus et Seguerianus, κτίσμα ἢ ποίημα. Editi et alii, κτίσμα καὶ ποίημα. Ibidem uterque Regius et Seguerianus, ἐπεὶ διὰ τί οἱ πάντες. Felck. 2 et editio Commel., ἐπεὶ διὰ τί οὐ πάντες. Item ibidem Regius primus et Seguerianus, ἐκ τοῦ ἑνός. Alii et editi, διὰ τοῦ ἑνός.

(56) Uterque Regius et Felckm. 5, ἀκούειν. Alii et editi, λέγειν.

(57) Sic Regius primus et Seguerianus. At Regius secundus. Καὶ εἰ οὐδέ. Alii et editi, βλασφημίας. Οὐδὲ περιεργάζεσθαι, etc.

(58) Sic Reg. 1. Seguer. Gobler. et Felckm. 2. At alii et editi, omittunt θείᾳ. Mox ante εἰκόνας, in editione Commel. εἰς deest. Eadem editio cum mss. Regio secundo, Gobler. et Felckm. 1 et 2, λαμβάνει. Reg. 1 vero, Seguer. Basil. Anglic. et Felck. 5, λαμοάνειν.

Γραφῇ τὰ κατὰ φύσιν ὄντα πράγματα, ταῦτα τοῖς ἀνθρώποις εἰς εἰκόνας καὶ παραδείγματα λαμβάνειν· τοῦτο δὲ ποιεῖ, ἵν' ἐκ τῶν κατὰ φύσιν ἐκείνων τὰ ἐκ προαιρέσεως φαίνηται τῶν ἀνθρώπων κινήματα· καὶ οὕτως ἢ φαῦλος ἢ δίκαιος ὁ τούτων δείκνυται τρόπος. Ἐπὶ μὲν οὖν (59) τῶν φαύλων, ὡς ἐὰν παραγγέλῃ· Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἢ καὶ ὅταν, μεμφόμενος τοὺς οὕτω γενομένους, λέγῃ· Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· καὶ πάλιν· Ἵπποι θηλυμανεῖς ἐγενήθησαν. Καὶ ὁ Σωτὴρ δὲ, τὸν μὲν (60) Ἡρῴδην δεικνὺς ὁποῖός ἐστιν, ἔλεγεν· Εἴπατε τῇ ἀλώπεκι ταύτῃ· τοῖς δὲ μαθηταῖς παρήγγελλεν· Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Ἔλεγε δὲ τοῦτο, οὐχ ἵνα τῇ φύσει γενώμεθα κτήνη, ἢ γενώμεθα ὄφεις (61) καὶ περιστεραί· οὐ γὰρ οὕτως ἡμᾶς αὐτὸς πεποίηκε· διὸ οὐδὲ τοῦτο οἶδεν ἡ φύσις· ἀλλ' ἵν' ἡμεῖς τῶν μὲν τὰς ἀλόγους ὁρμὰς φεύγωμεν, τοῦ δὲ τὸ φρόνιμον ἵνα γινώσκοντες (62), μὴ ἀπατώμεθα παρ' αὐτοῦ, καὶ τῆς περιστερᾶς τὸ πρᾶον ἀναλάβωμεν.

A plures res naturales hominibus in similitudinem et exemplum proponere, ut nimirum ex illis motus hominum, qui ex voluntate oriuntur, fiant manifesti, atque hoc pacto eorum mores vel malos vel bonos esse ostendatur. Hinc malos mores perstringit cum ait, *Nolite fieri sicut equus et mulus, quibus non est intellectus* [8]: vel cum eos qui tales jam sunt effecti, his objurgat verbis: *Homo cum in honore esset, non intellexit, comparatus est cum jumentis intellectu destitutis, et similis factus est illis* [9]; et rursus, *Equi salaces facti sunt* [10]. Salvator quoque, qualis esset Herodes hisce verbis indicavit, *Dicite vulpi illi* [11]. Hæc item ad discipulos aiebat, *Ecce mitto vos sicut oves in medio luporum. Estote ergo prudentes sicut serpentes, et simplices sicut columbæ* [12]: quibus utique verbis non nos hortabatur ut pecora, serpentes, B vel columbæ natura efficeremur, cum ipse nos tales non fecerit, ac proinde id natura fieri non queat; sed ut ferinos illorum devitaremus impetus, et cognita serpentis prudentia, nos ab ipso non sineremus decipi, ac denique ut columbæ mansuetudinem amplecteremur.

19. Ἐπὶ δὲ τῶν θείων πάλιν εἰκόνας τοῖς ἀνθρώποις (63) λαμβάνων, φησὶν ὁ Σωτήρ· Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς οἰκτίρμων ἐστί· καὶ, Ἔσεσθε ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν. Ἔλεγε δὲ καὶ τοῦτο, οὐχ ἵνα γινώμεθα πάλιν ὡς ὁ Πατήρ· γενέσθαι γὰρ ἡμᾶς ὡς ὁ Πατὴρ ἀδύνατον, κτίσμα ὄντας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι (64) γενομένους· ἀλλ' ὥσπερ οὐχ ἵνα μὴ γενώμεθα κτήνη, παρήγγειλε, C Μὴ γίνεσθε ὡς ἵππος, ἵνα δὲ μὴ τὸ ἄλογον ἐκείνων μιμησώμεθα· οὕτως οὐχ ἵνα γενώμεθα ὡς ὁ Θεὸς, ἔλεγε, Γίνεσθε οἰκτίρμονες ὡς ὁ Πατὴρ, ἀλλ' ἵνα πρὸς τὰς εὐεργεσίας ἐκείνου βλέποντες, ἃ ποιοῦμεν καλὰ, μὴ δι' ἀνθρώπους, ἀλλὰ δι' αὐτὸν ποιῶμεν (65), ὥστε παρ' αὐτοῦ, καὶ μὴ παρ' ἀνθρώπων τὸν μισθὸν ἔχειν. Ὡς γὰρ ἑνὸς ὄντος Υἱοῦ φύσει, καὶ ἀληθινοῦ, καὶ μονογενοῦς, γινόμεθα καὶ ἡμεῖς υἱοὶ, οὐχ ὡς ἐκεῖνος φύσει καὶ ἀληθείᾳ, ἀλλὰ κατὰ χάριν τοῦ καλέσαντος· καὶ ἄνθρωποι τυγχάνοντες ἀπὸ γῆς, θεοὶ χρη-

19. Ex rebus similiter divinis exempla hominibus proponit Salvator. *Estote*, inquit, *misericordes, sicut Pater vester cœlestis misericors est* [13]: et, *Eritis vos perfecti, sicut Pater vester cœlestis perfectus est* [14]. Hæc autem dicebat, non ut nos tales efficeremur qualis est Pater: nam id fieri nequit, cum et creati et ex nihilo facti simus. Verum quemadmodum cum ait, *Nolite fieri sicut equus*, non nos cavere jussit ne C jumenta efficeremur, sed ne eorum imitaremur feritatem: ita non ut Dei similes efficeremur, dixit: *Estote misericordes sicut Pater*, sed ut ad ejus beneficia attendentes, quæ agimus bona, non propter homines sed propter ipsum agamus, atque ita ab ipso non ab hominibus mercedem consequamur. Ut enim tametsi unus ipse est natura Filius, verus, et unigenitus, nos tamen filii quoque efficimur, non ut ille quidem re et natura, sed vocantis duntaxat gratia: ut item quamvis homines terreni simus, dii nihilominus appellamur, non quidem sicut verus

[8] Psal. xxxi, 9. [9] Psal. xlviii, 13. [10] Jerem. v, 8. [11] Luc. xiii, 32. [12] Matth. x, 16. [13] Luc. vi, 36. [14] Matth. v, 48.

(59) Sic Regius primus et Seguerianus. In aliis autem et editis deest ουν.

(60) Goblerianus et Felckmanni primus μέν omittunt. Mox Regius primus et Seguerianus, τοῖς δὲ μαθηταῖς παρήγγελλεν. Goblerianus et Felckmanni primus, τοῖς δὲ μαθηταῖς ἔλεγεν.

(61) Sic Regius primus et Seguerianus. At Goblerianus et Felckmanni primus, γινώμεθα κτήνη ἢ ὄφεις. Sic item Anglicanus, sed recte habet γενώμεθα. Alii et editi, γινώμεθα ὄφεις καὶ περιστεραί.

(62) Seguerianus, τοῦ δὲ τὸ φρόνιμον ἀναγινώσκοντες.

(63) Reg. 1 et Felckm. 5, τοὺς ἀνθρώπους. Paulo post Regius primus et Seguerianus, Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων. Gobler. et Felckm. 1, ibidem, οἰκτίρμων ἐστίν. Ἔλεγε δὲ τοῦτο, omissis intermediis. Iidem ibidem et uterque Regius et Seguerian., οὐχ ἵνα γενώμεθα. Editi, γινώμεθα.

D (64) Regius primus et Seguerianus omittunt, εἰς τὸ εἶναι. Iidem ibidem et Goblerianus et Felckmanni primus, ἀλλ' ἵν' ωσπερ. Alii et editi, ἀλλ· ὥσπερ. Mox Seguerianus et Regius secundus, μὴ γίνεσθαι. Ibidem Reg. 2, Gobler. et Felckm. 1, ἵνα μὴ τό. Anglicanus, ἀλ ' ἵνα μὴ τό. Cæteri et editi, ἵνα δὲ μὴ τό. Paulo post Regius primus et Seguerianus, γενώμεθα ὡς ὁ Θεός. Editi et alii, γινώμεθα ὡς ὁ Θεός.

(65) Reg. 1, Seguer. Gobler. et Felckm. 1, δι' αὐτὸν ἐκεῖνον. In aliis et editis deest, ἐκεῖνον. Ibid m Seguerianus, ποιοῦμεν. Paulo post Reg. 1, Seguer. Gobler. et Felckm. 1, ὄντος Υἱοῦ. Alii et editi, ὄντως τοῦ Υἱοῦ. Mox editio Commel., γινώμεθα καὶ ἡμεῖς. Mss. vero, γινόμεθα, etc.

Deus ejusque Verbum, sed ut Deo id donanti visum est: ita etiam, sicut Deus, misericordes efficimur, non quidem ipsi Deo exæquati, vel natura et revera benefici facti, cum non nostrum sed Dei sit benefacere; sed ut ea, quæ Deus gratis nobis tribuit, aliis absque delectu **451** impertiamur, in omnesque prorsus beneficentiam extendamus. Siquidem ea tantum ratione, non alia, possumus ejus esse quodammodo imitatores, cum ipsius dona nobis invicem subministramus. Ut igitur ista hoc modo recte et bene intelliguntur, sic locus ex Joanne allatus aliud nihil significat. Nec enim ait, ut Filius est in Patre, ita nos in illo esse. Qui enim id fieri queat, cum ille sit Verbum et sapientia Dei, nos autem ex terra formati sumus: cum, inquam, ille natura et substantia sit Verbum et Deus verus, uti scribit Joannes, *Scimus quoniam Filius Dei venit, et dedit nobis sensum ut cognoscamus verum Deum; et sumus in vero, in Filio ejus Jesu Christo: hic est verus Deus et æterna vita* [15]: nos autem nonnisi adoptione et gratia ejusdem Spiritus facti participes, filii per ipsum efficiamur? *Quotquot* enim, inquit, *receperunt eum, dedit illis potestatem filios Dei fieri, his qui credunt in nomen ejus* [16]. Hinc ille quidem est veritas, ut testatur ipse: *Ego sum veritas* [17], qui idem Patrem alfoquens ait: *Pater, sanctifica eos in veritate: Verbum tuum veritas est* [18]; nos vero sola tantum imitatione cum præditi virtute, tum filii efficimur.

A μετέζομεν, οὐχ ὡς ὁ ἀληθινὸς Θεὸς (66), ἢ ὁ τούτου Λόγος, ἀλλ' ὡς ἠθέλησεν ὁ τοῦτο χαρισάμενος Θεός· οὕτω καὶ ὡς ὁ Θεὸς οἰκτίρμονες γινόμεθα (67), οὐκ ἐξισούμενοι τῷ Θεῷ, οὐδὲ φύσει καὶ ἀληθινοὶ εὐεργέται γινόμενοι· οὐ γὰρ ἡμῶν εὕρεμα τὸ εὐεργετεῖν, ἀλλὰ τοῦ Θεοῦ· ἵνα δὲ τὰ παρ' αὐτοῦ τοῦ Θεοῦ κατὰ χάριν εἰς ἡμᾶς γενόμενα, ταῦτα καὶ ἡμεῖς μεταδιδῶμεν εἰς ἑτέρους, μὴ διακρινόμενοι, ἁπλῶς δὲ εἰς πάντας ἐκτείνοντες τὴν εὐποιΐαν· κατὰ τοῦτο γὰρ μόνον δυνάμεθά πως αὐτοῦ μιμηταὶ γενέσθαι (68), καὶ οὐκ ἄλλως, ὅτι τὰ παρ' αὐτοῦ διακονοῦμεν ἀλλήλοις. Ὥσπερ δὲ ταῦτα καλῶς καὶ ὀρθῶς διανοούμεθα, οὕτω καὶ τὸ κατὰ Ἰωάννην ἀνάγνωσμα τὴν αὐτὴν ἔχει διάνοιαν. Οὐ γὰρ ὡς ἔστιν ὁ Υἱὸς ἐν τῷ Πατρὶ, οὕτως ἵνα καὶ ἡμεῖς γενώμεθά φησι (69)· πόθεν, ὅπου γε ὁ μὲν Λόγος καὶ σοφία τοῦ Θεοῦ ἐστιν, ἡμεῖς B δὲ ἐκ γῆς ἐπλάσθημεν, καὶ ὁ μὲν φύσει καὶ τῇ οὐσίᾳ Λόγος καὶ Θεὸς ἀληθινός ἐστιν· οὕτω γὰρ καὶ ὁ Ἰωάννης (70) φησίν· Οἴδαμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν· καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ, Ἰησοῦ Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ ἡ αἰώνιος· ἡμεῖς δὲ θέσει καὶ χάριτι υἱοποιούμεθα δι' αὐτοῦ, μετέχοντες τοῦ Πνεύματος αὐτοῦ; Ὅσοι γάρ, φησὶν, ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Διὸ καὶ αὐτὸς μὲν ἔστιν ἡ ἀλήθεια, λέγων· Ἐγώ εἰμι ἡ ἀλήθεια (71)· ὅτε καὶ τῷ Πατρὶ αὐτοῦ προσομιλῶν ἔλεγεν· Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ Λόγος ὁ σὸς ἀλήθειά ἐστιν· ἡμεῖς δὲ κατὰ μίμησιν γινόμεθα ἐνάρετοι καὶ υἱοί.

20. Non ergo ut sui similes efficeremur, ait, *Ut unum sint, sicut et nos* [19], sed ut quemadmodum ille, tanquam Verbum, est in proprio Patre, ita et nos secundum aliquam similitudinem, in ipsumque intuentes, unum inter nos animorum concordia et consensu efficiamur, nec dissideamus ab invicem, ut Corinthii, sed idem omnino sentiamus, ut in Actibus de quinque illis millibus legitur, qui omnes veluti unus erant [20]. Hinc dicitur, ut filii, non ut Filius; et dii, non ut ipse: misericordes ut Pater, non vero ut Pater. Verum ita unum, quemadmodum

C 20. Οὐκοῦν οὐχ ἵνα ὡς αὐτὸς γινόμεθα (72), ἔλεγεν, Ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς, ἀλλ' ἵνα ὥσπερ ἐκεῖνος Λόγος ὢν ἔστιν ἐν τῷ ἰδίῳ Πατρὶ, οὕτως ἵνα καὶ ἡμεῖς, τύπον τινὰ λαβόντες, καὶ εἰς ἐκεῖνον βλέποντες, γενώμεθα ἓν πρὸς ἀλλήλους τῇ ὁμοψυχίᾳ, καὶ τῇ τοῦ πνεύματος ἑνότητι, μὴ διαφωνῶμέν (73) τε, ὡς οἱ Κορίνθιοι, τὸ αὐτὸ δὲ φρονῶμεν, ὡς οἱ ἐν ταῖς Πράξεσι πεντακισχίλιοι, οἵτινες ὡς εἷς ἐτύγχανον ὄντες. Ὡς γὰρ υἱοί, οὐχ ὡς ὁ Υἱός (74)· καὶ θεοί, οὐχ ὡς αὐτός· καὶ οἰκτίρμονες ὡς ὁ Πατὴρ, οὐχ ὡς ὁ Πατήρ. Ἀλλ' ὥσπερ εἴρηται, οὕτω γινόμενοι ἓν, καθ-

[15] I Joan. v, 20. [16] Joan. i, 12. [17] Joan. xiv, 6. [18] Joan. xvii, 17. [19] ibid. 21. [20] Act. iv, 32.

(66) Sic uterque Reg. Seguer. Gobler. et Felckm. 1. In aliis autem et editis deest Θεός.

(67) Regius primus et Seguerianus, ἐγινόμεθα Felckm. 5, γινώμεθα. Cæteri et editi, γινόμεθα. Mox Reg. 1, Seguer. Goblerian. et Felckm. 1, εὕρεμα τὸ εὐεργετεῖν, etc., ut in contextu habetur. At alii et editio Commel., εὕρημα τὸ εὐεργετεῖν, ἀλλὰ τοῦ Θεοῦ εἰς ἡμᾶς κατὰ χάριν γενόμενον· ἵνα δὲ τὰ παρ' αὐτοῦ τοῦ Θεοῦ ταῦτα καὶ ἡμεῖς μεταδιδῶμεν, etc. Ibidem Regius primus et Seguerianus habent γινόμενα, et καὶ εἰς ἑτέρους: alii et editi, γενόμενα, qui et καί omittunt.

(68) Regius primus et Seguerianus, γίνεσθαι. Editi et alii, γενέσθαι.

(69) Goblerianus et Felckmanni primus, οὕτω καὶ ἡμεῖς γενόμεθά φησι. Ibidem iidem et Regius primus ac Seguerianus, ὅπου γε ὁ μὲν Λόγος. Regius secundus, ὅπου ὁ μὲν Λόγος. Cæteri et editi, ὅπου ὁ μὲν ὁ Λόγος.

(70) Regius primus et Seguerianus, οὕτω γὰρ ὁ Ἰωάννης. Alii et editi, οὕτω γὰρ καὶ ὁ Ἰωάννης. Paulo post Regius secundus, Basiliensis et Anglicanus, καὶ δέδωκεν ἡμῖν. Ibidem in Reg. 1, Seguer. Gobler. et Felkm. 1, post ἀληθινόν, deest Θεόν, ut et quæ mox sequuntur verba, οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος.

(71) Sic uterque Regius et Seguerianus. In aliis et editis ἡ deest. Mox Reg 1, Seguer. Goblerian. et Felckm. primus, προσομιλῶν. Alii et editi συνομιλῶν.

(72) Regius primus et Seguerianus, γινώμεθα, et mox, καθὼς καὶ ἡμεῖς. At alii et editi, γενώμεθα, et, καθὼς ἡμεῖς.

(73) Anglic. Felckm. 2 et 5, διαφωνοῦμεν, iidemque ibidem et Regius primus et Seguerianus, ὡς Κορίνθιοι.

(74) Reg. 2, Gobler. et Felckm. 1, οὐχ ὡς Υἱός. Ibidem Gobler. et Felckm. 2, οὐχ ὡς ὁ αὐτός.

ὡς ὁ Πατὴρ καὶ ὁ Υἱὸς, οὐχ οὕτως ἐσόμεθα, ὡς ἔστι ρύσει ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ἀλλ' ὡς ἔχομεν φύσεως, καὶ δυνατὸν ἡμῖν ἐστιν ἐκεῖθεν τυπωθῆναι καὶ μαθεῖν, πῶς ὀφείλομεν ἓν γενέσθαι (75), ὥσπερ καὶ τὸ οἰκτείρειν ἐμάθομεν. Τὰ γὰρ ὅμοια πρὸς τὰ ὅμοια πέφυκε τὴν ἕνωσιν ἔχειν· ἐπειδὴ καὶ πᾶσα σὰρξ κατὰ γένος συνάγεται. Ἡμῶν μὲν οὖν ἀνόμοιός ἐστιν ὁ Λόγος, τοῦ δὲ Πατρὸς ὅμοιος· διὰ τοῦτο ἐκεῖνος μὲν ἔστι φύσει (76) καὶ ἀληθείᾳ ἓν μετὰ τοῦ ἑαυτοῦ Πατρός· ἡμεῖς δὲ ἀλλήλων ὄντες ὁμογενεῖς (ἐκ γὰρ ἑνὸς οἱ πάντες γεγόναμεν, καὶ μία πάντων ἀνθρώπων ἡ φύσις [77]), ἓν πρὸς ἀλλήλους τῇ διαθέσει γινόμεθα, ἔχοντες ὑπογραμμὸν τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα φυσικὴν ἑνότητα· καθάπερ γὰρ τὴν πραότητα ἐξ ἑαυτοῦ (78) ἐδίδασκε λέγων· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐχ ἵνα ἐξισωθῶμεν αὐτῷ· ἀδύνατον γάρ· ἀλλ' ἵνα βλέποντες εἰς ἐκεῖνον διαμείνωμεν (79) πρᾶοι διὰ παντός· οὕτω καὶ ἐνταῦθα θέλων ἡμᾶς ἀληθῆ καὶ βεβαίαν καὶ ἀδιάλυτον τὴν διάθεσιν ἔχειν πρὸς ἀλλήλους, ἐξ ἑαυτοῦ λαμβάνει τὸ παράδειγμα, καὶ φησιν· Ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς· ἀδιαίρετος δέ ἐστιν (80) ἡ ἐν ἡμῖν ἑνότης· οὕτως ἵνα καὶ αὐτοὶ μαθόντες ἐξ ἡμῶν τὴν ἀδιαίρετον φύσις, οὕτω καὶ τὴν πρὸς ἀλλήλους συμφωνίαν διαφυλάττωσιν· ἀσφαλεστέρα δὲ ἡ μίμησις ἐκ τῶν κατὰ φύσιν λαμβάνεται τοῖς ἀνθρώποις, ὥσπερ εἴρηται (81). Ἐπειδὴ γὰρ ταῦτα μὲν μένει, καὶ οὔποτε μεταβάλλεται, ὁ δὲ τῶν ἀνθρώπων τρόπος εὐμετάβλητος τυγχάνει· δύναται, πρὸς τὸ ἀμετάβλητον τῇ φύσει (82) βλέπων, τὰ μὲν φαῦλα φεύγειν, ἐν δὲ τοῖς βελτίστοις ἑαυτὸν ἀνατυποῦν. Καὶ γὰρ οὕτω (83) καὶ τὸ λεγόμενον, Ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ὀρθὴν πάλιν ἔχει τὴν διάνοιαν.

A dictum est, sicut Pater et Filius effecti, non eo modo erimus quo Pater est natura in Filio, et Filius in Patre, sed quantum per naturam et vires nobis licet aliquam inde exprimere similitudinem, discerequo quanam ratione unum esse debeamus, quemadmodum misericordes esse didicimus. Res enim similes cum similibus unitate quadam copulantur. Hinc universa caro genere conjungitur. At Verbum nostri est dissimile, Patris vero simile, proindeque natura et revera unum est cum suo Patre. Nos autem, qui ejusdem sumus generis, cum ex uno omnes facti fuerimus, unaque sit omnium hominum natura, unum inter nos charitate efficimur, qua in re Filii et Patris unitas nobis est exemplar. Ut enim cum mansuetudinem doceret, se ipsum in exemplum his verbis proposuit. *Discite a me, quia mitis sum e humilis corde* [21], non quidem ut ei exæquaremur, cum id fieri nequeat, sed ut in illum intuentes semper mansueti permaneremus; ita quoque, cum hic vellet veram, firmam et indissolubilem charitatem inter nos esse, se ipse in exemplum proponit, et ait, *Ut unum sint sicut et nos*, utque in nobis individua est unitas, 452 sic et illi individuum naturam ex nobis ediscentes, concordiam inter se servent. Tutior autem est illarum rerum imitatio quæ ad ipsam naturam pertinent, uti dictum est. Nam cum illæ perseverent et nunquam mutentur, mores autem hominum facile sint mutabiles: sane possumus ad rem natura immutabilem contuentes, perversa fugere, atque in bonis sectandis nos ipsos optime conformare. Sic enim horum verborum, *Ut et ipsi in nobis unum sint*, recta omnino est sententia.

B

C

21. Εἰ γοῦν δυνατὸν ἦν γενέσθαι ἡμᾶς ὡς ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ἔδει λέγειν, Ἵνα καὶ αὐτοὶ ἐν σοὶ ἓν ὦσιν, ὥσπερ ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πατρί· νῦν δὲ τοῦτο (84) μὲν οὐκ εἴρηκε· λέγων δὲ τὸ, ἐν ἡμῖν, ἔδειξε τὴν διάστασιν καὶ τὴν διαφοράν· ὅτι αὐτὸς μὲν μόνος ἐν μόνῳ τῷ Πατρί ἐστιν, ὡς μόνος Λόγος καὶ Σοφία, ἡμεῖς δὲ ἐν Υἱῷ, καὶ δι' αὐτοῦ τῷ Πατρί.

21. Si igitur fieri posset, ut nos eo modo in Patre essemus quo ipse est Filius, dicendum fuisset: Ut et illi in te unum sint, quemadmodum Filius est in Patre. Atqui hoc nequaquam dixit, sed cum ait, *in nobis*, discrimen et differentiam rei indicavit, ipsum nempe in solo Patre ut solum Verbum et Sapientiam esse, nos vero in Filio, et per ipsum in Patre esse.

[21] Matth. xi, 29.

(95) Felckm. 2, et editi, ἔσεσθαι. Cæteri mss., γενέσθαι.

(76) Regius primus et Seguerianus, καὶ ἐκεῖνος μὲν ἔστω φύσει. Goblerianus et Felckmanni primus, κἀκεῖνος μὲν ἐστι φύσει. At alii et editio Commel. ut in contextu.

(77) Reg. 1, Seguer. Gobler. et Felckm. 1, πάντων λογικῶν ἡ φύσις. Basiliensis, πάντων ἡ φύσις. Cæteri et editi, πάντων ἀνθρώπων ἡ φύσις.

(78) Reg. 1, Seguer. Basil. et Anglic. ἐξ ἑαυτοῦ. Alii et editi, ἐξ αὐτοῦ. Mox Reg. 2, Basil. et Anglic. ὅτι πρᾶός εἰμι, iidemque et Felckm. 5, infra, πραεῖς διὰ παντός.

(79) Regius primus et Seguerianus, διαμείνωμεν, iidemque mox, ἡμᾶς ἀληθῆ. Alii et editi, διαμένομεν, et ἡμᾶς καὶ ἀληθῆ.

(80) Ἔστιν deest in Gobler. et Felckm. 1. Ibidem Regius primus et Seguerianus, ἡ ἐν ἡμῖν ἡ ἑνότης. Paulo post iidem, οὕτω τὴν πρὸς ἀλλήλους. Cæteri et editi, οὕτω καὶ τήν, etc. Seguerianus ibidem, διαφυλάττουσιν.

D (81) Reg. 1, Seguer. Gobler. Felckm. 1, ὥσπερ εἴρηται. At alii et editi, καθάπερ εἴρηται. Ibidem Regius 1 et Seguerianus, ταῦτα μὲν μένει καὶ Goblerianus et Felckmanni primus, ταῦτα μένει μὲν καί. In aliis et editis μέν deest. Mox mss., τρόπος εὐμετάβλητος. Editio autem Commel., τρόπος ἀμετάβλητος.

(82) Regius primus et Seguerianus, τῇ φύσει. Cæteri et editi, τῆς φύσεως.

(83) Reg. 1, Seguer. Gobler. et Felckm. 1, Καὶ γὰρ οὕτως. Alii et editi, Καὶ γὰρ καὶ οὕτως. Mox uterque Regius et Seguerianus, αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν. Cæteri et editi, αὐτοὶ ἓν ἐν ἡμῖν ὦσιν.

(84) Sic Reg. 1, Seguer. Gobler. Felck. 1, et ita legit Nannius. At alii et editio Commel., γενέσθαι ἡμᾶς ὡς ὁ Υἱὸς ἐν τῷ Πατρί· νῦν δὲ τοῦτο, etc., omissis quæ interposita sunt.

Quibus utique dictis nihil aliud voluit significare quam hujusmodi sententiam : Ita illi nostra unitate unum sint inter se, ut nos natura et revera unum sumus : non possunt autem unum inter se esse, nisi in nobis discant unitatem. Hanc porro nostram expositionem Paulus his verbis confirmat : *Hæc autem transfiguravi in me et Apollo, ut in nobis discatis non supra quod scriptum est inflari* [22]. Illa ergo dictione, *in nobis*, minime significatur nos esse in Patre, quemadmodum in ipso est Filius, sed exemplum et specimen proponitur, idemque est ac si deceretur : Ex nobis discant. Ut enim Paulus Corinthiis, sic Patris et Filii unitas norma est omnibus et regula, juxta quam, naturalem Patris et Filii unitatem contemplantes, possunt discere, quonam et ipsi modo unum inter se esse animorum consensu debeant. Quod si etiam aliter hunc Scripturæ locum defendere oporteat, hæ voces, *in nobis*, idem valent ac si diceretur, virtute Patris et Filii ut unum fiant, idipsum dicentes [23]. Id enim sine Deo fieri nullo modo potest. Hanc autem interpretationem possumus aliis Scripturæ locis comprobare, istis, exempli causa, *In Deo faciemus virtutem* [24] ; et, *In Deo transgrediar murum* [25] ; et, *In te inimicos nostros ventilabimus cornu* [26]. Clarum est igitur nos in nomine Patris et Filii unum effectos, firmum charitatis vinculum habere posse. Hinc Dominus, eamdem dilatans sententiam, ait : *Et ego gloriam quam dedisti mihi, dedi eis, ut sint unum, sicut et nos unum sumus* [27]. Apposite hic quoque non dixit, Ut sint in te sicuti ego sum, sed, *sicut nos sumus* ; qua quidem particula, *sicut*, aperte ostendit, non identitatem, ut ita loquar, significari, sed imaginem et exemplar proponi.

22. Itaque Verbum quidem vere eamdem naturam habet ac Pater : nobis autem id duntaxat licet imitari, sicuti dictum est ; unde continuo subjunxit, *Ego in eis, et tu in me, ut sint perfecti in unum* [28]. Quibus verbis majus et perfectius aliquid pro nobis poscit. Constat enim Verbum in nobis factum **453** esse, quippe cum nostrum induerit corpus. *Et tu in me, Pater* : siquidem tuum ego sum Verbum, et pro-

Τοῦτο δὲ λέγων, οὐδὲν ἕτερον ἐσήμανεν (85), ἢ ὅτι τῇ ἡμῶν ἑνότητι γένοιντο καὶ αὐτοὶ ἓν πρὸς ἀλλήλους οὕτως, ὡς ἡμεῖς ἕν ἐσμεν φύσει καὶ ἀληθείᾳ· ἄλλως δὲ οὐκ ἂν γένοιντο ἕν, εἰ μὴ ἐν ἡμῖν μάθωσι τὴν ἑνότητα· καὶ ὅτι τὸ, ἐν ἡμῖν, ταύτην ἔχει τὴν σημασίαν, ἀκοῦσαι Παύλου λέγοντος ἔστι· Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ἃ γέγραπται φυσιοῦσθαι. Τὸ ἄρα, ἐν ἡμῖν, οὐκ ἔστιν ἐν τῷ Πατρὶ, ὡς ἔστιν ὁ Υἱὸς ἐν αὐτῷ, ἀλλὰ παράδειγμα καὶ εἰκών, ἀντὶ τοῦ εἰπεῖν, Ἐξ ἡμῶν μαθέτωσαν. Ὡς γὰρ ὁ Παῦλος τοῖς Κορινθίοις, οὕτως ἡ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς ἑνότης, τοῖς πᾶσιν ὑπογραμμὸς καὶ μάθησίς ἐστι, καθ' ἣν δύνανται μανθάνειν (86), βλέποντες εἰς τὴν κατὰ φύσιν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, πῶς καὶ αὐτοὶ ὀφείλουσιν ἓν πρὸς ἀλλήλους γίνεσθαι τῇ φρονήματι. Εἰ δὲ δεῖ καὶ ἑτέρως ἀπολογήσασθαι περὶ τοῦ ῥητοῦ, δύναται πάλιν τὸ, ἐν ἡμῖν, ἴσον εἶναι τῷ λέγειν, τῇ δυνάμει τοῦ Πατρὸς (87) καὶ τοῦ Υἱοῦ, ἵνα ἓν γένωνται, τὸ αὐτὸ λέγοντες· ἄνευ γὰρ Θεοῦ τοῦτο γενέσθαι ἀδύνατον (88)· καὶ τοῦτο πάλιν ἔστιν εὑρεῖν ἐν τοῖς θείοις λόγοις, ὡς τὸ, Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ, Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. Οὐκοῦν δῆλον, ὅτι ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ δυνάμεθα, τὸ ἓν γενόμενοι, βέβαιον ἔχειν τῆς ἀγάπης τὸν σύνδεσμον. Πάλιν γὰρ, τὴν αὐτὴν διάνοιαν (89) ἐπεκτείνων, φησὶν ὁ Κύριος· Κἀγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς (90) ἕν. Καλῶς καὶ ἐνταῦθα οὐκ εἶπεν, ἵνα ὦσιν ἐν σοὶ, ὡς κἀγώ εἰμι· ἀλλὰ, καθὼς ἡμεῖς, εἶπεν· ὁ δὲ λέγων, καθως, οὐ ταυτότητα δείκνυσιν, ἀλλ' εἰκόνα καὶ παράδειγμα τοῦ λεγομένου.

22. Ὁ μὲν οὖν Λόγος τὴν ὄντως καὶ ἀληθῶς ταυτότητα τῆς φύσεως τῷ Πατρὶ ἔχει· ἡμῖν δὲ ἄρα (91) τὸ μιμεῖσθαι πρόσεστιν, ὥσπερ εἴρηται· καὶ γὰρ εὐθὺς ἐπήγαγε, λέγων· Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. Ἐνταῦθα λοιπὸν (92) μεῖζόν τι καὶ τελειότερον περὶ ἡμῶν ὁ Κύριος αἰτεῖ, δῆλον γὰρ, ὡς ἐν ἡμῖν γέγονεν ὁ Λόγος· τὸ γὰρ ἡμέτερον ἐνεδύσατο σῶμα. Καὶ (93) σὺ δὲ

[22] I Cor. IV, 6. [23] I Cor. I, 10. [24] Psal. LIX, 14. [25] Psal. XVII, 30. [26] Psal. XLIII, 6. [27] Joan. XVII, 22. [28] Ibid. 23.

(85) Uterque Regius, τοῦτο δὲ οὐδὲν ἕτερον λέγων ἐσήμανεν. Seguerianus, ἐσήμαινεν, Regius primus et Seguerianus ibidem, γένοιντο καὶ αὐτοὶ πρὸς ἀλλήλους. Deest item ἓν in Gotter. et Felckm. Ut et mox post ἡμεῖς, itemque post γένοιντο. Regius primus et Seguerianus omittunt quidem ἓν post γένοιντο et ἡμεῖς, sed habent post ἀληθείᾳ.

(86) Reg. 1, Seguer. Gobler. et Felckm. 1, μανθάνειν, iidemque paulo post, γίνεσθαι. Cæteri et editi, μαθεῖν et γενέσθαι.

(87) Regius primus et Seguerianus. δύναται τὸ, ἐν ἡμῖν, πάλιν ἴσον εἶναι τῇ δυνάμει τῷ λέγειν τοῦ Πατρός, etc.

(88) Regius primus et Seguerianus. οὐ δύναται. Gobler. et Felckm. 1, οὐ δυνατόν· καὶ τοῦτο πάλιν ἔστιν ἰδεῖν ἐν τοῖς. Ibidem Regius primus et Seguerianus, λογίοις. Cæteri et editi, λόγοις. Item ibidem Reg. 1, Seguer. Gobler. et Felckm. 1, ὡς τὸ ἐν τῷ, etc. Alii et editi τό omittunt. Anglicanus ibidem, ποιήσομεν· Basil. et Felckm. 5, ποιήσομαι, Mss. ibidem, καὶ ἐν τῷ Θεῷ In editis καί deest.

(89) Gobler. et Felckmanni primus, τὴν αὐτὴν αἰτίαν. Ibidem Regius primus et Seguerianus ἐπεκτείνων. Cæteri et editi, ἐκτείνων.

(90) Reg. 1, Seguer. Gobler. et Felckm. 1, καθὼς ἡμεῖς. Cæteri et editi, καθὼς καὶ ἡμεῖς.

(91) Uterque Reg. Seguer. Gobler. Felck. 1 et 5, εἰ ἄρα.

(92) Λοιπὸν abest a Felckm. 5. Mox Regius primus et Seguerianus, καὶ θειότερον pro τελειότερον, iidemque et Goblerianus et Felckm. 1 addunt περὶ ἡμῶν, quod in aliis et editione Commel. deest.

(93) Καὶ deest in Gobler. et Felc. 1. Ibidem Reg. 1, ἐν ἐμοὶ· περὶ σοῦ γάρ εἰμι Λόγος. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, καὶ διὰ σέ, etc. Alii et editi καί omittunt.

ἐν ἐμοὶ, Πάτερ· σοῦ γάρ εἰμι Λόγος, καὶ ἐπειδὴ σὺ μὲν ἐν ἐμοὶ, ὅτι σοῦ Λόγος εἰμὶ, ἐγὼ δὲ ἐν αὐτοῖς διὰ τὸ σῶμα, καὶ διὰ σὲ τετελείωται ἐν ἐμοὶ τῶν ἀνθρώπων ἡ σωτηρία, ἐρωτῶ ἵνα καὶ αὐτοὶ γένωνται ἓν, κατὰ τὸ ἐν ἐμοὶ σῶμα, καὶ κατὰ τὴν αὐτοῦ τελείωσιν· ἵνα καὶ αὐτοὶ (94) γένωνται τέλειοι, ἔχοντες πρὸς τοῦτο τὴν ἑνότητα, καὶ εἰς αὐτὸ ἓν γενόμενοι· ἵνα, ὡς ἂν πάντες φορεσθέντες παρ' ἐμοῦ, πάντες ὦσιν ἓν σῶμα καὶ ἓν πνεῦμα, καὶ εἰς ἄνδρα τέλειον καταντήσωσιν. Οἱ γὰρ πάντες, ἐκ τοῦ αὐτοῦ μεταλαμβάνοντες, ἓν (95) γινόμεθα σῶμα, τὸν ἕνα Κύριον ἔχοντες ἐν ἑαυτοῖς. Ταύτην ἔχοντος τοῦ ῥητοῦ τὴν διάνοιαν, μᾶλλον ἐλέγχεται ἡ ἀλλοδοξία τῶν χριστομάχων· πάλιν γὰρ ἐπαναλαμβάνων φημί· Εἰ μὲν ἁπλῶς καὶ ἀπολελυμένως εἴρηκεν, Ἵνα ὦσιν ἐν σοὶ ἓν, ἦ, Ἵνα (96) αὐτοὶ κἀγὼ ἐν σοὶ ἓν ὦμεν, εἶχον κἂν ἀναίσχυντον πρόφασιν οἱ θεομάχοι· νῦν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ, Καθὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα πάντες ἓν ὦσι. Λέγων δὲ πάλιν, καθὼς, πόρρωθεν δείκνυσι τοὺς γινομένους, ὡς αὐτός ἐστιν ἐν τῷ Πατρὶ, πόρρωθεν δέ ἐστιν (97), οὐ τόπῳ, ἀλλὰ τῇ φύσει· οὐδὲν γὰρ τόπῳ μακρὰν τοῦ Θεοῦ. ἀλλὰ μόνῃ τῇ φύσει πάντα μακράν ἐστιν αὐτοῦ· καὶ, καθὰ προεῖπον, οὐ ταυτότητα, οὐδὲ ἰσότητα δείκνυσιν ὁ λέγων τὸ, καθὼς, ἐπίῤῥημα, ἀλλὰ παράδειγμα τοῦ λεγομένου κατά τι (98) θεωρούμενον.

23. Καὶ τοῦτο πάλιν παρ' αὐτοῦ τοῦ Σωτῆρος ἔστι μαθεῖν λέγοντος· Καθὼς γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς. Οὔτε δὲ Ἰωνᾶς ἦν ὥσπερ ὁ Σωτὴρ, οὔτε Ἰωνᾶς εἰς τὸν ᾅδην κατῆλθεν· οὔτε τὸ κῆτος ἦν ὁ ᾅδης· ἀλλ' οὐδὲ καταποθεὶς ὁ Ἰωνᾶς, ἀνήγαγε τοὺς προκαταποθέντας (99) ὑπὸ τοῦ κήτους, ἀλλὰ μόνος προσταχθέντος τοῦ κήτους ἐξῆλθεν. Οὐκοῦν οὐδεμία ταυτότης οὐδὲ ἰσότης ἐν τῇ, καθὼς, λέξει σημαίνεται, ἀλλὰ ἄλλο μὲν καὶ ἄλλο· ὁμοιότητα δέ πως (1)

A inde cum tu in me sis, quia tuum sum Verbum: cum item sim in illis, proter corpus, cumque propter te in me hominum salus perfecta fuerit, rogo ut et ipsi unum fiant, corporis scilicet quod in me est ejusque perfectionis communione, quo et ipsi unitatem cum eo habentes, unumque in ipso effecti, perfecti reddantur, ut omnes a me veluti gestati unum sint corpus et unus spiritus, occurantque in virum perfectum [29]. Omnes enim ipsius facti participes unum efficimur corpus, qui nempe unum Dominum in nobis ipsis habemus. Cum igitur ea sit vera hujusce loci Scripturæ interpretatio, magis profecto inde redarguitur hæretica Christi hostium sententia. Nam, ut quæ fuse a nobis sunt dicta, breviter repetam, si simpliciter et absolute dixisset, Ut sint in te unum, vel, Ut ipsi et ego in te unum simus,
B aliquam saltem ex hujusmodi verbis causam habuissent, quam et absque pudore potuissent proferre. Verum non ita locutus est, sed hæc sunt ejus verba, *Sicut tu, Pater, in me, et ego in te, ut omnes unum sint.* Qua particula, *sicut*, procul illos abesse significat a modo quo ipse est in Patre; procul, inquam, non loco, sed natura. Siquidem nihil loco procul est a Deo: sed sola natura procul ab ipso sunt res universæ. Quocirca, ut supra docui, particula, *sicut*, non identitatem vel æqualitatem significat, sed nota est alicujus similitudinis cum re de qua agitur.

23. Quin etiam idem discere possumus ex his Salvatoris verbis, *Sicut enim fuit Jonas in ventre ceti tribus diebus et tribus noctibus: sic erit Filius hominis in corde terræ* [30]. Neque enim Jonas talis fuit
C qualis Salvator: neque Jonas in infernum descendit, neque cetus fuit infernus: præterea neque absorptus Jonas eos quos cetus absorpserat reduxit, sed solus ex ceto, Deo jubente, egressus est. Non ergo identitatem aut æqualitatem, sed aliud et aliud particula, *sicut*, significat, similitudinemque duntaxat aliquam ob illud triduum denotat. Nec igitur

[29] Ephes. IV, 4, 13. [30] Matth. XII, 40.

(94) Reg. 1, Seguer. Gobler. et Felck. 1. ἵνα καὶ αὐτοί. Alii et editi, ἵνα αὐτοί. Mox Reg. 1, et Seg., εἰς αὐτό. Cæteri et editi, εἰς αὐτόν. Ibidem Reg. 1, et Seguerian., ὡς ἂν πάντες φορεσθέντες παρ' ἐμοῦ. Editi, ὡς πάντες φορεσθέντες παρ' ἐμοί. Gobler. et Felc. 1 habent item ἄν et παρ' ἐμοῦ.

(95) Reg. 1, Seguerianus, Goblerianus et Felc. 1, μεταλαμβάνοντες, ἕν, etc. Alii vero et editi, λαμβάνομεν καὶ ἕν, etc.
D

(96) Reg. 1, Seguer. Gobler. et Felc. 1, ἓν ᾖ ἵνα. Cæteri et editio Commel. ᾖ omittunt. Mox Gobler. et Felc. 1, εἶχον ἄν. Cæteri et editio Commel., εἶχον, κἂν. Porro quod sequitur, ἀναίσχυντον πρόφασιν, significat causam quæ sit pudoris expers, sive quæ absque pudore possit proferri, non autem quæ sit impudens.

(97) Sic Reg. et Seguer. At alii et editi omittunt ἐστιν. Mox uterque Reg. Anglican. Basil. Gobler. et Felc. 1. μακρὰν τοῦ Θεοῦ. Cæteri et editi μακρὰν, ἀπὸ τοῦ Θεοῦ.

(98) Regius primus et Seguerianus, καθότι.

(99) Regius primus et Seguerianus, τοὺς προκαταποθέντας. Cæteri et editi, τοῦς καταποθέντας. Mox uterque Regius et Seguerianus, προσταχθέντος τοῦ κήτους. In aliis et editis τοῦ deest.

(1) Sic Regius 1, Seguerian. Goblerian. et Felc. 1. At alii et editi, πως omittunt. Paulo post Reg. 1 et Seguerian., οὔτε ὡς ὁ Υἱὸς γινόμεθα ἐν τῷ Πατρί. In editis et aliis ὁ et τῷ desunt. Ibidem in Basiliens. et Anglican. post καθώς hæc addita sunt: Ἡ ἁγία καὶ ὁμοούσιος Τριάς. Ἡμεῖς δὲ, εἰ καὶ ὁμοούσιοί ἐσμεν κατὰ πάντα, ἀλλὰ διαιρούμεθα καὶ τόπῳ καὶ χρόνῳ καὶ ἐνεργείᾳ καὶ βουλήσει καὶ τοῖς ἄλλοις πᾶσι. Τοῦτο καὶ ἐπὶ τῶν ἀγγέλων. Id est, *Sancta et consubstantialis Trinitas. Nos vero tametsi sumus in omnibus consubstantiales, attamen dividimur loco, tempore, efficientia, voluntate, omnibusque aliis. Idem etiam de angelis dicendum.* Sed hæc ex margine in textum irrepsisse perspicuum est. Hinc in margine Felc. 2 et 5, atque etiam Basil. hæc ibidem exstat integrior observatio: Ὅτι φυσικὴ ἕνωσις τέλειος ἐπὶ τῆς ἁγίας Τριάδος μόνη ἐστίν. Οὐ μόνον γὰρ μία φύσις ἡ τοιαύτη οὐσία ἡ ἁγία Τριὰς, ἀλλὰ καὶ μία βούλησις καὶ δύναμις καὶ ἐνέργεια καὶ θέλημα· διὰ τοῦτο καὶ εἷς Θεὸς κυρίως ἁγία (Felc. 5, κύριος καὶ ἁγία) καὶ ὁμοούσιος Τριάς. Ἡμεῖς δὲ, εἰ καὶ ὁμοούσιοί ἐσμεν, ἀλλὰ κατὰ πάντα τὰ ἄλλα διαιρούμεθα καὶ τόπῳ καὶ χρόνῳ καὶ δυνάμει καὶ ἐν

ex hac Domini voce, *sicut* intelligendum est nos ita esse posse, ut est Filius in Patre et Pater in Filio. Nos enim, sicut Pater et Filius, unum efficimur sententiarum et animorum concordia : Salvator vero sicut Jonas erit in terra. Sed ut Jonas Salvator non fuit, sic nec Salvator, quemadmodum absorptus est Jonas, ita ad inferos descendit : sed res omnium diversa est. Sic etiam 4 5 4 tametsi nos unum efficimur sicut Filius est in Patre, tamen non tales futuri sumus qualis est Filius, neque pares illicrimus : aliud quippe et aliud sumus. Quocirca particula, *sicut*, hic ubi de nobis sermo habetur, usus est quia res natura diversæ cum ad aliquid aliud referuntur, fiunt sicut illud. Quamobrem ipse quidem Filius absolute, nullaque addita conjunctione, in Patre esse dicitur, quia hoc illi ex natura est : nos autem qui id ex natura non habemus, imagine et exemplo indigemus ut de nobis dicat : *Sicut tu in me, et ego in te* [31]. Cum autem, inquit, illi ita perfecti fuerint, tunc cognoscet mundus quia tu me misisti. Nisi enim venissem et eorum corpus gestassem, nullus sane illorum perfectus fuisset : sed omnes corrupti permansissent. Operare ergo in illis, Pater, et sicut mihi hoc corpus gestandum dedisti, tuum illis impertire Spiritum, ut in illo unum fiant, et in me perfecti evadant. Nam illorum perfectio argumento est Verbum tuum advenisse : ita ut mundus eos perfectos Deoque plenos videns, omnino crediturus sit me a te missum esse et advenisse. Unde enim illis perfectio accedere posset, nisi ego tuum Verbum, ipsorum corpore assumpto, homo essem factus, et opus quod mihi dedisti, Pater, perfecissem? Opus autem perfectum est, quia homines a peccato redempti, jam amplius mortui non manent, sed divini effecti, in nos intuentes, vinculum mutuæ inter se charitatis in nobis habent.

[31] Joan. XVII, 21.

A δείκνυσι τοῦ Ἰωνᾶ διὰ τὸ τριήμερον. Οὕτως ἄρα καὶ ἡμεῖς, λέγοντος τοῦ Κυρίου, καθὼς, οὔτε ὡς ὁ Υἱὸς γινόμεθα ἐν τῷ Πατρὶ, οὔτε ὡς ὁ Πατήρ ἐστιν ἐν τῷ Υἱῷ, οὕτω γινόμεθα. Ἡμεῖς μὲν γὰρ, καθὼς ὁ Πατὴρ καὶ ὁ Υἱὸς, οὕτω γινόμεθα (2) ἓν τῷ φρονήματι καὶ τῇ τοῦ πνεύματος συμφωνίᾳ· ὁ δὲ Σωτὴρ, καθὼς Ἰωνᾶς, ἔσται ἐν τῇ γῇ· ὥσπερ δὲ οὐκ ἔστιν Ἰωνᾶς ὁ Σωτήρ (3), οὐδὲ ὡς ἐκεῖνος κατεπόθη, οὕτω καὶ ὁ Κύριος κατῆλθεν εἰς τὸν ᾅδην· ἀλλὰ ἄλλο καὶ ἄλλο ἐστίν. Οὕτως ἐὰν (4) καὶ ἡμεῖς γενώμεθα ἕν, καθὼς ὁ Υἱὸς ἐν τῷ Πατρὶ, οὐκ ἐσόμεθα ὥσπερ ὁ Υἱὸς, οὐδὲ ἴσοι αὐτῷ· ἄλλο γὰρ καὶ ἄλλο ἐσμέν· διὰ τοῦτο γὰρ ἐφ' ἡμῶν τὸ, καθὼς, πρόκειται, ἐπὶ τὰ μὴ κατὰ φύσιν (5) ὄντα πρὸς ἄλλο τι βλέποντα γίνεται ὥσπερ ἐκεῖνα. Ὅθεν αὐτὸς μὲν ὁ Υἱὸς, ἁπλῶς καὶ χωρὶς

B συμπλοκῆς τινός ἐστιν (6) ἐν τῷ Πατρί· φύσει γὰρ ὑπάρχει τοῦτ' αὐτῷ· ἡμεῖς δὲ, οὐκ ἔχοντες τὸ κατὰ φύσιν, δεόμεθα εἰκόνος καὶ παραδείγματος (7), ἵνα περὶ ἡμῶν εἴπῃ· Καθὼς σὺ ἐν ἐμοὶ, κἀγὼ ἐν σοί. Ὅταν δὲ, φησὶν, οὗτοι (8) τελειωθῶσιν οὕτω, τότε γινώσκει ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας· εἰ γὰρ μὴ ἦμην ἐλθὼν καὶ φορέσας τὸ τούτων σῶμα, οὐδεὶς ἂν αὐτῶν ἐτελειώθη, ἀλλ' ἔμενον οἱ πάντες φθαρτοί. Ἐνέργησον τοίνυν ἐν αὐτοῖς, Πάτερ· καὶ ὥσπερ δέδωκάς μοι τοῦτο φορέσαι, δὸς αὐτοῖς (9) τὸ Πνεῦμά σου, ἵνα καὶ οὗτοι ἐν τούτῳ ἓν γένωνται, καὶ τελειωθῶσιν ἐν ἐμοί. Ἡ γὰρ τούτων τελείωσις δείκνυσιν ἐπιδημίαν γεγενῆσθαι τοῦ σοῦ Λόγου· καὶ ὁ κόσμος δὲ, βλέπων τούτους τελείους καὶ θεοφορουμένους (10),

C πιστεύσει πάντως, ὅτι σύ με ἀπέστειλας, καὶ ἐπεδήμησα. Πόθεν γὰρ τούτοις ἡ τελείωσις, εἰ μὴ ἐγὼ ὁ σὸς Λόγος, τὸ σῶμα τούτων λαβών, ἐγενόμην ἄνθρωπος, καὶ ἐτελείωσα τὸ ἔργον ὃ δέδωκάς μοι, Πάτερ ; Τετελείωται δὲ τὸ ἔργον (11), ὅτι, λυτρωθέντες ἀπὸ τῆς ἁμαρτίας οἱ ἄνθρωποι, οὐκέτι μένουσι νεκροί (12)· ἀλλὰ καὶ θεοποιηθέντες ἔχουσιν, ἓν ἡμῖν βλέποντες, ἓν ἀλλήλοις τὸν σύνδεσμον τῆς ἀγάπης.

γείᾳ καὶ βουλήσει καὶ τοῖς ἄλλοις πᾶσι. Τοῦτο δὲ καὶ ἐπὶ ἀγγέλων. Id est, *Naturalis unio perfecta sola est in sancta Trinitate. Nec enim tantum una natura est ejusmodi substantia sancta Trinitas, sed etiam una est voluntas, virtus, efficientia, et arbitrium, unde unus Deus proprie est sancta et consubstantialis Trinitas. Nos autem tametsi sumus consubstantiales, attamen in aliis omnibus dividimur loco, tempore, virtute, efficientia, voluntate, aliisque omnibus : quod idem de angelis dicendum.*

(2) Sic Seguerianus, Goblerianus et Felc. primus. At in codice Regio primo hæc desunt verba, Ἡμεῖς γὰρ, καθὼς ὁ Πατὴρ καὶ Υἱὸς, οὕτω γινόμεθα. Cæteri et editi μέν tantum omittunt. Ibidem codex Regius secundus, ἓν τῷ φρονήματι, recte. Alii et editi, ἐν τῷ φρονήματι.

(3) Sic Regius primus, Seguerianus, Goblerianus et Felckm. 1. Editi vero et alii, ἐγένετο ἐν τῇ γῇ· ὡς δὲ οὐκ ἔστιν Ἰωνᾶς ὁ Σωτήρ. Goblerianus et Felc. 1 habent ibidem, ὁ Ἰωνᾶς. Mox Reg. 1 et 2, Seguerian. Goblerian. et Felc. 1, οὕτως ὁ Κύριος. Alii et editi, οὕτω καὶ ὁ Κύριος.

(4) Sic Regius primus et Seguerianus. At Reg. 2, Goblerian et Felck. 1, Οὕτω καὶ ἡμεῖς ἐάν. Alii et editio Commel., Οὕτως ἡμεῖς, ἐάν. Mox Reg. 2 et Basil. ὥσπερ Υἱός.

(5) Regius 1 et Seguer, ἐπεὶ μὴ κατὰ φύσιν. Et paulo post, ὥσπερ ἐκεῖνο. Alii et editi, ἐπεὶ τὰ μὴ κατὰ φύσιν, et, ὥσπερ ἐκεῖνα.

(6) Reg. 1, Seguerian. Goblerian. et Felckm. 1, ἐστιν. Editio Commel., ἔστοι. Mox Felc. 2 et editio Commel., τοῦτο αὐτοῖς. Cæteri mss., τοῦτο αὐτῷ. Regius 1 et Seguerianus, τοῦτ' αὐτῷ.

(7) Reg. 2, Basil. et Felc. 5, παραδειγμάτων.

(8) Uterque Regius et Seguer. addunt οὗτοι, quod in aliis et editis deest. Ibidem Regius primus et Seguer., γινώσκει ὁ κόσμος. Alii et editi, γινώσκει καὶ ὁ κόσμος.

D (9) Reg. 1 et Seguer., δὸς αὐτοῖς. Alii, δὸς καὶ αὐτοῖς. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, οὗτοι ἐν τούτῳ. Alii et editi, αὐτοὶ ἐν τούτῳ.

(10) Regius primus et Seguer., θεοφορουμένους, ut et legit Nannius. Editi aliique, διαφορουμένους.

(11) Sic uterque Regius, Gobler. Felck. 1 et 5. At alii et editio Commel., Πατήρ. Ibidem hæc verba, τετελείωται δὲ τὸ ἔργον, desunt in Gobler. et Felc. 1. Editi cum Regio 2 mendose habent, τελείωται. Paulo post uterque Regius, Gobler. et Felc. 1, οἱ ἄνθρωποι. In aliis et ceitis, οἱ deest.

(12) Νεκροὶ abest ab Anglic. Ibid. Reg. 1 et Seguerian., θεοποιηθέντες ἔχουσιν ἐν ἡμῖν βλέποντες ἐν ἀλλήλοις. Cæteri et editi, θεοποιηθέντες, ἓν ὦσιν ἐν ἡμῖν βλέποντες πρὸς ἀλλήλους.

24. Ἡμεῖς μὲν οὖν, ὅσον αὐτὰς τὰς λέξεις τοῦ ῥητοῦ δυνατὸν ἦν ἁπλούστερον θεωρῆσαι, ταῦτα διὰ πολλῶν εἰρήκαμεν· ὁ δὲ μακάριος Ἰωάννης (13) ἐκ τῆς Ἐπιστολῆς ἐν ὀλίγοις καὶ τελειώτερον μᾶλλον ἡμῶν δείξει τῶν γεγραμμένων τὸν νοῦν, καὶ διελέγξει μὲν τὴν τῶν ἀσεβῶν διάνοιαν, διδάξει δὲ πῶς τε ἡμεῖς (14) ἐν τῷ Θεῷ γινόμεθα, καὶ ὁ Θεὸς ἐν ἡμῖν· καὶ πῶς πάλιν ἡμεῖς μὲν ἐν αὐτῷ γινόμεθα ἓν, πόσον δὲ διέστηκε τὴν φύσιν (15) ὁ Υἱὸς ἀφ' ἡμῶν· καὶ παύσει λοιπὸν τοὺς Ἀρειανοὺς μηκέτι νομίζειν ἑαυτοὺς ἔσεσθαι ὡς τὸν Υἱὸν, ἵνα μὴ καὶ αὐτοὶ ἀκούσωσι· Σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ Θεός· καὶ, Μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ. Γράφει τοίνυν ὁ Ἰωάννης οὕτω λέγων (16)· Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Οὐκοῦν διὰ τὴν δεδομένην ἡμῖν τοῦ Πνεύματος χάριν ἡμεῖς τε ἐν αὐτῷ γινόμεθα, καὶ αὐτὸς ἐν ἡμῖν· καὶ ἐπειδὴ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι, διὰ τούτου γινομένου ἐν ἡμῖν εἰκότως καὶ ἡμεῖς, ἔχοντες τὸ Πνεῦμα, νομιζόμεθα ἐν τῷ Θεῷ γενέσθαι (17)· καὶ οὕτως ἐστὶν ὁ Θεὸς ἐν ἡμῖν. Οὐκ ἄρα ὡς ἔστιν ὁ Υἱὸς ἐν τῷ Πατρὶ, οὕτω καὶ ἡμεῖς γινόμεθα ἐν τῷ Πατρὶ (18)· οὐ γὰρ καὶ ὁ Υἱὸς μετέχων ἐστὶ τοῦ Πνεύματος, ἵνα διὰ τοῦτο καὶ ἐν τῷ Πατρὶ γένηται· οὐδὲ λαμβάνων ἐστὶ τὸ (19) Πνεῦμα, ἀλλὰ μᾶλλον αὐτὸς τοῖς πᾶσι τοῦτο χορηγεῖ· καὶ οὐ τὸ Πνεῦμα τὸν Λόγον συνάπτει τῷ Πατρὶ, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα παρὰ τοῦ Λόγου λαμβάνει. Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ Πατρὶ ἐστιν, ὡς Λόγος ἴδιος καὶ ἀπαύγασμα αὐτοῦ· ἡμεῖς δὲ χωρὶς μὲν τοῦ Πνεύματος ξένοι καὶ μακρὰν ἐσμεν τοῦ Θεοῦ· τῇ δὲ τοῦ Πνεύματος μετοχῇ συναπτόμεθα τῇ θεότητι· ὥστε τὸ εἶναι ἡμᾶς ἐν τῷ Πατρὶ μὴ ἡμέτερον εἶναι, ἀλλὰ τοῦ Πνεύματος τοῦ ἐν ἡμῖν ὄντος καὶ ἐν ἡμῖν μένοντος, ἕως αὐτὸ τῇ ὁμολογίᾳ φυλάττομεν ἐν ἡμῖν, λέγοντος πάλιν (20) τοῦ Ἰωάννου· Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Ποία τοίνυν (21) ὁμοιότης καὶ ποία ἰσότης ἡμῶν πρὸς τὸν Υἱόν; Ἢ πῶς οὐκ ἐλέγχονται πανταχόθεν οἱ Ἀρειανοὶ, καὶ μάλιστα παρὰ τοῦ Ἰωάννου, ὅτι ἄλλως μὲν ὁ Υἱός ἐστιν ἐν τῷ Πατρὶ, ἄλλως δὲ ἡμεῖς ἐν αὐτῷ γινόμεθα· καὶ οὔτε ἡμεῖς ὡς ἐκεῖνος ἐσόμεθά ποτε, οὔτε ὁ Λόγος ὡς ἡμεῖς τυγχάνει ὤν, εἰ μὴ ἄρα τολμήσουσιν, ὡς ἐν πᾶσι, καὶ νῦν εἰπεῖν (22),

A

B

C

24. Nos itaque, quatenus allata Scripturæ verba, licuit simplicius perpendere, hæc fuse disseruimus. Beatus autem Joannes breviter et longe nobis accuratius quæ sit illius loci sententia, ex Epistola sua declaraturus est, qua et pravam impiorum interpretationem refutabit, et simul docebit, quomodo nos in Deo esse possumus, et Deus in nobis: quo item pacto nos unum in ipso efficimur, et quantum Filius natura a nobis differat: tandemque Arianos coercebit, quominus amplius sperent se ut Filium futuros aliquando esse, ne ipsos quoque hæc verba respiciant: *Tu autem homo es et non Deus* [32]; et, *Ne tu, qui pauper es, te diviti æquaveris* [33]. Hæc sunt ergo quæ scribit Joannes: *In hoc cognoscimus quoniam in eo manemus, et ipse in nobis: quoniam de Spiritu suo dedit nobis* [34]. Itaque propter Spiritus gratiam, quæ nobia data est, et nos in illo sumus, et ille est in nobis: ac proinde cum Dei ille Spiritus sit, idcirco quando ille in nobis adest, nos, qui eumdem Spiritum habemus, jure merito in Deo esse existimamur: eaque ratione Deus est in nobis. Non igitur ut est Filius in Patre, ita et nos in Patre sumus. Namque Filius non fit Spiritus particeps ut sit in Patre, neque ipse Spiritum accipit, sed eum potius omnibus impertit. Nec item Spiritus Verbum cum Patre conjungit, sed potius Spiritus hoc a Verbo accipit. Denique Filius in Patre [455 est tanquam proprium ejus Verbum et splendor: nos autem, siquidem absit Spiritus, alieni et procul a Deo sumus; sed Spiritus participes effecti, cum ipsa conjungimur divinitate, ac proinde non nostrum est nos esse in Patre, sed Spiritus qui in nobis est et in nobis manet, quandiu scilicet eum in nobis confessione servabimus, ut idem Joannes his verbis docet: *Quisquis confessus fuerit Jesum esse Filium Dei, Deus in eo manet, et ipse in Deo* [35] Quæ ergo nobis similitudo vel æqualitas est cum Filio? Vel potius, annon undique maximeque a Joanne convincuntur Ariani, aliter Filium in Patre esse, et aliter nos in eodem esse, neque nos unquam sicut illum futuros, neque Verbum sicut nos esse, nisi forte, ut mos illis est, hic quoque temere contendant etiam Filium ipsum, nonnisi Spiritus participem effectum et recte factis meruisse ut in Patre esset, quod certe vel solum cogitari absque summa impietate non potest.

[32] Ezech. XXVIII, 2. [33] Prov. XXIII, 4. [34] I Joan. IV, 13. [35] ibid. 15.

(13) Gobler et Felc. 1, ὁ δὲ ἀπόστολος Ἰωάννης.

(14) Sic uterque Regius et Seguerian. At Basil. Gobl. Felc. 1 et 5, διδάξει δὲ πῶς ἡμεῖς. Cæteri et editio Commel., διδάξει τε πῶς ἡμεῖς. Mox Reg. 1 et Seguer. ἡμεῖς μὲν ἐν αὐτῷ. In aliis et editis μέν deest.

(15) Basil., κατὰ φύσιν. Anglic., τῇ φύσει.

(17) Gobler. et Felc. 1, τοίνυν Ἰωάννης λέγων.

(17) Reg. 1, Seguer. Gobler. et Felc. 1, γεγενῆσθαι.

(18) Sic Reg. 1, Seguerian. Anglican. Gobler. et Felc. 1, atque ita legit Nannius. At in aliis et editione Commel. hæc desunt verba, οὕτω καὶ ἡμεῖς γινόμεθα ἐν τῷ Πατρί.

D

(19) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At alii et editi τό omittunt. Ibid. hæc quæ sequuntur verba, ἀλλὰ μᾶλλον αὐτὸς τοῖς πᾶσι τοῦτο χορηγεῖ, καὶ οὐ τὸ Πνεῦμα συνάπτει τὸν Λόγον τῷ Πατρί, desunt in Gobler. et Felc. 1. Ibidem Reg. 2, Felc. 5, et Anglic., παρὰ τοῦ Λόγου τοῦτο λαμβάνει. In aliis et editis deest τοῦτο.

(20) Regius primus et Seguer., λέγοντος πάλιν. Cæteri et editi, λέγοντος δὲ πάλιν.

(21) Sic Reg. 1 et Seguer. In aliis et editis deest τοίνυν. Mox Reg. 1 et Seguer., ἐλέγχονται πάντοθεν.

(22) Sic Reg. 1 et Seguer. At Gobler. et Felc. 1 τολμῶσι ἐν πᾶσι καὶ νῦν εἰπεῖν. Cæteri et editio Commel., τολμῶσιν ἐν πᾶσι καὶ νῦν εἰς τὸ εἰπεῖν.

Namque, ut dictum est, ipse dat Spiritui, et quæcunque Spiritus habet, hæc a Verbo habet. τοῦτο πάλιν ὑπερλίαν ἐστὶν ἀσεβὲς κἂν ὅλως εἰς ἐνθύμησιν λαβεῖν. Λύτὸς γὰρ, ὥσπερ εἴρηται, τῷ Πνεύματι (24) δίδωσι, καὶ ὅσα ἔχει τὸ Πνεῦμα παρὰ τοῦ Λόγου ἔχει.

A ὅτι καὶ ὁ Υἱὸς μετοχῇ τοῦ Πνεύματος καὶ βελτιώσει πράξεως γέγονε καὶ αὐτὸς ἐν τῷ Πατρί. Ἀλλὰ καὶ

3g. Cum igitur de nobis dixit Salvator, *Sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint* [36], non nos eosdem ac seipsum fore significavit, ut ex Joræ exemplo probavimus : sed est postulatio qua Patrem precatur, uti scribit Joannes, ut Spiritum per se impertiat credentibus, per quem videmur et in Deo esse, et per eumdem in ipso conjungi. Quia enim Verbum est in Patre, et Spiritus ex Verbo datur, nos idcirco Spiritum cupit accipere, ut cum eum acceperimus, tunc Spiritum Verbi in Patre exsistentis habentes, etiam nos ipsi per B Spiritum, unum in Verbo et per Verbum in Patre effecti esse videamur. Id autem quod ait, *ut nos*, nihil aliud indicat quam, ut hujusmodi Spiritus gratia in discipulos infusa, stabilis et irrevocabilis reddatur. Nempe, ut supra explicavi, id quod Verbo in Patre natura inest, hoc nobis per Spiritum ita vult dari ut sit irrevocabile. Quod cum non ignoraret Apostolus, ait: *Quis nos separabit a charitate Christi* [37]? *Nam Dei dona et gratia vocationis* (23) *irrevocabilia sunt* [38]. Itaque Spiritus est qui in Deo exsistit, non autem nos secundum nos. Unde quemadmodum filii et dii efficimur ob Verbum quod in nobis habemus : ita in Filio et in Patre erimus, unumque in iisdem effecti esse existimabimur, propterea quod in nobis sit Spiritus qui in Verbo C est, quod ipsum Verbum est in Patre. Quocirca cum aliquis vitio aliquo a Spiritu defecerit, illa quidem gratia apud eos qui voluerint irrevocabilis permanet, si modo ipsos, postquam ceciderint, pœniteat : verumtamen illo qui cecidit, non amplius in Deo est, eo quod sanctus et paracletus Spiritus, qui in Deo est, ab ipso recesserit ; sed hujusmodi peccator in Illo erit cui sese ipse subjecit, quod utique Sauli venit, a quo nimirum discessit Dei Spiritus, quemque malus spiritus vexavit [39]. Profecto his auditis erubescere deberent Dei hostes, nec se amplius Deo æquales fingere. Verum nec intelligunt ; nam, *Impius*, **456** inquit, *scientiam non intelli-*

25. Οὐκοῦν ὁ Σωτὴρ λέγων περὶ ἡμῶν τὸ, Καθὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, οὐ τὴν ταυτότητα ἡμᾶς αὐτῷ μέλλοντας (25) ἔχειν σημαίνει· ἐδείχθη γὰρ ἐκ τοῦ κατὰ τὸν Ἰωνᾶν παραδείγματος καὶ τοῦτο· ἀλλὰ ἀξίωσις ἐστι πρὸς τὸν Πατέρα, ὡς ὁ Ἰωάννης ἔγραψεν (26), ἵνα τὸ Πνεῦμα χαρίσηται δι' αὐτοῦ τοῖς πιστεύουσι, δι' οὗ καὶ δοκοῦμεν ἐν τῷ Θεῷ γίνεσθαι, καὶ κατὰ τοῦτο συνάπτεσθαι ἐν αὐτῷ. Ἐπειδὴ γὰρ ὁ Λόγος ἐστὶν ἐν τῷ Πατρὶ, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Λόγου (27) δίδοται, θέλει λαβεῖν ἡμᾶς τὸ Πνεῦμα, ἵνα, ὅταν ἐκεῖνο λάβωμεν, τότε ἔχοντες τὸ Πνεῦμα τοῦ Λόγου τοῦ ὄντος ἐν τῷ Πατρὶ, δόξωμεν καὶ ἡμεῖς διὰ τὸ Πνεῦμα ἓν γίνεσθαι (28) ἐν τῷ Λόγῳ, καὶ δι' αὐτοῦ τῷ Πατρί. Τὸ δὲ, ὡς ἡμεῖς, ἐὰν λέγῃ, οὐδὲν ἕτερον πάλιν ἐστὶν, ἢ ἵνα ἡ γινομένη τοιαύτη τοῦ Πνεύματος χάρις εἰς τοὺς μαθητὰς ἀδιάπτωτος καὶ ἀμεταμέλητος (29) γένηται. Τὸ γὰρ κατὰ φύσιν, ὡς προεῖπον, ὑπάρχον τῷ Λόγῳ ἐν τῷ Πατρὶ, τοῦτο ἡμῖν ἀμεταμελήτως διὰ τοῦ Πνεύματος δοθῆναι βούλεται· ὅπερ ὁ Ἀπόστολος γιγνώσκων, ἔλεγε· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ ; Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ καὶ ἡ χάρις τῆς κλήσεως. Τὸ ἄρα Πνεῦμά ἐστι (30) τὸ ἐν τῷ Θεῷ τυγχάνον, καὶ οὐχ ἡμεῖς καθ' ἑαυτούς· καὶ ὥσπερ υἱοὶ καὶ θεοὶ διὰ τὸν ἐν ἡμῖν Λόγον, οὕτως ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ ἐσόμεθα, καὶ νομισθησόμεθα ἐν Υἱῷ καὶ ἐν Πατρὶ (31) ἐν γεγενῆσθαι διὰ τὸ ἐν ἡμῖν εἶναι Πνεῦμα, ὅπερ ἐστὶν ἐν τῷ Λόγῳ τῷ ὄντι ἐν τῷ Πατρί. Ὅτε γοῦν ἐκπίπτει τις ἀπὸ τοῦ Πνεύματος διά τινα κακίαν, ἡ μὲν χάρις ἀμεταμέλητος διαμένει (32) τοῖς βουλομένοις, κἂν τις ἐκπεσὼν μετανοῇ· οὐκέτι δὲ ἐν τῷ Θεῷ ἐστιν ἐκεῖνος ὁ πεσὼν, διὰ τὸ ἀποστῆναι ἀπ' αὐτοῦ τὸ ἐν τῷ Θεῷ ἅγιον καὶ παράκλητον Πνεῦμα, ἀλλ' ἐν ἐκείνῳ (33) ἔσται ᾧ ἑαυτὸν ὑπέταζεν ὁ ἁμαρτάνων, ὡς ἐπὶ τοῦ Σαοὺλ γέγονεν· ἀπέστη γὰρ ἀπ' αὐτοῦ τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ ἔβλιβεν αὐτὸν πνεῦμα πονηρόν. Ταῦτα ἀκούοντας τοὺς θεομάχους ἔδει λοιπὸν ἐντρέπεσθαι, καὶ μηκέτι ἑαυτοὺς ἀναπλάπτειν

[36] Joan. XVIII, 21. [37] Rom. VIII, 35. [38] Rom. XI, 23. [39]. I Reg. XVI, 14.

(23) Ita commode vertimus. Vulgata habet, *Sine pœnitentia enim sunt dona et vocatio Dei*, id est, Ejusmodi sunt, ut Deum non pœniteat illa dedisse, nec ea revocet, quod idem omnino est.

(24) Reg. 1, Seguer. Gobler. et Felc. 1, τῷ Πνεύματι. Alii et editi, τὸ Πνεῦμα.

(25) Sic Regius primus Seguerian. Goblerian. et Felc. 1. Alii et editio Commel., οὐ τὴν ταυτότητα ἡμᾶς μένοντας (mss. μέλλοντας) ἐν αὐτῷ ἔχειν σημαίνει. Mox Reg. 1 et Seguer., ἐκ τοῦ κατὰ τὸν Ἰωνᾶν. Alii et editi τὸν omittunt.

(26) Gobler. et Felc. 1, φησίν.

(27) Felc. 5, διὰ τοῦ Λόγου. Cæteri et editi, ἐκ τοῦ Λόγου.

(28) Regius primus et Seguer., γεγενῆσθαι. Iidem paulo post et alter Regius, ἢ ἵνα ἡ γινομένη. In aliis et editis deest ἢ. Ibidem Basil. et Felc. 5, γενομένη.

(29) Basiliensis hic et mox, ἀμεταβλήτως.

(30) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At alii et editio Commel., Τὸ γὰρ Πνεῦμα ἐστι.

(31) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1, ut et legit Nannius. In aliis et editis desunt hæc verba, ἐν Υἱῷ καὶ ἐν Πατρί. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, εἶναι Πνεῦμα· Basil. Anglic. Reg. 2 et Felc. 5, εἶναι τὸ Πνεῦμα. Cæteri et editi, εἶναι καὶ Πνεῦμα.

(32) Reg. 1 et Seguer., διαμένει. Alii et editi, μένει.

(33) Reg. 1 et Seguer., ἀλλ' ἐκείνῳ.

ἴσα Θεῷ. Οὔτε δὲ νοοῦσιν. Ὁ γὰρ ἀσεβὴς, φησιν, οὐ νοεῖ (34) γνῶσιν· οὔτε λόγων εὐσεβῶν ἀνέχονται· βαρεῖς γὰρ αὐτοῖς εἰσι καὶ λεγόμενοι.

(23) Basiliensis, προκόψειν. Regius primus prima manu, προκόψῃ, sed secunda, προκόψει, ut cæteri et editi. Mox Regius primus et Seguer., ἑαυτοῦ βαθμόν. Reg. 2, αὐτῶν βαθμον. Editi et alii, αὐτοῦ βαθμόν.

(24) Sic Regius primus, Seguer. Gobler. et Felc. 1. At alii et editi, οὐκ εἶχεν, ἐπεὶ τέλειος. Ibid. Reg. 2, Basil. et Felc. 5, ἦν ἐν τῷ Πατρί. Editi atque alii, ὢν ἐν τῷ Πατρί.

(25) Ὢν deletum est in Reg. 1.

(26) Sic Regius primus et Seguer. In aliis et editis τό deest. Mox Reg. 1 et Seguer., Καὶ γὰρ ὁ εὐαγγελιστής.

κόπτειν· ἐπεὶ καὶ τῶν ἀνθρώπων ἐστὶ πάλιν ἡ προκοπή. Καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς οὕτω μετὰ ἀκριβοῦς τῆς παρατηρήσεως λέγων, τῇ προκοπῇ συνῆψε τὴν ἡλικίαν· Λόγος δὲ καὶ Θεὸς ἡλικίᾳ οὐ μετρεῖται (27), ἀλλὰ τῶν σωμάτων εἰσὶν αἱ ἡλικίαι. Τοῦ σώματος ἄρα ἐστὶν ἡ προκοπή· αὐτοῦ γὰρ προκόπτοντος, προέκοπτεν ἐν αὐτῷ καὶ ἡ φανέρωσις τῆς θεότητος τοῖς ὁρῶσιν· ὅσῳ δὲ ἡ θεότης ἀπεκαλύπτετο, τοσούτῳ πλεῖον ἡ χάρις ηὔξανεν ὡς ἀνθρώπου (28) παρὰ πᾶσιν ἀνθρώποις. Παιδίον μὲν γὰρ ἐβαστάζετο παῖς δὲ γενόμενος, ἀπέμενεν ἐν τῷ ἱερῷ, καὶ τοὺς ἱερεὰς ἀνέκρινε περὶ τοῦ νόμου· κατ' ὀλίγον δὲ τοῦ σώματος αὐξάνοντος, καὶ τοῦ Λόγου φανεροῦντος ἑαυτὸν ἐν αὐτῷ (29), ὁμολογεῖται λοιπὸν παρὰ μὲν Πέτρου πρῶτον, εἶτα καὶ παρὰ πάντων, ὅτι ἀληθῶς Υἱὸς Θεοῦ ἐστιν οὗτος· εἰ καὶ Ἰουδαῖοι οἵ τε παλαιοὶ καὶ οἱ νέοι οὗτοι (30) θέλοντες καμμύουσι τοὺς ὀφθαλμοὺς, ἵνα μὴ βλέπωσιν, ὅτι τὸ, ἐν σοφίᾳ προκόπτειν, οὐκ ἔστι τὴν Σοφίαν αὐτὴν προκόπτειν, ἀλλὰ τὸ ἀνθρώπινον μᾶλλον ἐν αὐτῇ προκόπτειν (31). Καὶ Ἰησοῦς γὰρ προέκοπτε σοφίᾳ καὶ χάριτι· εἰ χρὴ δὲ καὶ πιθανῶς μετὰ τοῦ ἀληθοῦς εἰπεῖν, αὐτὸς ἐν ἑαυτῷ προέκοπτε. Ἡ Σοφία γὰρ ᾠκοδόμησεν ἑαυτῇ οἶκον (32), καὶ ἐν ἑαυτῇ τὸν οἶκον προκόπτειν ἐποίει.

A admodum evangelista ætatem cum progressione conjunxit : siquidem nulla est Verbi et Dei ætas, sed ætates ad corpora pertinent. Ad corpus igitur spectat hujusmodi progressus : eo enim proficiente, in ipso pariter cernentium oculis proficiebat patefactio divinitatis. Quanto porro manifestius divinitas se explicabat, tanto magis apud omnes homines gratia ejus tanquam hominis crescebat. Nam infans quidem gestabatur ; puer autem factus remansit in templo, ipsosque sacerdotes de lege interrogavit. Sensim autem 477 crescente corpore, et Verbo se ipsum in eo patefaciente, primo Petrus, deindeque alii eum vere Filium Dei esse confitentur, quantumvis Judæi cum veteres tum novi isti ultro claudant oculos, ne videant quod hic, in sapientia proficere, non significet ipsam Sapientiam proficere, B sed humanam tantum naturam in ea proficere. Siquidem *Jesus proficiebat sapientia et gratia* [61] ; vel potius, ut apposite simul et vere loquamur, ipse in seipso proficiebat. Nam *Sapientia ædificavit sibi domum* [62], fecitque ut domus in seipsa proficeret.

53. Τίς δέ ἐστιν ἡ λεγομένη προκοπὴ ἤ, καθὰ προεῖπον, ἡ (33) παρὰ τῆς Σοφίας μεταδιδομένη τοῖς ἀνθρώποις θεοποίησις καὶ χάρις, ἐξαφανιζομένης ἐν αὐτοῖς τῆς ἁμαρτίας καὶ τῆς ἐν αὐτοῖς φθορᾶς κατὰ τὴν ὁμοιότητα καὶ συγγένειαν τῆς σαρκὸς τοῦ Λόγου ; Οὕτω γὰρ αὐξάνοντος ἐν ἡλικίᾳ τοῦ σώματος, συνεπεδίδοτο ἐν αὐτῷ καὶ ἡ τῆς (34) θεότητος φανέρωσις, καὶ ἐδείκνυτο παρὰ πᾶσιν, ὅτι ναὸς Θεοῦ ἐστι, καὶ Θεὸς ἦν ἐν τῷ σώματι. Ἐὰν δὲ φιλονεικῶσιν, ὅτι Ἰησοῦς ἐκλήθη ὁ Λόγος γενόμενος σὰρξ, καὶ εἰς αὐτὸν ἀναφέρουσι (35) τὸ λεγόμενον, προέκοπτεν· ἀκουέτωσαν, ὅτι οὐδὲ τοῦτο μὲν ἑαυτοῦ τὸ πατρικὸν φῶς· τοῦτο γάρ ἐστιν ὁ Υἱός· δείκνυσι δὲ πάλιν, ὅτι (36) γέγονεν ἄνθρωπος ὁ Λόγος, καὶ ἀληθινὴν **ἐφόρεσε σάρκα.** Καὶ ὥσπερ **εἴπομεν,** ὅτι **σαρκὶ πέπονθε,** καὶ (37) **σαρκὶ ἐπεῖνα,** καὶ σαρκὶ **ἐκοπίασεν**· οὕτω καὶ εἰκότως ἂν λέγοιτο, ὅτι σαρκὶ προέκοπτεν. Οὐδὲν γὰρ οὐδὲ ἔξωθεν ὄντος τοῦ Λόγου ἐγίνετο ἡ προκοπὴ, οἷα ἐστὶν,

53. Cæterum quænam illa est progressio, quam, uti supra dixi, gratia et divinitas hominibus a Sapientia impertita, destructo in illis peccato et corruptione, propter ipsorum cum carne Verbi similitudinem et cognationem ? Ita enim corpore ætate crescente, in illo quoque crescebat major divinitatis explicatio, omnibusque ostendebatur templum Dei ipsum esse, et Deum esse in corpore. Quod si rixari velint in eo quod *Verbum caro factum* [63] C Jesus sit appellatus, ad eumque illud dictum, *proficiebat*, referant : audiant neque ea re imminui paternam lucem, quæ Filius ipse est. Verum id rursus ostendit Verbum hominem esse factum, veramque carnem habuisse. Unde, quemadmodum diximus eum carne passum esse, carne esuriisse, carne defatigatum esse : ita, et merito quidem, affirmare licet eum carne profecisse. Neque enim illa, qualemcumque diximus, progressio fiebat, qua-

[61] Luc. II, 52. [62] Prov. IX, 1. [63] Joan. I, 14.

(27) Regius primus, Seguer. Gobler. et Felc. 1, μετρεῖται Editi aliique, μεμέτρηται.

(28) Sic uterque Regius, Seguer. Gobler. Felc. 1 et 5. At alii et editio Commel., ἀνθρώπῳ.

(29) Reg. 1, Seguer. Gobler. et Felc 1, ἑαυτὸν ἐν D αὐτῷ. Felc. 5, ἑαυτὸν αὐτὸν. Cæteri et editi, ἑαυτόν ἑαυτῷ.

(30) Reg. 1, et Seguer., καὶ οἱ νέοι οὗτοι. Gobler. et Felc. 1. καὶ νέοι οὗτοι. Alii et editi, καὶ νέοι οὕτω. Paulo post Reg. 1, ὅτι ἐν σοφίᾳ προκόπτειν. Mox idem et Seguer., τὴν Σοφίαν αὐτὴν προκόπτειν. In aliis et editis deest, αὐτήν.

(31) Regius primus, Seguer.Gobler.et Felc.1,προκόπτειν. Alii et editi, προκόπτει. Ibid. Reg. 1, Seguerian. Gobler. et Felc. 1, Καὶ Ἰησοῦς γὰρ προέκοπτε σοφίᾳ. Editi, Καὶ γὰρ Ἰησοῦς προέκοπτεν ἐν σοφίᾳ.

(32) Goblerian. et Felc. 1, ἐν αὐτῇ. Iidem ibidem et Reg. ac Seguerian., καὶ ἐν ἑαυτῇ. Alii et editi, καὶ ἐν αὐτῇ.

(33) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At alii et editio Commel., προκοπὴ, καθὰ προεῖπον, ἡ, etc.

(24) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At alii et editio Commel., συνεπιδίδοται ἐν αὐτῷ ἡ τῆς.

(35) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1, ut et legit Nannius. Cæteri vero et editi, Ἰησοῦς ἐκλήθη σὰρξ γενόμενος, καὶ εἰς αὐτὸν ἀναφέρουσιν. Basiliensis habet, ὅτι ὁ Ἰησοῦς.

(36) Sic mss. In editione autem Commel. deest ὅτι. Mox Reg. 1, Seguerian. Gobler. et Felc.1, ἐφόρεσε σάρκα. Alii et editio Commel., ἐφόρει σάρκα.

(37) Uterque Regius, Seguerian. Gobler. et Felc. 1, addunt, καί. quod in aliis et editis deest.Ibidem Reg. 1, et Seguerian., ἐπείνασε, et ἐκοπία. Item iidem et Goblerian. ac Felc. 1, καὶ τοῦτο εἰκότως ἂν λέγοιτο, σαρκὶ προέκοπτεν. Ibidem uterque Regius, Seguer. et Basil., Οὐδὲ γὰρ οὐδὲ ἔξωθεν. Gobler. Felc. 1 et 5, Οὐδὲ γὰρ ἔξωθεν. Editio Commel. Οὐ γὰρ οὐδὲ ἔξωθεν.

si Verbum extrinsecus exsisteret : sed in illo erat et ejus dicitur caro proficiens, ut scilicet hominum progressus, propter ipsorum cum Verbo societatem, stabilis posset perseverare. Nec ergo Verbum proficiebat, nec caro erat Sapientia, sed caro facta est Sapientiæ corpus. Quocirca, uti docuimus, non Sapientia, quatenus est Sapientia, ipsa per seipsam proficiebat ; sed sola humanitas in Sapientia proficiebat, humanam paulatim transcendens naturam, divina reddita, ipsiusque Sapientiæ facta et omnibus apparens instrumentum, quo ad agendum et elucendum ipsa uteretur Divinitas. Hinc nequaquam dixit, Verbum proficiebat, sed, Jesus, quod quidem nomen Dominus factus homo accepit ; ita ut ad humanam naturam progressus ille pertineat, eo quo supra explicavimus modo.

A ἦν εἰρήκαμεν. Ἐν αὐτῷ γὰρ ἦν ἡ σὰρξ ἡ προκόπτουσα καὶ αὐτοῦ λέγεται· καὶ τοῦτο ἵνα πάλιν ἡ τῶν ἀνθρώπων προκοπὴ ἄπτωτος διὰ τὸν συνόντα Λόγον διαμείνῃ. Οὔτ' οὖν τοῦ Λόγου ἡ προκοπή, οὔτε ἡ σὰρξ ἦν ἡ Σοφία, ἀλλὰ τῆς Σοφίας σῶμα γέγονεν ἡ σάρξ. Διὰ τοῦτο, ὡς προείπομεν (38), οὐχ ἡ Σοφία, ἥ Σοφία ἐστὶν, αὐτὴ καθ' ἑαυτὴν προέκοπτεν· ἀλλὰ τὸ ἀνθρώπινον ἐν τῇ Σοφίᾳ προέκοπτεν, ὑπεραναβαῖνον κατ' ὀλίγον τὴν (39) ἀνθρωπίνην φύσιν, καὶ θεοποιούμενον, καὶ ὄργανον αὐτῆς πρὸς τὴν ἐνέργειαν τῆς Θεότητος καὶ τὴν ἔκλαμψιν αὐτῆς γινόμενον καὶ φαινόμενον πᾶσι. Διὸ οὐδὲ εἶπεν, Ὁ Λόγος προέκοπτεν, ἀλλ', Ὁ Ἰησοῦς (40), ὅπερ ὅμοια γενόμενος ἄνθρωπος ὁ Κύριος ἐκλήθη· ὡς εἶναι τῆς ἀνθρωπίνης φύσεως τὴν προκοπὴν οὕτως ὡς (41) ἐν τοῖς ἔμπροσθεν εἴπομεν.

54. Itaque quemadmodum, carne proficiente, ipse proficere dicitur ob suam cum corpore conjunctionem : ita quæ illi tempore mortis accidisse legimus, ut turbari, flere, eadem ratione interpretari oportet. Enimvero illi in omnes sese vertunt partes, suamque hæresim ex his veluti commendantes ac confirmantes, hisce nos verbis adoriuntur. Ecce, inquiunt, flevit et dixit : *Nunc anima mea turbata est* [64] : rogavit item ut calix transiret [65] : qui ergo fieri potest ut is, qui hæc **478** dixit, Deus sit et Verbum Patris ? Ita sane, o Dei hostes, scriptum est eum flevisse, et dixisse, Turbatus sum, illa quoque verba in cruce pronuntiasse, *Eloi, Eloi, lamma sabacthani*, id est, *Deus meus, Deus meus, quare dereliquisti me* [66] ? Rogavit etiam ut transiret calix : namque hæc fatemur scripta esse. Verum vos similiter velim vicissim respondere : necesse enim est idem ad singula quæ objicitis retorquere. Si purus homo est qui loquitur, lacrymetur utique et mortem reformidet, ut homo. Sed si Verbum est in carne (nam eadem semper dicere, grave esse minime debet), quem ille qui Deus est timere potuit ? Vel quare ille, qui vita est et alios ex morte eripit, mortem ipse pertimesceret ? Vel qui fieri potuit ut is qui aiebat, *Nolite timere eum qui occidit corpus* [67], timore ipse corriperetur ?

B 54. Οὐκοῦν ὥσπερ, προκοπτούσης τῆς σαρκὸς, λέγεται αὐτὸς προκόπτειν διὰ τὴν πρὸς τὸ σῶμα ἰδιότητα· οὕτω καὶ τὰ περὶ τὸν καιρὸν τοῦ θανάτου λεγόμενα, τὸ ταραχθῆναι, τὸ κλαῦσαι, χρὴ λαμβάνειν τῇ αὐτῇ διανοίᾳ. Ἄνω γάρ καὶ κάτω περιιόντες, καὶ ὥσπερ ἐκ τούτων τὴν αἵρεσιν πάλιν συνιστῶντες (42), φάσκουσιν· Ἰδοὺ ἔκλαυσε καὶ εἶπε· Νῦν ἡ ψυχή μου τετάρακται· καὶ παρεκάλεσε παρελθεῖν τὸ ποτήριον· πῶς οὖν, εἰ ταῦτα εἴρηκε, Θεός ἐστι καὶ Λόγος τοῦ Πατρός ; Ναὶ γέγραπται (43), ὅτι ἔκλαυσεν, ὦ Θεομάχοι, καὶ ὅτι εἶπεν, Ἐταράχθην, καὶ ἐπὶ τοῦ σταυροῦ εἶπεν, Ἐλωΐ, Ἐλωΐ λιμασαβαχθανί, ὅ ἐστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες ; Καὶ παρεκάλεσε δὲ τοῦ παρελθεῖν (44) τὸ ποτήριον· γέγραπται γὰρ ταῦτα. Ἀλλ' ἠβουλόμην πάλιν ὑμᾶς C ἀποκρίνασθαι· τὸ αὐτὸ (45) γὰρ ἑφ' ἑκάστου τῶν παρ' ὑμῶν προτεινομένων ἀντικρούειν ἀνάγκη. Εἰ μὲν ἄνθρωπος ψιλός ἐστιν ὁ λαλῶν, κλαιέτω καὶ φοβείσθω τὸν θάνατον, ὡς ἄνθρωπος· εἰ δὲ Λόγος ἐστὶν ἐν σαρκὶ (τὰ αὐτὰ γὰρ λέγειν ἀεὶ οὐκ ὀκνητέον), τίνα Θεὸς ὢν εἶχε (46) φοβεῖσθαι ; Ἢ διὰ τί τὸν θάνατον ἐφοβεῖτο ζωὴ ὢν αὐτὸς, καὶ ἄλλους ἐκ τοῦ θανάτου ῥυόμενος ; Ἢ πως λέγων, Μὴ φοβεῖσθε (47) τὸν ἀποκτείνοντα τὸ σῶμα, αὐτὸς ἐφοβεῖτο ; Πῶς δὲ ὁ τῷ Ἀβραὰμ λέγων, Μὴ φοβοῦ, ὅτι (48) μετὰ σοῦ εἰμι· καὶ τὸν Μωσῆν παραθαρσύνων κατὰ τοῦ Φα-

[64] Joan. XII, 27. [65] Matth. XXVI. 39. [66] Marc. XV, 34. [67] Matth. X, 28 ; Luc. XII, 4.

(38) Regius primus et Seguerian., Διὰ τοῦθ' ὡς προεῖπον.

(39) Sic uterque Regius, Seguer. Basiliensis, Anglic. Gobler. et Felc. 1. At in aliis et editis deest τήν. Mox, post ὄργανον αὐτῆς, Regius primus et Seguerian. omittunt γινόμενον, quod hic alii et editi habent, sed infra transponunt post ἔκλαμψιν αὐτῆς, iidemque habent, καὶ φαινόμενον πᾶσι, ubi alii et editi, φαῖνον ἐν πᾶσι.

(40) Sic primus codex Regius, Gobler. et Felc. 1. At cæteri et editi, ἀλλὰ Ἰησοῦς.

(41) Regius primus et Seguerian., ὥσπερ καὶ ἐν. Gobler. et Felc. 1, ὥσπερ ἐν. Alii et editi, ὡς ἐν.

(42) Regius primus, συνιστάντες.

(43) Gobler. et Felc. 1, ναὶ omittunt. Regius secundus et Basil. habent, καὶ γέγραπται. Mox Gobler. et Felc. 1, καὶ ὅτι ἐταράχθη, καὶ, Θεέ μου, etc. omissis intermediis. Ibidem, Regius primus et Seguer., καὶ τὰ ἐπὶ τοῦ σταυροῦ. . . . . λειμὰ σαβαχθανί. Iidem ibidem Regius secundus, Basil. et Anglic., ἐγκατέλιπες. Cæteri et editi, κατέλιπες.

(44) Regius primus et Seguer. τοῦ omittunt. At Gobler. et Felc. primus, sic habent, καὶ παρελθέτω τὸ ποτήριον τοῦτο· γέγραπται.

(45) Regius primus et Seguer., τὸ αὐτό. Alii et editi τοῦτο.

(46) Regius primus et Seguer., Θεὸς ὢν εἶχε. In aliis et editis ὢν deest.

(47) Uterque Regius et Seguer., μὴ φοβεῖσθαι. Mox primus codex Regius et Seguer., Πῶς δὲ ὁ τῷ Ἀβραάμ. Alii et editi, ὁ omittunt.

(48) Seguer. addit ὅτι, quod in aliis et editis deest. Genes. XXVI, 24, habetur, Μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι. Ibidem Regius primus et Seguer., καὶ τὸν Μωσῆν ὅ τε. In Reg. tamen τε deletum est, et ὁ relictum.

ραὼ, καὶ τῷ τοῦ Ναυῆ (49) λέγων, Ἴσχυε καὶ ἀνδρίζου, αὐτὸς ἐδειλία τὸν Ἡρώδην καὶ τὸν Πιλᾶτον (50); Εἶτα, ἄλλοις γινόμενος βοηθὸς εἰς τὸ μὴ φοβεῖσθαι (Κύριος γὰρ, φησὶν, ἐμοὶ βοηθός· οὐ φοβηθήσομαι (51) τί ποιήσει μοι ἄνθρωπος), αὐτὸς ἡγεμόνας θνητοὺς ἀνθρώπους ἐφοβεῖτο; αὐτὸς (52) ἐλθὼν κατὰ τοῦ θανάτου, ἐδειλία τὸν θάνατον; Πῶς δὲ οὐκ ἄτοπον καὶ δυσσεβὲς, λέγειν τοῦτον δειλιᾷν τὸν θάνατον ἢ (53) τὸν ᾅδην, ὃν οἱ πυλωροὶ τοῦ ᾅδου βλέποντες ἔπτηξαν; Εἰ δὲ καθ' ὑμᾶς ἐδειλία ὁ Λόγος, διὰ τί πρὸ πολλοῦ λέγων περὶ τῆς ἐπιβουλῆς τῶν Ἰουδαίων οὐκ ἔφευγεν (54), ἀλλὰ καὶ ζητούμενος ἔλεγεν· Ἐγώ εἰμι; Καὶ γὰρ ἠδύνατο μὴ ἀποθανεῖν, ὡς ἔλεγεν· Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου· καὶ ἐξουσίαν ἔχω πάλιν (55) λαβεῖν αὐτήν· καὶ, Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ.

55. Ἀλλ' οὐκ ἦν ἴδια φύσει τοῦ Λόγου ταῦτα, ἦ Λόγος ἦν· ἐν δὲ τῇ τοιαῦτα πασχούσῃ (56) σαρκὶ ἦν ὁ Λόγος, ὦ Χριστομάχοι καὶ ἀχάριστοι Ἰουδαῖοι. Καὶ γὰρ οὐκ εἴρηται ταῦτα πρὸ τῆς σαρκός· ἀλλ' ὅτε ὁ Λόγος σὰρξ ἐγένετο, καὶ γέγονεν (57) ἄνθρωπος, τὸ τηνικαῦτα καὶ ἀνθρωπίνως εἰρῆσθαι γέγραπται ταῦτα. Ἀμέλει, περὶ οὗ γέγραπται ταῦτα, αὐτὸς ἤγειρε τὸν Λάζαρον (58) ἐκ νεκρῶν, καὶ τὸ ὕδωρ οἶνον πεποίηκε, καὶ τῷ ἐκ γενετῆς τυφλῷ ἐχαρίσατο τὸ βλέπειν, καὶ εἶπεν· Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν. Εἴπερ οὖν ἐκ τῶν ἀνθρωπίνων προφασίζονται ταπεινὰ νοεῖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· μᾶλλον δὲ ἄνθρωπον αὐτὸν ὅλον ἐκ γῆς, καὶ οὐκ ἐξ οὐρανοῦ (59) νομίζουσι· διὰ τί μὴ καὶ (60) ἐκ τῶν θείκῶν ἔργων ἐπιγινώσκουσι τὸν ἐν τῷ Πατρὶ Λόγον, καὶ λοιπὸν ἀρνοῦνται τὴν ἰδίαν ἀσέβειαν; Ἔξεστι γὰρ αὐτοὺς (61) ὁρᾷν, πῶς ὁ τὰ ἔργα ποιῶν ὁ αὐτός ἐστιν ὁ καὶ τὸ σῶμα παθητὸν δεικνὺς ἐν τῷ ἀφιέναι κλαίειν καὶ πεινᾷν αὐτὸν (62), καὶ τὰ ἴδια τοῦ σώματος ἐν αὑτῷ φαίνεσθαι. Ἐκ μὲν γὰρ τῶν τοιούτων ἐγνώριζεν, ὅτι, τοιαῦτα παρασχούσῃ. Paulo post Basil., Καὶ γὰρ οὐκ εἴρηκε.

A Quonam pacto ille qui Abrahæ dicebat, *Noli timere, quia ego tecum sum* [68] : ille qui Moysem adversus Pharaonem corroborabat : qui filio Nave aiebat, *Fortiter et viriliter age* [69] : quomodo, inquam, ipse Herodem et Pilatum potuit metuere? Præterea, illene qui alios ad non timendum adjuvat (nam, *Dominus*, inquit, *mihi adjutor, non timebo quid faciat mihi homo* [70]), ipse præsides mortales homines metuebat? illene qui contra mortem venit, mortem timuit? Annon absurdum et impium est contendere, eum mortem et inferos extimuisse, quo conspecto inferorum janitores tremuerunt? Enimvero si secundum vos Verbum timuit, cur cum longe ante Judæorum prædixisset insidias, non aufugit, sed quæsitus dixit, *Ego sum* [71]? Siquidem poterat
B non mori, uti his verbis docet : *Potestatem habeo ponendi animam meam, et potestatem habeo iterum sumendi eam* [72] : et, *Nemo tollit eam a me* [73].

55. Verum hæc non naturæ Verbi, quatenus Verbum est, propria erant : sed Verbum, o Christi hostes et ingrati Judæi, in carne hæc patiente exsistebat. Hinc ista non ante carnem assumptam dicta sunt : sed postquam Verbum caro et homo est factum, hæc de humana natura dicta esse scriptum est. Certe ille, de quo ista scripta sunt, Lazarum a mortuis excitavit, aquam convertit in vinum, cæco nato visum restituit, et dixit : *Ego et Pater unum sumus* [74]. Quocirca si ex humanis ejus gestis occasionem captant humiliter et abjecte de Dei Filio sentiendi ; imo vero hominem eum totum e terra non autem e cœlo esse arbitrantur : cur non etiam
C ex divinis factis Verbum in Patre exsistens agnoscunt, propriamque deponunt impietatem? Illis enim licet perspicere eumdem omnino esse qui illorum operum auctor est, et qui patibile corpus se habere ostendit, cum illud flere, esurire, et quæ corporis propria sunt, in eo apparere permisit. Hujusmodi quippe corporis affectionibus demon-

[68] Genes. xxvi, 24. [69] Josue i, 6. [70] Psal. cxvii, 6. [71] Joan. xviii, 5. [72] Joan. x, 18. [73] ibid. [74] ibid. 30.

(49) Editio Commel., τῷ Ἰησοῦ Ναυῆ. Mss., τῷ τοῦ Ναυῆ.

(50) Regius primus, Seguer. Gobler. et Felc. 1, Πιλᾶτον. Alii et editi, Ηόντιον.

(51) Sic Reg. 1 prima manu, Seguer. Gobler. et Felc. 1. At Basiliensis, οὐ μὴ φοβηθήσομαι. Editi et alii, καί οὐ φοβηθήσομαι. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, αὐτὸς ἡγεμόνας. Cæteri editique, οὗτος ἡγεμόνας.

(52) Regius primus et Seguer., ἀλλ' αὐτός.

(53) Gobler. et Felc. 1 addunt τὸν θάνατον ἦ, quæ item legit Nannius : alii et editio Commel. omittunt.

(54) Regius primus, Seguer. Gobler. et Felc. 1, ἔφευγεν. Cæteri et editi, ἔφυγεν. Ibidem Gobler. et Felc. 1, ἀλλὰ ζητούμενος. Mox primus codex Regius, Seguer. Gobler. et Felc. 1, ἠδύνατο μὴ ἀποθανεῖν. Alii et editi, ἠδύνατο καὶ μὴ ἀποθανεῖν. Ibidem, Reg. 1, et Seguer., ὡς ἔλεγεν, pro quo alii habent tantum λέγων.

(55) Πάλιν deest in Reg. 1, et Seguerian.

(56) Sic Gobler. Felc. 1, et uterque Regius Seguer autem, τοιαύτῃ πασχούσῃ. Editio Commel.,

(57) Sic Reg. 1 et Seguer. At alii et editi, καὶ ὅτε γέγονεν. Mox Reg. 1 Seguer., εἰρῆσθαι γέγραπται ταῦτα. Gobler. et Felckm. 1, γέγραπται ταύτα εἴρῆσθαι.

(58) Regius primus et Seguer., ἤγειρε καὶ Λάζαρον. Idem mox et Anglican. Basil. ac Felc. 5, ἐχάρίσατο. Editi Commel., ἐχειρίσατο.

(59) Uterque Regius, καὶ οὐκ ἐξ οὐρανοῦ. At alii et editi οὐκ omittunt.

(60) Uterque Regius et Seguer., μὴ καὶ ἐκ. In aliis et editis καί deest.

(61) Sic uterque Regius et Seguer. At editi et alii, αὐτοῖς. Utrumque autem abest a Felc. 5. Quæ ibidem sequuntur, sic exstant in Felc. 2, et in editis. In aliis autem mss. ita legitur πῶς ὁ αὐτός ἐστιν ὅ καὶ τὰ ἔργα ποιῶν, ὁ αὐτὸς ἐστιν ὁ καὶ τὸ σῶμα.

(62) Seguer. Gobler. et Felc. 1, αὐτόν. Sic item prima manu in Reg. 1, at secunda manu, αὐτό, ut in aliis et editis. Ibidem Felc. 2, cum editis, καὶ ἴδια. Cæteri mss,, καὶ τὰ ἴδια.

strabat se, cum Deus esset impassibilis, passibilem assumpsisse carnem : at ex operibus palam faciebat se, cum Dei Verbum esset, hominem postea factum esse, unde aiebat : *Si mihi*, utpote quem humano corpore amictum cernitis, *credere non vultis*, saltem *operibus credite, ut cognoscatis me in Patre et Patrem in me esse*[75]. Plane impudentes et impii admodum esse mihi videntur Christi adversarii, qui nimirum ubi audierint, *Ego et Pater unum sumus*[76], sensum verborum adulterare, et Patris ac Filii unitatem dividere totis conantur viribus : cum autem flevisse, sudasse, passum esse audiunt, non corpus aspectant, sed ex his inter res creatas eum, per quem factæ illæ sunt, audent annumerare. Quid ergo adhuc illos inter et Judæos interest ? Ut enim illi Dei opera impie Beelzebuli ascribebant ; ita isti, quia Dominum operum illorum auctorem inter res creatas collocant, easdem ac illi pœnas pendent inexpiabiles.

56. Atqui æquum fuisset illos ex his verbis, *Ego et Pater unum sumus*, unam divinitatem et naturæ Patris proprietatem percipere ; ex hac autem voce, *lacrymatus est*, et similibus, ea corporis propria esse agnoscere, maxime cum utrobique consentaneæ rationes illis suppetant, quippe cum illa quidem de eo ut de Deo, hæc autem propter humanum ejusdem corpus scripta sint. Nec enim in eo, qui corporis expers esset, corporis proprietates fuissent, nisi corpus corruptioni obnoxium ac mortale assumpsisset. Mortalis siquidem fuit sancta Maria ex qua ejus productum corpus est; ac proinde, quoniam in corpore patiente, lacrymante, et laborante esset, necesse fuit ut isthæc, quæ carnis propria sunt, de eo una cum corpore dicerentur. Sive igitur flevit et perturbatus est, non Verbum, ut Verbum flebat et pertubabatur, sed id pertinebat ad carnem : sive oravit ut transiret calix, non ipsa divinitas reformidabat, sed illa affectio erat humanitatis propria, ut et voces istæ : *Utquid dereliquisti me*[77] ? quæ ejus esse eodem, quo supra explicavimus, modo sunt intelligenda. Nam tametsi nihil patiebatur, cum Verbum patibilem non habeat naturam, perinde tamen ac si vere pateretur, hæc ab evange-

A Θεὸς (63) ὢν ἀπαθὴς, σάρκα παθητὴν ἔλαβεν· ἐκ δὲ τῶν ἔργων ἐδείκνυεν ἑαυτὸν Λόγον ὄντα τοῦ Θεοῦ· καὶ ὕστερον γενόμενον ἄνθρωπον, λέγων· Κἂν ἐμοὶ μὴ πιστεύητε, βλέποντες ἀνθρώπινόν με περιβεβλημένον σῶμα, ἀλλὰ κἂν τοῖς ἔργοις πιστεύσατε (64), ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Πάνυ δέ μοι δοκοῦσιν ἀναισχυντίαν ἐσχηκέναι καὶ βλασφημίαν οἱ Χριστομάχοι. Ἀκούοντες μὲν γὰρ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, βιάζονται τὴν διάνοιαν παρεξηγεῖσθαι, καὶ διαιρεῖν τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· ἀκούοντες δὲ, ὅτι ἔκλαυσεν, ἑώρωτε πέπονθεν, οὐκ ἐνορῶσι τῷ σώματι, ἀλλ' ἐκ τούτων τῇ κτίσει συναριθμοῦσι τὸν δι' οὗ γέγονεν ἡ κτίσις. Τί οὖν ἔτι λοιπὸν οὗτοι τῶν Ἰουδαίων διαφέρουσιν ; Ὡς γὰρ ἐκεῖνοι τὰ τοῦ Θεοῦ ἔργα τῇ Βεελζεβοὺλ ἐλογίζοντο βλασφημοῦντες· οὕτω καὶ οὗτοι, τὸν ταῦτα B ἐργασάμενον Κύριον τοῖς κτίσμασι συναριθμοῦντες τὴν αὐτὴν ἐκείνοις ἀσυγγνωστον ὑποίσονται (65) κατα δίκην.

56. Ἔδει δὲ ἀκούοντας μὲν αὐτοὺς, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, μίαν ὁρᾷν τὴν θεότητα καὶ τὸ ἴδιον (66) τῆς οὐσίας τοῦ Πατρός· ἀκούοντας δὲ τὸ, ἔκλαυσε, καὶ τὰ ὅμοια, ταῦτα τοῦ σώματος ἴδια λέγειν, μάλιστα ὅτι ἐν ἑκατέρῳ τούτων ἔχουσι τὴν ἀφορμὴν εὔλογον, ὅτι τὰ μὲν (67) ὡς περὶ Θεοῦ γέγραπται, τὰ δὲ διὰ τὸ ἀνθρώπινον αὐτοῦ σῶμα λέγεται. Οὐδὲ γὰρ ἐν ἀσωμάτῳ τὰ τοῦ σώματος ἂν ἐγεγόνει, εἰ μὴ σῶμα λαβὼν ἦν φθαρτὸν καὶ θνητόν· θνητὴ γὰρ ἦν ἡ ἁγία (68) Μαρία, ἐξ ἧς ἦν καὶ τὸ σῶμα. Διὸ καὶ ἀνάγκη ἐν πάσχοντι σώματι, καὶ κλαίοντι, καὶ κάμνοντι γενομένου αὐτοῦ, αὐτοῦ λέγεσθαι μετὰ τοῦ σώματος C καὶ ταῦτα, ἅπερ ἐστὶν ἴδια τῆς σαρκός. Εἴ τε τοίνυν (69) ἔκλαυσε, καὶ ἐταράχθη, οὐκ ἦν ὁ Λόγος, ἢ Λόγος ἐστὶν ὁ κλαίων καὶ ταρασσόμενος, ἀλλὰ τῆς σαρκὸς ἴδιον ἦν τοῦτο· εἰ δὲ καὶ παρεκάλεσε παρελθεῖν τὸ ποτήριον, οὐκ ἦν ἡ θεότης ἡ (70) δειλιῶσα, ἀλλὰ τῆς ἀνθρωπότητος ἦν ἴδιον καὶ τοῦτο τὸ πάθος, καὶ τὸ λέγειν. Ἵνα τί με ἐγκατέλιπες ; ὡς αὐτοῦ μέντοι πάλιν, κατὰ τὰ ἐν τοῖς ἔμπροσθεν εἰρημένα, καίτοι μηδὲν πάσχοντος, ἀπαθὴς γὰρ ἦν ὁ Λόγος (71), εἰρήκασιν ὅμως οἱ εὐαγγελισταὶ ταῦτα· ἐπεὶ καὶ ἄνθρωπος γέγονεν ὁ Κύριος (72), καὶ ὡς παρὰ ἀνθρώπου γίνεται καὶ λέγεται ταῦτα, ἵνα καὶ, ταῦτα τὰ

[75] Joan. x, 38. [76] ibid. 30. [77] Marc. xv, 34.

(63) Seguer. Gobler. et Felc. 1, ὅτι τε Θεός. Mox D Reg. 1 et Seguer, ἐδείκνυεν αὐτόν.

(64) Primus codex Regius et Seguer., κἂν ἐμοὶ, βλέποντες ἀνθρώπινον, περιβεβλημένῳ σῶμα μὴ, μιστεύητε· ἀλλὰ κἂν τοῖς ἔργοις πιστεύετε.

(65) Reg. 1 et Seguer., ἀποίσονται.

66(Regius primus et Seguer. καὶ τὸ ἴδιον. Cæteri et editi, κατὰ τὸ ἴδιον.

(67) Primus codex Regius, Seguer. Gobler. et Felc. primus, τὸ μέν, et mox primus codex Regius et Seguer., τὸ δὲ διὰ τό, etc. Ibidem iidem, αὐτοῦ σῶμα γέγραπται. Οὐ γὰρ ἐν.

(68) Primus codex Regius, Seguerian. Goblerian. et Felc. 4, ἦν ἡ Μαρία. Regius secundus, Basiliensis et Anglicanus, ἦν ἡ ἁγία Μαρία. Ibidem Regius primus et Seguer., Διὸ καὶ ἀνάγκη. In aliis et editis deest καί.

(69) Sic Regius primus, Seguer. Gobler. et Felc. 1. At alii et editi, Εἰ τοίνυν.

(70) Sic Regius primus et Seguer. Alii autem et editi ἡ omittunt. Mox Regius primus, Seguer. Gobler. et Felc. 1, ἦν ἴδιον. In cæteris et editis ἦν decst. Goblerian. et Felckm.1 omittunt ibidem καὶ τοῦτο.

(71) Regius primus et Seguer., ἀπαθὴς γὰρ ὁ Λόγος. Idemque ibidem et Gobler., ac Felc. 1, εἰρήκασιν ὁμοίως.

(72) Regius primus et Seguer., γέγονεν ὁ Κύριος. In aliis et editis decst ὁ Κύριος. Ibidem pro γίνεται, Basil. habet γέγονε. Mox Regius secundus et Basil., κουφίσας αὐτοῖς. Felc. 5, κουφίσας αὐτῆς. Ibidem Regius primus, Seguer. Gobler. et Felc. 1, ἐλευθερίαν αὐτὴν τούτων κατασκευάσῃ.

παθήματα τῆς σαρκὸς κουφίσας αὐτὸς, ἐλευθέραν αὐ- A
τῶν ταύτην κατασκευάσῃ. Ὅθεν οὐδὲ ἐγκαταλείπεσθαι δύναται παρὰ τοῦ Πατρὸς ὁ Κύριος ὁ ἐν αὐτῷ ὢν ἀεὶ (73), καὶ πρὸ τοῦ εἰπεῖν, καὶ ὅτε ταύτην ἠφίει τὴν φωνήν. Ἀλλ' οὐδὲ θέμις πάλιν εἰπεῖν δειλιᾷν τὸν Κύριον, ὃν οἱ πυλωροὶ τοῦ ᾅδου πτήξαντες ἐξαφῆκαν τὸν ᾅδην· καὶ τὰ μὲν μνήματα ἀνέῳγε, πολλὰ δὲ (74) σώματα τῶν ἁγίων ἀνέστησαν, καὶ ἐνεφανίσθησαν τοῖς ἰδίοις. Φιμούσθω τοίνυν πᾶς αἱρετικὸς, καὶ φοβείσθω λέγειν δειλιᾷν τὸν Κύριον, ὃν ὁ θάνατος, ὡς δράκων, φεύγει, ὃν τρέμουσι δαίμονες, καὶ φοβεῖται θάλασσα· δι' ὃν οἱ οὐρανοὶ σχίζονται, καὶ πᾶσαι αἱ δυνάμεις σαλεύονται (75)· ἰδοὺ γὰρ λέγοντος αὐτοῦ, Ἵνα τί με ἐγκατέλιπες ; ἐδείκνυεν ὁ Πατὴρ, ὡς ἀεὶ καὶ τότε ἦν ἐν αὐτῷ. Ἡ γὰρ γῆ, γινώσκουσα τὸν λαλοῦντα Δεσπότην, εὐθὺς ἔτρεμε, καὶ B
τὸ καταπέτασμα ἐσχίζετο, ὁ ἥλιός τε (76) ἐκρύπτετο, καὶ αἱ πέτραι διερρήγνυντο, καὶ τὰ μὲν μνημεῖα, ὡς προεῖπον. ἠνοίγετο, οἱ δὲ ἐν αὐτοῖς νεκροὶ ἠγείροντο· καὶ τό γε θαυμαστὸν, οἱ τότε παρόντες (77) καὶ ἀρνούμενοι πρότερον αὐτὸν, ὕστερον ταῦτα βλέποντες, ὁμολογοῦσιν ἀληθῶς τοῦτον εἶναι τοῦ Θεοῦ τὸν Υἱόν (78).

listis scripta sunt, quia scilicet Dominus factus homo est, ac proinde ista tanquam ab homine et fiunt et dicuntur, ut videlicet ipse levatis hujusmodi carni affectionibus, eam his redderet liberam. Quapropter nec a Patre derelinqui potuit Dominus, utpote qui in illo semper exstiterit, tuum antequam hæc diceret, tum cum has emitteret voces. Neque etiam fas est dicere Dominum timore perculsum fuisse, cujus metu perterriti inferorum janitores, captivos dimisere; hincque monumenta aperta sunt, et multa sanctorum corpora revixere, suisque apparuere[78]. Taceant igitur omnes hæretici, nec affirmare audeant Dominum timuisse, quem mors ipsa, ut draco, fugit, quem dæmones metuunt, quem mare 480 veretur, cujus causa scinduntur cœli, omnesque concutintur potestates. Ecce enim illo dicente, *Ulquid dereliquisti me?* demonstravit Pater se et semper, et tunc in eo fuisse. Terra enim Dominum loquentem agnoscens, statim tremuit, velum scissum est, sese sol abscondit, diruptæ petræ sunt, monumenta, ut jam dixi, sunt aperta, quique in illis jacebant mortui revixerunt: eumque prius nagaverant, postea his conspectis et quod in primis mirum est, qui tum aderant vere eum Filium Dei esse sunt confessi.

57. Περὶ δὲ τοῦ λέγειν αὐτὸν, Εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον, μάθετε πῶς ταῦτα εἰρηκὼς ἐπετίμα τῷ Πέτρῳ, λέγων· Οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων (79). Ἤθελε γὰρ ὃ παρητεῖτο, καὶ διὰ τοῦτ' ἦν ἐλθών· ἀλλὰ τοῦ μὲν ἦν τὸ θέλειν· ἐπὶ τοῦτο γὰρ ἦλθε· τῆς δὲ σαρκὸς ἦν τὸ δειλιᾷν· διὸ καὶ ὡς ἄνθρωπος ἔλεγε τὴν τοιαύτην φωνήν. Καὶ ἀμφότερα πάλιν παρὰ τοῦ αὐτοῦ ἐλέγετο (80), Ἵνα δείξῃ, ὅτι Θεὸς ἦν θέλων μὲν αὐτὸς, γενόμενος δὲ ἄνθρωπος εἶχε δειλιῶσαν τὴν σάρκα, δι' ἣν συνεκέρασε τὸ ἑαυτοῦ θέλημα τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, Ἵνα καὶ τοῦτο πάλιν ἀφανίσας, θαῤῥαλέον τὸν ἄνθρωπον πάλιν (81) πρὸς τὸν θάνατον κατασκευάσῃ. Ἰδοὺ γοῦν πρᾶγμα παράδοξον ἀληθῶς· ὃν ὡς κατὰ δειλίαν λαλεῖν (82) νομίζουσιν οἱ Χριστομάχοι, οὗτος τῇ νομιζομένῃ δειλίᾳ θαῤῥαλέους καὶ ἀφόβους τοὺς ἀνθρώπους κατεσκεύαζεν (83). Οἱ γοῦν μα- C

57. Quod autem ad id spectat quod dixit, *Si fieri potest, transeat calix*[79], discite quomodo Petrum eadem dicentem his increpaverit verbis: *Non sapis quæ Dei sunt, sed quæ hominum*[80]. Siquidem hoc ipsum volebat ille quod deprecabatur et refugiebat, quippe eam ob rem venisset: verum ejus quidem erat id velle, ad quod scilicet ipse venerat, sed carnis crat pavere. Unde ut homo has voces protulit, ipseque utrumque dixit, ut se ostenderet et Deum esse qui vellet, et factum hominem carnem paventem habuisse, cujus gratia suam ipse voluntatem humanæ miscuit infirmitati, ut ea absumpta fidentem et audacem hominem adversus mortem redderet. En igitur rem plane admirabilem: ille nimirum quem Christi hostes præ timidate loqui arbitrantur, hujusmodi ipse timiditate homines intrepidos et fortes reddit. Hinc beati apostoli hisce post eum

[78] Matth. xxvii, 53. [79] Matth. xxvi, 39. [80] Marc. viii, 33.

(73) Regius primus et Seguer., ὁ Κύριος ὁ ἐν αὐτῷ. At alii et editi, ὁ Κύριος ἐν αὐτῷ.

(74) Regius primus et Seguer., πολλά τε. Iidem ibidem et Gobler. ac Felc. 1, ἀνέστη, καὶ ἐφανίσθησαν τοῖς ἰδίοις. Alii, ἀνέστησαν καὶ ἐφανίσθησαν τοῖς ἀνθρώποις. D

(75) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At cæteri et editi, πᾶσα δύναμις σαλεύεται.

(76) Seguer. καὶ ὁ ἥλιος δέ. Reg. habet item δέ. Alii autem et editi, ὁ ἥλιός τε. Mox Gobler. et Felc. 1, διερρήγνυντο, καὶ οἱ ἐν αὐτοῖς νεκροί, omissis intermediis. Reg. 1, ibid. et Seguer. pro ἠνοίγετο, habent ἠνοίγοντο.

(77) Regius primus et Seguer., καίτοι, iidemque mox, ὕστερον ταῦτα λέγοντες. Basilensis ibidem addit δέ post ὕστερον.

(78) Primus codex Regius et Seguer. τοῦ Θεοῦ τὸν Υἱόν, et mox, μάθετε πῶς. Cæteri et editi, εἶναι Θεοῦ Υἱὸν, et, μαθέτωσαν πῶς.

(79) Primus codex Regius et Seguer. addunt, ἀλλὰ τὰ τῶν ἀνθρώπων, quæ in aliis et editis desunt. Quæ mox sequuntur, ita exstant in Reg. 1, Seguer. Gobler. et Felc. 1, ubi Reg· 1, secunda manu, ἐπὶ τούτῳ, non male. At in aliis et editione Commel. sic legitur, καὶ διὰ τοῦτο ἦν ἐλθών, ἀλλ' αὐτοῦ μὲν ἦν τὸ δειλιᾷν· διὸ καὶ ὡς ἄνθρωπος, etc.

(80) Sic primus codex Regius Seguer. Gobler. et Felc. 1. Cæteri autem et editi, ἐλέγοντο.

(81) Πάλιν, abest a Regio primo et Seguer., qui iidem paulo post habent, Ἰδοὺ γοῦν πρᾶγμα, ubi alii et editi, Ἰδοὺ γὰρ πρᾶγμα.

(82) Primus codex Regius et Seguer., λαλεῖν. Alii editique, λαλοῦντα.

(83) Regius primus, Seguer. Gobler. et Felckm. 1, κάτεσκεύαζεν. Alii et editi, κατασκευάζει. Paulo post Reg. 1 et Seguer., ἐκ τῶν φωνῶν τούτων.

animati vocibus, mortem contempsere, ut etiam nihil de judicibus curarent suis, sed audacter dicerent: *Obedire oportet Deo magis quam hominibus*[81]. Alii item sancti martyres tanta fuere fidentia et fortitudine, ut se potius in vitam migrare quam mortem pati existimarent. Nonne igitur perquam absurdum est servorum Verbi constantiam admirari, ipsi autem Verbo ascribere timiditatem, per quod mortem illi despexerunt? Proinde ex invicta sanctorum martyrum animi magnitudine clarum est non divinitatem ipsam timuisse, sed nostram timiditatem fuisse a Salvatore sublatam. Ut enim morte mortem, et humanis factis humana omnia delevit: ita illa sua timiditate nostram prostravit timiditatem, fecitque ut homines mortem non amplius reformidarent. Itaque omnia illa simul et aiebat et efficiebat. Humanæ enim naturæ erant hujusmodi voces: *Transeat calix*, et, *Utquid me dereliquisti?* sed ipse divine efficiebat ut sol deficeret et mortui reviviscerent. Si item ut homo aiebat, *Nunc anima mea turbata est*[82]; dixit pariter, ut Deus: *Potestatem habeo ponendi animam meam, et potestatem habeo iterum sumendi eam*[83]. Perturbari enim carnis proprium est: sed potestatem habere animam suo arbitrio ponendi et sumendi, id utique non hominum, sed potentiæ Verbi proprium est. Nec enim homo sua potestate, sed naturæ necessitate invitusque moritur (84). At Dominus, qui ipse quidem immortalis est, sed mortalem assumpserat **481** carnem, potestatem habuit, ut Deus, discedendi a corpore, illudque iterum assumendi, cum voluerit. Qua de re ita cecinit David: *Non derelinques animam meam in inferno neque dabis Sanctum tuum videre corruptionem*[84]. Siquidem decebat carnem, quæ corruptioni erat obnoxia, non amplius pro natura sua mortalem manere, sed propter Verbum, quod illam induerat, corruptionis expertem esse. Nam ut ipse, nostro accepto corpore, nostra est imitatus: ita nos, suscepto Verbo, immortalitatis ejusdem participes efficimur.

58. Frustra ergo scandalum pati simulant, et vilia de Verbo sentiunt Ariani, quod ipsum perturbatum fuisse et flevisse scriptum sit. Hinc enim ne humanum quidem sensum habere videntur, quippe qui hominum ignorent naturam et proprietates, ob quas certe eo magis admirationi esse debuit, quod

A κάριοι ἀπόστολοι μετ' αὐτὸν οὕτως ἐκ τῶν τοιούτων φωνῶν κατεφρόνουν τοῦ θανάτου, ὡς μηδὲ φροντίζειν τῶν ἀνακρινόντων αὐτούς, ἀλλὰ λέγειν· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις· οἵ τε ἄλλοι (84*) ἅγιοι μάρτυρες οὕτως ἐθάρρουν, ὡς μᾶλλον νομίζειν αὐτοὺς εἰς ζωὴν μεταβαίνειν, ἢ θάνατον ὑπομένειν. Πῶς οὖν οὐκ ἄτοπον τῶν μὲν θεραπόντων τοῦ Λόγου θαυμάζειν τὴν ἀνδρείαν, αὐτὸν δὲ τὸν Λόγον λέγειν δειλιᾷν, δι' ὃν κἀκεῖνοι τοῦ θανάτου (85) κατεφρόνησαν; Ἐκ δὲ τῆς τῶν ἁγίων μαρτύρων καρτερικωτάτης προθέσεως καὶ ἀνδρείας δείκνυται, ὡς οὐκ ἦν ἡ θεότης δειλιῶσα, ἀλλὰ τὴν ἡμῶν δειλίαν ἦν ἀφαιρούμενος ὁ Σωτήρ. Ὡς γὰρ τὸν θάνατον θανάτῳ κατήργησε, καὶ ἀνθρωπίνως πάντα τὰ ἀνθρώπινα, οὕτω τῇ (86) νομιζομένῃ δειλίᾳ τὴν ἡμῶν δειλίαν ἀφῃρεῖτο, B καὶ πεποίηκε μηκέτι φοβεῖσθαι τοὺς ἀνθρώπους τὸν θάνατον. Ἔλεγεν οὖν ταῦτα καὶ ἅμα ἐποίει. Ἀνθρώπινα μὲν γὰρ ἦν τὸ λέγειν· Παρελθέτω τὸ ποτήριον, καί, Ἵνα τί με ἐγκατέλιπες; θεϊκῶς δὲ ὁ αὐτὸς ἐποίει τὸν ἥλιον ἐκλείπειν, καὶ τοὺς νεκροὺς ἐγείρεσθαι· Πάλιν τε λέγων ἀνθρωπίνως, Νῦν ἡ ψυχή μου τετάρακται· ἔλεγε καὶ (87) θεϊκῶς· Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· Τὸ μὲν γὰρ ταράττεσθαι τῆς σαρκὸς ἴδιον ἦν (88), τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναι καὶ λαβεῖν, ὅτε βούλεται, τὴν ψυχήν, οὐκέτι τοῦτο ἴδιον ἀνθρώπων, ἀλλὰ τῆς τοῦ Λόγου δυνάμεώς ἐστιν. Ἄνθρωπος γὰρ οὐ κατ' ἰδίαν ἐξουσίαν, ἀλλ' ἀνάγκῃ φύσεως καὶ μὴ θέλων ἀποθνήσκει· ὁ δὲ Κύριος, ἀθάνατος αὐτὸς ὢν (89), σάρκα δὲ θνητὴν ἔχων, ἐπ' ἐξουσίας εἶχεν, ὡς Θεός, ἀπὸ τοῦ σώματος χωρισθῆναι, C καὶ τοῦτο πάλιν ἀναλαβεῖν, ὅτε βούλεται. Περὶ τούτου καὶ Δαβὶδ ψάλλει· Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην (90), οὐδὲ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἔπρεπε γὰρ, φθαρτὴν οὖσαν τὴν σάρκα, μηκέτι κατὰ τὴν ἑαυτῆς φύσιν μένειν θνητὴν, ἀλλὰ διὰ τὸν ἐνδυσάμενον αὐτὴν Λόγον ἄφθαρτον διαμένειν. Ὡς γὰρ αὐτὸς, γενόμενος ἐν τῷ ἡμῶν σώματι (91), τὰ ἡμῶν ἐμιμήσατο, οὕτως ἡμεῖς, δεξάμενοι αὐτὸν, τῆς παρ' ἐκείνου μεταλαμβάνομεν ἀθανασίας.

58. Μάτην τοίνυν σκανδαλίζεσθαι προσποιοῦνται, καὶ μικρὰ νοοῦσιν οἱ Ἀρειομανῖται περὶ τοῦ Λόγου, εἰ γέγραπται, ἐταράχθη, καὶ ἔκλαυσεν. Ἔοικασι γὰρ μηδὲ ἀνθρωπίνην αἴσθησιν ἔχειν, ἀγνοοῦντες τὴν τῶν ἀνθρώπων φύσιν καὶ τὰ τούτων ἴδια· δι' ἃ μᾶλλον (92) ἔδει θαυμάζειν, ὅτι ἐν τοιαύτῃ πασχούσῃ

[81] Act. v, 29. [82] Joan. xii, 27. [83] Joan. x, 18. [84] Psal. xv, 10.

(84) Vide admonitionem in orationem *contra gentes*.

(84*) Reg. 1 et Seguer., οἵ τε ἄλλοι. Alii et editi, οἱ δὲ ἄλλοι. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, νομίζειν αὐτούς. Alii et editi, νομίζειν ἑαυτούς.

(85) Gobler. et Felc. 1 omittunt τοῦ θανάτου.

(86) Reg. 1 et Seguerianus, οὕτως τῇ. Cæteri et editi, οὕτω καὶ τῇ.

(87) Sic Reg. 1 et Seguer. In aliis et editis καί deest.

(88) Ἦν abest a Reg. 1 et Seguer.

(89) Sic Reg. 1 et Seguer., ut et videtur legisse Nannius, qui nempe habet. *Dominus contra ipse quidem immortalis.* Alii autem et editi, ὁ Κύριος ἀθάνατος ὤν.

(90) Reg. 1 et Seguerian., εἰς τὸν ᾅδην. Cæteri et editi, εἰς ᾅδην.

(91) Regius primus et Seguer., ἐν τῷ αὐτῷ σώματι. Iidem mox et Reg. 2, Anglican. Goblerian. Felc. 1 et 5, δεξάμενοι τοῦτον. Alii editique, δεξάμενοι αὐτόν.

(92) Primus codex Regius et Seguer., δι' ἃ μᾶλλον. Cæteri et editi, διὸ καὶ μᾶλλον. Paulo post, Regius primus et Seguer., οὔτε ἐκώλυε. Alii et editi, οὔτε ἐκώλυσε.

σαρκὶ ἦν ὁ Λόγος. καὶ οὔτε ἐκώλυε τοὺς ἐπιβουλεύοντας, οὔτε ἐξεδίκει κατὰ τῶν ἀναιρούντων, καίπερ δυνάμενος, ὁ ἄλλους κωλύσας ἀποθανεῖν, καὶ ἀποθανόντας ἐγείρας ἐκ τῶν νεκρῶν· ἀλλ' ἠνείχετο πάσχειν τὸ ἴδιον σῶμα. Διὰ τοῦτο γὰρ καὶ (93) ἐλήλυθεν, ὡς προεῖπον, ἵνα σαρκὶ πάθῃ, καὶ λοιπὸν καὶ ἀπαθὴς καὶ ἀθάνατος ἡ σὰρξ κατασκευασθῇ· καὶ ἵνα, καθὼς πολλάκις εἴπομεν, ὡς εἰς αὐτὸν τῆς ὕβρεως (94) καὶ τῶν γινομένων φθανόντων, μηκέτι τῶν ἀνθρώπων ἅπτηται ταῦτα, ἀλλ' ἐξαφανισθῇ παντελῶς παρ' αὐτοῦ· καὶ λοιπὸν δι' αἰῶνος ἄφθαρτοι (95), ὡς ναὸς τοῦ Λόγου, διαμείνωσι. Ταῦτα εἰ οὕτως καὶ οἱ Χριστομάχοι διενοοῦντο, τόν τε (96) σκοπὸν τὸν ἐκκλησιαστικὸν ὡς ἄγκυραν τῆς πίστεως ἐπεγίνωσκον, οὔτ' ἂν ἐναυάγησαν περὶ τὴν πίστιν, οὔτε (97) τοσοῦτον ἠναισχύντουν, ὡς ἀνθίστασθαι καὶ τοῖς βουλομένοις πεπτωκότας αὐτοὺς ἐγεῖραι, καὶ μᾶλλον ἐχθροὺς ἡγεῖσθαι τοὺς νουθετοῦντας αὐτοὺς εἰς εὐσέβειαν. Ἀλλ' ὡς ἔοικε, πονηρὸν (98) ὁ αἱρετικὸς ἀληθῶς, καὶ πανταχόθεν ἐστὶν ἔχων διεφθαρμένην τὴν καρδίαν εἰς ἀσέβειαν. Ἰδοὺ γὰρ ἐπὶ πᾶσιν ἐλεγχόμενοι, καὶ δεικνύμενοι πάσης συνέσεως (99) ἔρημοι, οὐκ αἰσχύνονται· ἀλλ' ὥσπερ ἡ λεγομένη παρὰ τοῖς Ἕλλησιν μύθοις ὕδρα τὸ θηρίον, ἀναιρουμένων τῶν προτέρων ὄφεων, ὤδινεν ἑτέρους ὄφεις, φιλονεικοῦσα πρὸς τὸν ἀναιροῦντα τῇ τῶν ἑτέρων προβολῇ· τὸν αὐτὸν τρόπον καὶ οἱ Θεομάχοι (1) καὶ οἱ Θεοστυγεῖς, ὥσπερ ὕδραι, τὴν ψυχὴν πίπτοντες ἐφ' οἷς προβάλλονται, ἄλλας ἐφευρίσκουσιν Ἰουδαϊκὰς καὶ μωρὰς ἑαυτοῖς ἐκζητήσεις· καὶ ὥσπερ ἔχθραν (2) τὴν ἀλήθειαν ἔχοντες, ἐπινοοῦσι καινότερα, ὅπως μᾶλλον Χριστομάχους ἑαυτοὺς διὰ πάντων ἐπιδείξωσιν.

A Verbum in hujumodi carne fuerit, nec prohibuerit insidiatores, nec interfectores ultum sit, quamvis id facile ille potuisset, qui ab aliis mortem prohibet, et mortuos ad vitam revocat. Verum corpus suum pati permisit, quandoquidem, ut supra dixi, idcirco venerat ut carne pateretur, eoque pacto caro in posterum impassibilis redderetur et immortalis, atque, quemadmodum sæpe diximus, ut injurias cæteraque velut illo patiente, ea ad homines jam non amplius auderent accedere, sed ab ipso penitus delerentur, illique deinceps perpetuo incorrupti, tanquam templum Verbi, permanerent. Si hæc secum Christi hostes cogitassent ecclesiasticumque scopum tanquam fidei anchoram agnovissent, neutiquam circa fidem fecissent naufragium[85], neque adeo essent impudentes, ut his resi-
B sterent qui se lapsos conantur erigere; nec illos sibi infensos haberent, qui se ad veram pietatem amplectandam cohortantur. Sed enim, ut videtur, mala perfecto res est hæreticus, penitusque corruptum et ad impietatem proclive cor habet. En namque tametsi illos quavis ex parte refellimus, ostendimusque omni prorsus intelligentia vacuos esse; tamen nullo modo erubescunt: sed quemadmodum hydra, Græcorum fabulis celebra fera, novos, dicitur serpentes, occisis prioribus, peperisse, aliisque semper producendis cum interfectore contendisse: ita illi Deo infensi et invisi, non secus ac hydræ, anima emorientes in his quæ prætendunt argumentis, Judaicas alias stultasque sibi effingunt quæstiones, ac veluti inimicam ipsam ha-
C bentes veritatem, nova semper excogitant, ut eo magis se Christi hostes esse nullis non declarent modis.

59. Μετὰ γὰρ τοὺς τοσούτους κατ' αὐτῶν ἐλέγχους, ἐφ' οἷς καὶ ὁ διάβολος (3) αὐτὸς ὁ τούτων πατὴρ ἐντραπεὶς ἂν ἀπῆλθεν ὀπίσω, πάλιν ὡς ἀπὸ στρεβλῆς τῆς καρδίας αὐτῶν ἐπινοοῦντες γογγύζουσι, καὶ τοῖς μὲν ψιθυρίζουσι, τοῖς δὲ, ὡς κώνωπες, περιβομβοῦσι λέγοντες· Ἔστω, ταῦτα οὕτως ἑρμηνεύετε, καὶ νικᾶτε τοῖς λογισμοῖς καὶ ταῖς ἀποδείξεσιν· ἀλλὰ δεῖ λέγειν βουλήσει καὶ θελήσει γεγενῆσθαι (4) τὸν Υἱὸν ὑπὸ τοῦ Πατρός. Καὶ ἐν τούτῳ γὰρ πολλοὺς ἀπατῶσι προβαλλόμενοι τὸ βούλημα καὶ τὸ θέλημα τοῦ Θεοῦ. Τοῦτο δὲ εἰ μέν τις τῶν ὀρθῶς πιστευόντων ἁπλού-

59. Post tot enim contra ipsos allata argumenta, quæ vel ipsum diabolum eorum patrem cogerent erubescere et retro recedere, ecce nova iterum alia commenta tortuoso ex corde suo eructant, aliisque illi obstrepunt, aliis hujusmodi verba, instar culicum, insusurrant. Per nos licet, inquiunt, ita hæc se habeant, uti vos interpretamini; rationibus et argumentis, vincite: sed tamen fatendum est Filium a Patre, voluntate et arbitrio, factum esse. Sic **482** illi, voluntatis] et arbitrii nomine objecto, multos seducunt: quæ quidem siquis e recte cre-

[85] I Tim. I, 19.

(93) Regius primus et Seguer., Διὰ τοῦτο γὰρ καί. In aliis et editis γάρ deest. Paulo post, Regius primus et Seguer., καὶ λοιπὸν καὶ ἀπαθής. Alii et editi, καὶ λοιπὸν ἀπαθής.

(94) Regius primus et Seguerian., εἰς αὐτὸν τῆς ὕβρεως. Cæteri et editi, εἰς αὐτὸν καὶ τῆς.

(95) Ἄφθαρτοι abest a Basil. Reg. 2 et Felc. 5. Ibid. Reg. 1 et Seguer., ὡς ναὸς τοῦ Λόγου. Alii et editi, ναὸς τοῦ Θεοῦ. Mox Basil., οὕτως οἱ Χριστομάχοι.

(96) Uterque Regius et Seguerian. τόν τε. Alii et editi τόν δέ. Mox Reg. 1 et Seguer., ἐπεγίνωσκον. Alii et editi, ἐγίνωσκον.

(97) Reg. 1 et Seguerian., οὔτε. Cæteri et editi, οὐδέ.

(98) Seguer., πονηράν.

(99) Reg. 1 et Seguer., συνειδήσεως. Ibidem paulo post, παρὰ τοῖς Ἑλλήνων μύθοις, et Reg. 2, παρα τοῖς Ἕλλησιν ὕυρα. Alii et editi, παρὰ τοῖς Ἕλλησιν ἐν μύθοις, etc.

(1) Reg. 1 et Seguer. omittunt καὶ οἱ Θεομάχοι. Iidem paulo post habent, εὑρίσκουσιν Ἰουδαϊκάς, etc.

(2) Uterque Regius et Seguerian, ὥσπερ ἔχθραν. Cæteri et editi, ὡς πρὸς ἔχθραν. Mox Regius 1 et Seguer., ὅπως μᾶλλον, etc., ut et Nannius legit. Editi et alii, ὅπως μόνον. Ibidem, διὰ πάντων abest a Gobler. et Felc. 1.

(3) Reg. 1 et Seguer., καὶ διάβολος. Iidem mox addunt, πάλιν ὡς ἀπό, quæ in aliis et editis desunt.

(4) Anglicanus et Regius secundus, γεγεννῆσθαι, ut et videtur Nannius legisse; nam vertit, *genitum esse*. Alii et editi, γεγενῆσθαι.

dentibus paulo simplicius diceret, nullus esset suspicionis locus, sed recta mente corrigerentur verba simplicius prolata. Quando vero hæc vox hæreticorum est, quorum verba merito suspecta sunt, et, ut scriptum est, *Impii vero dolos administrant*[86], et, *Sermones eorum dolosi*[87], etiamsi aliquid tantum innuerint, quippe cum corruptum cor habeant: age, istud quoque quod aiunt dispiciamus, ne forte omni ex parte convicti, vocabulum aliud recentius, velut hydræ, comminiscatur, ut subtili hujusmodi dicendi artificio et dolo suam alia iterum ratione disseminent impietatem. Siquidem ille idem omnino significat qui ait, Voluntate factus est Filius, ac qui dicit, Fuit aliquando cum non esset, et, Ex nihilo factus est Filius, et res creata est. Verum quia hæc dixisse illos jam pudet, aliis idem verbis significare subdole et versute conantur, nobisque voluntatis vocabulum, non secus ac sepiæ atramentum, objiciunt, ut et simplicium animis offundant tenebras, et ne ipsos suæ hæresis capiat oblivio. Nobis enim velim patefaciant, unde tandem illa voluntatis et arbitrii erucrint vocabula, vel quonam ex Scripturæ loco ea exprompserint impietatis inventores, quorum utique verba suspecta non absque causa habemus. Sane Pater nobis Verbum suum e cœlo hujusmodi vocibus revelavit, *Hic est Filius meus dilectus*[88]. Sic item per Davidem loquitur, *Eructavit cor meum Verbum bonum*[89]. Joanni quoque dicere præcepit, *In principio erat Verbum*[90]. Ita etiam psallit David, *Apud te est fons vitæ, et in lumine tuo videmus lumen*[91]. Denique Apostolus scribit, *Qui cum sit splendor gloriæ*[92]: et rursus, *Qui cum in forma Dei esse*[93]: et, *Qui est imago Dei invisibilis*[94].

60. Ubique omnes quid sit Verbum docent, nemoque prorsus ipsum vel ex voluntate esse, vel omnino factum esse ait. Illi vero ubinam, quæso, repererunt voluntatem et arbitrium Verbo Dei antecedere; nisi forte missis Scripturis, Valentini impietatem amplexi, simulatione utantur? Nam Pto-

στερον ἔλεγεν, οὐδὲν ἦν ὑποπτεῦσαι περὶ τοῦ λεγομένου, νικώσης τῆς ὀρθοδόξου διανοίας (5-6) τὴν ἁπλουστέραν τῶν ῥημάτων προφοράν· ἐπειδὴ δὲ παρ' αἱρετικῶν ἐστιν ἡ φωνή, ὕποπτα δὲ τῶν αἱρετικῶν τὰ ῥήματα, καὶ, ὡς γέγραπται, Κυβερνῶσι δὲ ἀσεβεῖς (7) δόλους, καὶ, Οἱ λόγοι αὐτῶν εἰσι δόλιοι, κἂν μόνον νεύσωσι, διεφθαρμένην γὰρ ἔχουσι τὴν καρδίαν· φέρε, καὶ τοῦτο τὸ λεγόμενον ἐξετάσωμεν (8), μήπως, ἐπὶ πᾶσιν ἐλεγχθέντες, λοιπὸν, ὡς ὕδραι, καινότερον ἐπενόησαν λεξείδιον, ἵνα (9) διὰ τῆς τοιαύτης κομψολογίας καὶ πιθανῆς ὑφαρπαγῆς τὴν ἑαυτῶν ἀσέβειαν πάλιν ἄλλως ἐπισπείρωσι. Ταὐτὸν γὰρ σημαίνει ὁ λέγων, Βουλήσει γέγονεν ὁ Υἱὸς, καὶ ὁ λέγων, Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ, Ἐξ οὐκ ὄντων γέγονεν ὁ Υἱὸς, καὶ κτίσμα (10) ἐστίν. Ἀλλ' ἐπὶ ταῦτα λέγοντες ᾐσχύνθησαν, ἑτέρως αὐτὰ πάλιν σημαίνειν ἐπεχείρησαν οἱ δόλιοι (11), βούλησιν προβαλλόμενοι, ὡς τὸ μέλαν αἱ σηπίαι, ἵν' ἐν τούτῳ τοὺς μὲν ἀκεραίους σκοτίζωσιν, αὐτοὶ δὲ τῆς ἰδίας αἰρέσεως μὴ ἐπιλάθωνται. Πόθεν γὰρ τὸ βουλήσει καὶ θελήσει, ἢ ἐκ ποίας (12) Γραφῆς τὰ τοιαῦτα πάλιν προφέρουσιν, εἰπάτωσαν οἱ τοῖς ῥήμασιν ὕποπτοι, καὶ τῆς ἀσεβείας ἐφευρεταί. Ὁ μὲν γὰρ Πατὴρ ἀποκαλύπτων ἀπ' οὐρανοῦ τὸν ἑαυτοῦ Λόγον, ἐδείκνυεν, ὅτι Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· καὶ διὰ μὲν τοῦ Δαβὶδ ἔλεγεν· Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν· τῷ δὲ Ἰωάννῃ εἰπεῖν ἐνετείλατο· Ἐν ἀρχῇ ἦν ὁ Λόγος· καὶ ὁ Δαβὶδ δὲ ψάλλων φησὶν (13), ὅτι Παρὰ σοὶ πηγὴ ζωῆς, καὶ ἐκ τῷ φωτί σου ὀψόμεθα φῶς· ὅ τε Ἀπόστολος γράφει· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης· καὶ πάλιν· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων· καὶ, Ὃς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου.

60. Πανταχοῦ τὸ εἶναι τοῦ Λόγου πάντες καὶ οὐδαμοῦ ἐκ βουλήσεως αὐτὸν οὐδὲ ὅλως πεποῆσθαι λέγουσιν. αὐτοὶ δὲ ποῦ ἄρα βούλησιν ἢ θέλησιν προηγουμένην εὗρον τοῦ Λόγου τοῦ Θεοῦ, εἰ μὴ ἄρα, τὰς Γραφὰς ἀφέντες, ὑποκρίνονται καὶ τὴν Οὐαλεντίνου κακόνοιαν; Πτολεμαῖς γὰρ ὁ (14) Οὐαλεντίνου ἑπ

[86] Prov. XII, 5. [87] ibid. [88] Matth. III, 17. [89] Psal. XLIV, 2. [90] Joan. I, 1. [91] Psal. I, XXXV, 10. [92] Hebr. I, 3. [93] Philip. II, 6. [94] Coloss, I, 15.

(5-6) Basiliensis, τῆς ὀρθῆς διανοίας.

(7) Regius primus et Seguerianus, κυβερνῶσιν ἀσεβεῖς. Iidem ibidem et Goblerian. Felckman. 1, λόγοι τῶν ἀσεβῶν. Cæteri et editi, λόγοι αὐτῶν. Item Reg. 1 et Seguerianus, νεύουσι. Goblerianus et Felckman. 1, νεύουσι. Alii et editi, νεύσωσι. Reg. 1. et Seguer. Rursus ibidem, διεφθαρμένην ἔχουσι τὴν διανοιαν. Alii editique, διεφθαρμένην γὰρ ἔχουσι τὴν καρδίαν.

(8) Regius primus, Seguer. Gobler. et Felckm. 1 τοῦτο ἐξετάσωμεν. At Reg. 2 et Felc. 5, τοῦτο τὸ λεγόμενον, etc. Cæteri et editi, τοῦτο λεγόμενον.

(9) Sic uterque Regius, Seguerian. Goblerian. Felc. 1 et 5. At in aliis et in editis deest ἵνα. Mox Regius primus, Seguerian. Anglican. Goblerian. et Felck. 1, πάλιν ἄλλως. At editio Commel., omisso πάλιν, habet ἄλλοις. Ibidem Regius primus, Seguerianus, Goblerianus et Felckman. 1, Ταὐτὸν γὰρ σημαίνειν ὁ λέγων. Alii autem et editi post σημαίνειν addunt πάλιν.

(10) Reg. 1 et Seguerian., γέγονε, καὶ κτίσμα.

(11) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, οἱ δεῖλαιοι.

(12) Sic Reg. 1 et Seguerian. In Goblerian. et Felc. 1 legitur quoque καὶ θέλησι. Cæteri et editi, ἐπιλανθάτωνται. Πόθεν γὰρ τὸ βουλήσει ἢ θελήσει· ἐκ ποίας.

(13) Goblerian. et Felck. 1, διὰ δὲ Ἰωάννου· Ἐν ἀρχῇ ἦν ὁ Λόγος· καὶ πάλιν Δαβὶδ, ὅτι παρὰ σοί, etc. Ibidem Reg. 1 et Seguerian. καὶ Δαβὶδ δέ. Alii et editi, καὶ ὁ Δαβὶδ δέ. Mox Reg. 1, Seguer. Felc. 2 et editio Commel. πηγὴ ζωῆς, ἐν τῷ φωτί. Ibidem. uterque Regius, Seguer. et Felc. 5, ὅ τε Ἀπόστολος. Goblerian. et Felc. 1, καὶ Παῦλος· Ὁ ὢν ἀπαύγασμα. Alii et editi, ὅτι ὁ Ἀπόστολος, etc. Mox Gobler. et Felc. primus, καὶ, Ὃς ἐν μορφῇ.

(14) Reg. 1 ὁ omittit. Ibidem pro ζυγούς. Cottelerius, in notis ad Patres primi sæculi pag. 311, suspicatur legendum συζύγους, ut habet Epiphanius hæresi 33. Verum integra stat sententia cum voce ζυγούς, ideoque retinenda, cum ita legatur in mss. omnibus. Item iSid. Reg. 1, Anglic. et Felc. 5, τὸν

δύο ζυγοὺς ἔχειν τὸν ἀγέννητον, ἔννοιαν καὶ θέλησιν· καὶ πρῶτον ἐνενόησεν, εἶτα ἠθέλησε· καὶ ἅπερ ἐνενόει, οὐκ ἠδύνατο προβάλλειν (15), εἰ μὴ ὅτε καὶ ἡ τοῦ θελήματος δύναμις ἐπεγένετο. Ἔνθεν οἱ Ἀρειανοὶ μαθόντες, θέλημα καὶ βούλησιν προηγεῖσθαι θέλουσι τοῦ Λόγου. Ἐκεῖνοι μὲν οὖν τὰ Οὐαλεντίνου ζηλούτωσαν· ἡμεῖς δὲ, ἐντυχόντες (16) τοῖς θείοις λόγοις, ἐπὶ μὲν τοῦ Υἱοῦ τὸ, ἦν, εὕρομεν· καὶ αὐτὸν μόνον ἠκούσαμεν ὄντα ἐν τῷ Πατρὶ, καὶ εἰκόνα τοῦ Πατρός· ἐπὶ δὲ μόνων τῶν γενητῶν, ἐπεὶ καὶ τῇ φύσει οὐκ ἦν ποτε ταῦτα, ἀλλ' ἐπιγέγονε, προηγουμένην βούλησιν καὶ θέλησιν ἀνέγνωμεν, τοῦ Δαβὶδ ψάλλοντος ἐν μὲν τῷ (17) ἑκατοστῷ δεκάτῳ τρίτῳ ψαλμῷ οὕτως· Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ πάντα (18), ὅσα ἠθέλησεν, ἐποίησεν· ἐν δὲ τῷ ἑκατοστῷ δεκάτῳ· Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ· καὶ πάλιν ἐν τῷ ἑκατοστῷ τριακοστῷ τετάρτῳ· Πάντα, ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ καὶ (19) ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Εἰ μὲν οὖν ἔργον καὶ ποίημα, καὶ εἷς τῶν πάντων ἐστὶ, λεγέσθω καὶ αὐτὸς βουλήσει γενόμενος (20)· οὕτω γὰρ ἐδειξεν ἡ Γραφὴ τὰ ποιήματα γίγνεσθαι. Καὶ Ἀστέριος δὲ ὁ συνήγορος τῆς αἱρέσεως, τούτῳ συντιθέμενος, οὕτως γράφει· « Εἴτε γὰρ ἀνάξιον τοῦ Δημιουργοῦ τὸ θέλοντα ποιεῖν, ἐπὶ πάντων ὁμοίως ἀνηρήσθω τὸ θέλειν, ἵνα ἀκέραιον (21) αὐτῷ σώζηται τὸ ἀξίωμα· εἴτε προσῆκον τῷ Θεῷ τὸ βούλεσθαι, καὶ ἐπὶ τοῦ πρώτου γεννήματος ὑπαρχέτω τὸ κρεῖττον. Οὐ γὰρ δὴ δυνατὸν ἑνί τε καὶ τῷ αὐτῷ Θεῷ τὸ θέλειν ἐπὶ τῶν ποιουμένων (22) ἁρμόττειν, καὶ τὸ μὴ βούλεσθαι προσήκειν. » Πλείστην ὅσην ἀσέβειαν ἐν τοῖς ῥήμασιν ἑαυτοῦ συνθεὶς ὁ σοφιστὴς, ὅτι τέ τὸ γέννημα καὶ τὸ ποίημα ταὐτόν ἐστι, καὶ εἷς ἐκ πάντων τῶν ὄντων (23) γεννημάτων ἐστὶν ὁ Υἱὸς, εἰς τοῦτο συνέκλεισεν, ὅτι τὰ ποιήματα βουλήματι καὶ θελήματι προσήκει λέγειν.

A lemæus Valentini discipulus docuit (24) non facto duo esse paria, cogitationem scilicet et voluntatem, primumque cogitasse, deinde voluisse, nec quæ cogitaverit potuisse proferre, nisi cum voluntatis virtus accessisset. Hinc certe suam doctrinam mutuati, Ariani, voluntatem et arbitrium Verbo volunt antecedere. Verum illi quidem Valentini propugnent errores: nos autem qui divina evolvimus oracula, dictionem, *erat*, de Filio scriptam invenimus, 483 audivimusque solum eum in Patre esse et Patris imaginem esse. Didicimus vero solis rebus factis voluntatem et arbitrium antecedere, quippe cum illæ natura aliquando non essent. Hæc nos docet David psalmo centesimo decimo tertio, ubi ita canit: *Deus autem noster in cælo, et in terra omnia quæcunque voluit fecit*, [95]: et centesimo decimo psalmo: *Magna opera Domini, exquisita in omnes voluntates ejus* [96]: et psalmo centesimo tricesimo quarto: *Omnia quæcunque voluit Dominus fecit in cælo et in terra, in mari et in omnibus abyssis* [97]. Itaque si opus ille est et res facta atque unus ex omnibus, ipse quoque voluntate factus dicatur: ita enim opera fieri docet Scriptura. Ipse etiam Asterius, hæresis patronus, huic sententiæ assentitur sic scribens: « Nam si Creatore indignum est eum volentem agere, ejus ergo voluntas ab omnibus similiter amoveatur, ut integra illi servetur dignitas. Sin vero Deo velle convenit, sit igitur etiam in primogenito id quod præstantius est. Nec enim potest fieri ut uni eidemque Deo conveniat velle et nolle in rerum procreatione. » Quibus sophista verbis summam complexus impietatem, cum nempe rem factam et genitam confundit. Filiumque unam esse ex omnibus rebus genitis asseverat, postea concludit congruenter dici opera voluntate et arbitrio facta esse.

[95] Psal. cxiii, 11. [96] Psal. cx, 2. [97] Psal. cxxxiv, 6.

ἀγέννητον. Alii et editio Commel., τὸν ἀγέννητον Ibidem rursus Reg. 1 sic habet, Ἔννοιαν καὶ θέλησιν νόει, οὐκ ἠδύνατο.

(15) Regius primus et Seguer., προβάλλειν. Gobl. Felc. 1 et Anglican., προσαλεῖν, ut et emendatum est in Basil. Sic item habet Epiphanius hæresi 33. Irenæus lib. 1 *Contra hæreses* cap. 5, verbum, *emittere*, hic usurpat. Felc. 2 et editio Commel., παραβαλεῖν, ut et prima manu legebatur in Basiliensi. Reg. 2 et Felc. 5, παραγαγεῖν, Mox Reg. 1, Seguer. Anglic. Gobler. et Felc. 1, δύναμις ἐπεγένετο, ut et habet Epiphanius. Hæc sunt item Irenæi verba, *cum autem voluntatis virtus advenit*. Editi aliique, δύναμις ἐγίνετο. Ibidem Regius primus et Seguer., Ἔνθεν οἱ Ἀρειανοί. Goblerian. et Felc. 1, Ἔνθεν καὶ οἱ. Cæteri et editi, Ὅθεν καὶ οἱ.

(15) Regius primus et Seguer., ἐντυχόντες. Alii et editi, ἐντυγχάνοντες. Ibidem Regius primus, τοῖς θείοις λογίοις. Mox post ἠκούσαμεν, Felckm. 2 et editio Commel., omittant ὄντα, quod in aliis mss. legitur.

(17) Sic primus codex Regius et Seguer. At alii et editi, τοῦ μὲν Δαοὶδ ψάλλοντος ἐν τῷ. Ibidem Regius secundus, Basiliensis et Felc. 5, δεκάτῳ τρίτῳ· Regius primus et Seguer. ριγ'. Editio Commel. et Parisiensis, τρισκαιδεκάτῳ. Edit. autem Coloniensis nulla, ut solet, autoritate, habet, πεντεκαιδεκάτῳ. Ibidem pro ψάλλοντος, Goblerian. et Felc. 1 habent λέγοντος, iidemque οὕτως omittunt. Regius primus et Seguer. ibidem, Ὁ δὲ Θεός. In aliis et editis δέ deest·

(18) Sic uterque Regius, Seguer. Gobler. et Felc. primus. At alii et editi omittunt πάντα. Mox πάλιν abest a Gobler. et Felc. 1.

(19) Καί abest a Reg. 1 et Seguer. qui iidem ibid. et Reg. 2 habent καὶ ἐν πάσαις ταῖς. Alii et editi, καὶ ἐν ταῖς.

(20) Reg. 1, Seguer. Gobler. et Felc. 1, γενόμενος. Alii et editi, γιγνόμενος. Mox Gobler. et Felc. 1 καὶ omittunt ante Ἀστέριος.

(21) Reg. 1, Seguer. Gobler. et Felc. 1, Ἵνα καὶ ῥᾷον.

(22) Felc. 2 et editi πραττομένων. Cæteri autem mss., ποιουμένων. Paulo post Reg. 1, et Seguer., ῥήμασιν ἑαυτοῦ. Alii editique, ῥήμασιν αὐτοῦ.

(23) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. In aliis autem et editis deest ὄντων. Angl. ibid., γενημάτων. Ibidem Reg. 1 et Seguer., εἰς τοῦτο. Alii mss., εἰς τοσοῦτον. Mox Reg. 1 et Seguer., βουλήσει καὶ θελήματι.

(24) Vide Irenæum libro 1, *Contra hæreses*, cap. 6, et Epiphanium hæresi XXXIII.

61. Itaque si Filius alius est a rebus omnibus, A uti antea probatum est, potiusque opera per eum facta sunt; absit ut voluntate dicatur exstitisse, ne ipse eodem modo fiat, quo ea, quæ per ipsum facta sunt, prodierunt. Namque Paulus per voluntatem Dei apostolus postea factus est [98], cum id antea non esset. Vocatio item nostra, cum aliquando non fuerit, nunc autem facta sit, antecedentem habet Dei voluntatem, et, ut idem Paulus loquitur [99], secundum propositum ejus voluntatis facta est. Præterea, quod per Moysem dicitur, *Fiat lux* [1], et, *Producat terra* [2], et, *Faciamus hominem* [3], signa reor esse, quemadmodum supra dictum est, voluntatis Creatoris. Nam ea quidem, quæ aliquando non erant, sed extrinsecus postea fiunt, facere Creator deliberat: cum autem Verbum suum ex seipso B natura gignit, præviam nullam adhibet deliberationem. Siquidem in eo Pater alia, quæcunque producere statuit, facit et creat: uti nos etiam Jacobus apostolus his verbis docet, *Volens genuit nos Verbo veritatis* [4]. Itaque Dei voluntas, quæ sive illos qui regenerantur, sive ea quæ semel fiunt spectat, in Verbo est, in quo res, prout sibi placuerit, facit et regenerat, ut Apostolus ad Thessalonicenses his verbis scribit, *Hæc est enim voluntas Dei in Christo Jesu erga vos* [5]. Porro si is, in quo res Deus facit, idem est in quo ejus voluntas est; si item in Christo voluntas Patris est: qui fieri potest ut ipse voluntate et **484** arbitrio factus sit? Nam si ipse secundum vos voluntate factus est, necesse est ut voluntas eum creandi in alio quodam verbo, per quod et ipse fiat, constituatur. Siquidem ostendi- C mus Dei voluntatem non in rebus quæ fiunt, sed in illo esse per quem et in quo res fiunt. Præterea quandoquidem idem est dicere voluntate aliquem factum esse, et fuisse aliquando cum non esset; satis illis sit affirmare fuisse aliquando cum non esset, ut pudore suffusi, quod hujusmodi Verbis tempora significentur, intelligant se, cum Filius voluntate factum esse dicunt, tempora similiter ante Filium exstitisse significare. His enim, quæ aliquando non fuerunt, ut omnibus rebus creatis, omnino antecedit deliberatio. Si vero Verbum rerum creatarum est opifex, atque una cum Patre exsistit: qui illi, qui ab æternitate existit, quasi ipse antea non

61. Οὐκοῦν εἰ ἄλλος ἐστι τῶν πάντων ὥσπερ καὶ ἐν τοῖς (24*) πρὸ τούτων ἐδείχθη, καὶ μᾶλλον τὰ ἔργα δι' αὐτοῦ γέγονε, μὴ λεγέσθω βουλήσει, ἵνα μὴ καὶ αὐτὸς οὕτως γίνηται, ὥσπερ καὶ τὰ δι' αὐτοῦ γενόμενα σνέστη. Καὶ γὰρ ὁ μὲν Παῦλος, οὐκ ὢν πρότερον, ὕστερον ὅμως διὰ θελήματος Θεοῦ ἀπόστολος γέγονεν· ἡ δὲ κλῆσις ἡμῶν, ὡς ποτε καὶ αὐτὴ, μὴ οὖσα, νῦν δὲ ἐπιγενομένη, προηγουμένην ἔχει τὴν βούλησιν (25), καὶ ὡς αὐτὸς πάλιν ὁ Παῦλός φησι, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ γέγονε. Τό τε (25*) διὰ Μωσέως λεγόμενον, Γενηθήτω φῶς, καὶ, Ἐξαγαγέτω ἡ γῆ, καὶ, Ποιήσωμεν ἄνθρωπον, ἡγοῦμαι (26), καθὰ καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται, τῆς βουλήσεως τοῦ ποιοῦντος εἶναι τοῦτο σημαντικόν. Τὰ μὲν γὰρ μὴ ὄντα ποτὲ, ἀλλ' ἔξωθεν ἐπιγινόμενα, ὁ Δημιουργὸς βουλεύεται ποιῆσαι (27)· τὸν δὲ ἴδιον Λόγον ἐξ αὐτοῦ φύσει γεννώμενον οὐ προβουλεύεται· ἐν τούτῳ γὰρ ὁ Πατὴρ τὰ ἄλλα, ὅσα βουλεύεται, ποιεῖ, καὶ δημιουργεῖ ἐν τούτῳ· καθὼς καὶ Ἰάκωβος ὁ ἀπόστολος διδάσκων ἔλεγε· Βουληθεὶς ἀπεκύησεν ἡμᾶς Λόγῳ ἀληθείας. Οὐκοῦν ἡ περὶ πάντων τῶν τε ἀναγεννωμένων (28) καὶ τῶν ἅπαξ γινομένων τοῦ Θεοῦ βούλησις ἐν τῷ Λόγῳ ἐστὶν, ἐν ᾧ καὶ τὰ δόξαντα ποιεῖ καὶ ἀναγεννᾷ. Καὶ τοῦτο γὰρ πάλιν (29) ὁ Ἀπόστολος σημαίνει, γράφων εἰς Θεσσαλονίκην· Τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς (30). Εἰ δὲ, ἐν ᾧ ποιεῖ, ἐν αὐτῷ καὶ ἡ βούλησίς ἐστι, καὶ ἐν Χριστῷ ἐστι τὸ θέλημα τοῦ Πατρός· πῶς δύναται καὶ αὐτὸς ἐν βουλήσει (31) καὶ θελήματι γίνεσθαι; Εἰ γὰρ καὶ αὐτὸς ἐν βουλήσει καθ' ὑμᾶς γέγονεν, ἀνάγκη καὶ τὴν περὶ αὐτοῦ βούλησιν ἐν ἑτέρῳ τινὶ λόγῳ συνίστασθαι, δι' οὗ καὶ αὐτὸς γίνεται· δέδεικται γὰρ ἡ τοῦ Θεοῦ βούλησις οὐκ ἐν τοῖς γινομένοις οὖσι, ἀλλ' ἐν τῷ δι' οὗ καὶ ἐν ᾧ γίνεται τὰ ποιήματα πάντα (32). Ἔπειτα ἐπειδὴ ταὐτόν ἐστιν εἰπεῖν βουλήσει, καὶ, Ἦν ποτε ὅτε οὐκ ἦν, ἀρκείσθωσαν τῷ λέγειν, Ἦν ποτε ὅτε οὐκ ἦν· ἵνα, αἰσχυνόμενοι διὰ τὸ ἐκ τούτου χρόνους (33) σημαίνεσθαι, γνῶσιν, ὅτι καὶ βουλήσει λέγοντες χρόνους πρὸ Υἱοῦ σημαίνουσι· τῶν γάρ ποτε μὴ ὄντων προηγεῖται τὸ βουλεύεσθαι (34), ὡς ἐπὶ πάντων τῶν κτισμάτων. Εἰ δὲ ὁ Λόγος τῶν μὲν κτισμάτων ἐστὶ δημιουργὸς, τὸς δὲ συνυπάρχει τῷ Πατρί· πῶς δύναται τοῦ ἀϊδίως ὄντος, ὡς μὴ ὄντος, προηγεῖσθαι τὸ βουλεύεσθαι; Εἰ γὰρ προηγεῖται βουλὴ, πῶς δι' αὐτοῦ τὰ πάντα;

[98] I Cor. 1, 1. [99] Ephes. 1, 5. [1] Gen. 1, 3. [2] ibid. 11. [3] ibid. 26. [4] Jac. 1, 18. [5] I Tess. v, 17.

(24) Sic Reg. 1 et Seguer. At alii et editi, ὥσπερ οὖν ἐν τοῖς. Infra, post ὥσπερ, deest καί in Reg. 1 et Seguer.

(25) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At in aliis et editis deest τήν.

(25*) Regius primus et Seguer., Τὸ δέ.

(26) Gobler. et Felc. 1, ἡγούμεθα.

(27) Sic primus codex Regius et Seguer. hic et paulo post, iidemque mox γεννώμενον. Alii autem et editi, βουλεται et γεννῶν

(28) Reg. 1, Seguer. Gobler. et Felc. 1, τῶν ἀναγ. Alii et editio Commel., τῶν τε ἀναγ.

(29) Regius primus et Seguerian., Καὶ τοῦτο γὰρ πάλιν. In aliis et editis deest γάρ.

(30) Reg. 2, εἰς ἡμᾶς Cæteri mss. et editio Commel. εἰς ὑμᾶς. Ibid. Felc. 5, Εἰ οὖν ἐν ᾧ ποιεῖ.

(51) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. In Reg. 2, Basil. et Felc. 5, habetur quoque γίνεσθαι. Alii et editi, ἐν θελήσει καὶ βουλήματι γενέσθαι. Ibidem Reg. 1 et Seguer., ἐν βουλήσει. Editi aliique, ἐν βουλήματι.

(32) Πάντα abest a Reg. 1 et Seguer. et ἔπειτα a Gobler. et Felc 1.

(33) Sic Regius primus, Seguerian. Goblerian. et Felc. 1. At Felc. 5, ἐκ τοῦ χρόνους. Cæteri et editi, ἐκ τοῦ χρόνου. Ibidem Reg. 1, Seguer. Gobler. et Felc. 1, ὅτι καὶ βουλήσει. In aliis et editis καί deest,

(34) Regius primus et Seguer. hic et paulo post, βουλεύεσθαι. Alii et editi, βούλεσθαι.

Μᾶλλον γὰρ εἷς τῶν πάντων (35) ἐστὶ βουλήσει καὶ αὐτὸς ἀποκυηθεὶς Υἱός, ὥσπερ καὶ ἡμεῖς Λόγῳ ἀληθείας γεγόναμεν υἱοί· καὶ λοιπὸν ἡμᾶς ἀνάγκη ζητεῖν, ὥσπερ εἴρηται, ἄλλον Λόγον, δι' οὗ καὶ οὗτος γέγονε, καὶ ἀπεκυήθη μετὰ πάντων, ὧν ἠθέλησεν ὁ Θεός.

A fuisset, queat deliberatio antecedere? Si enim antecedit deliberatio, quomodo per ipsum omnia facta sunt? Quin potius ipse quoque Filius inter res omnes numerandus erit, utpote voluntate procreatus, quemadmodum et nos Verbo veritatis facti sumus filii; ac proinde necesse est, uti dictum est, aliud quæramus Verbum, per quod istud quoque sit factum, et cum omnibus, quæ Deus producere voluit, procreatum.

62. Εἰ μὲν οὖν ἐστιν ἕτερος τοῦ Θεοῦ Λόγος, ἔστω καὶ οὗτος Δόγῳ γεγονώς· εἰ δὲ μὴ ἔστιν ἄλλος (οὐκ ἔστι γάρ), ἀλλὰ πάντα δι' αὐτοῦ γέγονεν, ἅπερ ὁ Πατὴρ βεβούληται (36)· πῶς οὐ δείκνυται τούτων πολυκέφαλος πανουργία; Ὅτι καταισχυνθέντες ἐπὶ τῷ λέγειν ποίημα καὶ κτίσμα, καὶ, Οὐκ ἦν πρὶν γεννηθῇ ὁ τοῦ Θεοῦ Λόγος, ἄλλως πάλιν κτίσμα λέγουσιν αὐτὸν εἶναι, βούλήσιν προβαλλόμενοι καὶ λέγοντες· Εἰ μὴ βουλήσει γέγονεν, οὐκοῦν ἀνάγκῃ καὶ μὴ θέλων ἔσχεν ὁ Θεὸς Υἱόν. Καὶ τίς ὁ τὴν ἀνάγκην ἐπιβαλὼν αὐτῷ, πονηρότατοι, καὶ (37) πάντα πρὸς τὴν αἵρεσιν ἑαυτῶν ἕλκοντες; Τὸ μὲν γὰρ ἀντικείμενον τῇ βουλήσει ἑωράκασι· τὸ δὲ μεῖζον καὶ ὑπερκείμενον οὐκ ἐθεώρησαν. Ὥσπερ γὰρ ἀντίκειται τῇ βουλήσει τὸ παρὰ γνώμην, οὕτως ὑπέρκειται καὶ προηγεῖται τοῦ βουλεύεσθαι (38) τὸ κατὰ φύσιν. Οἰκίαν μὲν οὖν τις βουλευόμενος κατασκευάζει, υἱὸν δὲ γεννᾷ κατὰ φύσιν· καὶ τὸ μὲν βουλήσει κατασκευαζόμενον ἤρξατο γίνεσθαι, καὶ ἔξωθέν ἐστι τοῦ ποιοῦντος· ὁ δὲ υἱὸς ἴδιόν ἐστι τῆς οὐσίας τοῦ πατρὸς γέννημα, καὶ οὐκ ἔστιν ἔξωθεν αὐτοῦ (39)· διὸ οὐδὲ βουλεύεται περὶ αὐτοῦ, ἵνα μὴ καὶ περὶ ἑαυτοῦ δοκῇ βουλεύεσθαι. Ὅσῳ οὖν τοῦ κτίσματος ὁ υἱὸς ὑπέρκειται, τοσούτῳ καὶ τῆς βουλήσεως τὸ κατὰ φύσιν· καὶ ἔδει αὐτοὺς, ἀκούοντας, οὐ βουλήσει λογίζεσθαι τὸ κατὰ φύσιν. Οἱ δὲ ἐπιλαθόμενοι (40), ὅτι περὶ Υἱοῦ Θεοῦ ἀκούουσι, τολμῶσιν ἀνθρωπίνας ἀντιθέσεις λέγειν ἐπὶ Θεοῦ, ἀνάγκην (41) καὶ παρὰ γνώμην, ἵνα τὸ εἶναι Υἱὸν ἀληθινὸν ἀρνήσωνται τοῦ Θεοῦ· ἐπεὶ εἰπάτωσαν ἡμῖν αὐτοί· Τὸ ἀγαθὸν εἶναι καὶ οἰκτίρμονα τὸν Θεὸν ἐκ βουλήσεως πρόσεστιν αὐτῷ, ἢ οὐ βουλήσει (42); Εἰ μὲν οὖν ἐκ βουλήσεως, σκοπεῖν δεῖ, ὅτι ἤρξατο μὲν εἶναι ἀγαθὸς, καὶ τὸ μὴ εἶναι δὲ αὐτὸν ἀγαθὸν (43) ἐνδεχόμενόν ἐστι. Τὸ γὰρ βουλεύεσθαι καὶ προαιρεῖσθαι εἰς ἑκάτερα τὴν ῥοπὴν ἔχει, καὶ λογικῆς φύσεώς ἐστι τοῦτο πάθος (44). Εἰ δὲ διὰ τὸ ἐκ τούτων ἄτοπον οὐκ ἐκ βουλήσεως ἀγαθὸς καὶ οἰκτίρμων ἐστὶν, ἀκου-

62. Si igitur est aliud Dei Verbum: concedo Verbum Verbo esse factum. At si aliud nullum est, uti se res habet, sed omnia per ipsum facta sunt, quæ Pater fieri voluit: annon inde liquet multiformem esse illorum versutiam? Namque veriti Verbum Dei factum et creatum dicere, vel non fuisse priusquam genitum est, ipsum alia ratione creatum esse conantur ostendere, cum voluntatis nomen prætendunt, et hæc dictitant: Si voluntate non factum est, ergo necessitate et nolens Deus Filium habuit. Ecquis igitur necessitatem illi potest imponere, o sceleratissimi, qui omnia ad vestram hæresim attrahitis? Scilicet viderunt quidem quod voluntati opponitur: at quod majus et superius est, minime intellexerunt. Ut enim voluntati opponitur id quod est præter mentem: sic deliberationi antecellit et præit id quod ex natura est. Itaque domum quisque deliberans ædificat, sed filium ex natura gignit: unde id quidem quod voluntate ædificatur, fieri incipit, atque aliunde quam ab architecto est; at filius proprius est naturæ patris fetus, neque aliunde quam ab ipso est: quapropter nec de illo deliberat, ne etiam de se ipse deliberare videatur. Quanto igitur filius re creata superior est, tanto etiam id, quod ex natura est, rei illi præstat quæ est ex voluntate. Certe æquum erat eos his auditis id quod ex natura est voluntati non ascribere. Illi vero obliti sermonem hic esse de Filio Dei, humanas oppositiones, necessitatem scilicet et quod præter mentem est, in Deum inducunt, ut videlicet verum Dei Filium esse infitientur. Cæteroquin nobis ipsi respondeant: Deum bonum et misericordem esse, num ipsi ex voluntate est vel non ex voluntate? Si ex voluntate; ergo cœpit bonus esse, fierique potest ut bonus non sit. Siquidem deliberandi et eligendi facultas utramque in partem propendendi vim habet, estque rationalis

B

C

(35) Reg. 1 Seguer., τῶν πάντων, et mox, ἀποκυηθεὶς Υἱός. Alii et editi, τῶν ἀπάντων, et, ἀποκυηθεὶς ὁ Υἱός.

(36) Gobler. et Felc. 1, βούληται.

(37) Regius primus, Seguer. Gobler. et Felc. 1, καὶ omittunt. Paulo post, Reg. 1 et Seguerian., οὐκ ἐθεώρησαν. Alii et editi, οὐ τεθεωρήκασιν.

(38) Regius primus et Seguerianus, βουλεύεσθε. Cæteri et editi, βούλεσθαι. Ibidem Reg. 1 et Seguer., Οἰκίαν μὲν οὖν τίς βουλευόμενος. Gobler. et Felc. 1 Οἰκίαν μὲν βουλόμενος οὗτος. Alii et editi, Οἰκίαν γοῦν τις βουλόμενος.

(39) Gobler. et Felc. 1, ἔξωθεν περὶ αὐτοῦ. Mox iidem et Reg. 1 ac Seguer., ἵνα μὴ καὶ περὶ ἑαυτοῦ. Alii autem et editio Commel., ἵνα μηδὲ περὶ ἑαυτοῦ.

D

(40) Sic Reg. 1 et Seguer. At alii et editi, ἐπιλανθανόμενοι. Ibid. mss., περὶ Υἱοῦ Θεοῦ. In editione Commel. deest Θεοῦ.

(41) Sic Reg. 1 et Seguerianus. At alii et editi, ἀνάγκῃ.

(42) Sic uterque Regius, Seguer. Anglic. Gobler. Felc. 1 et 5. In aliis et editis deest βουλήσει.

(43) Αὐτόν abest a Reg. 1 et Seguerian. Mox iidem et Reg. 2, Τὸ γὰρ βουλεύεσθαι. Cæteri et editi, Τὸ γὰρ βούλεσθαι.

(44) Sic primus codex Regius et Seguerian. Alii autem et editi, τὸ πάθος τοῦτο. Paulo post Reg. 1 et Seguerian., ἀκουέτωσαν. Cæteri et editi, ἀκουσάτωσαν.

485 naturæ affectio. Quod si, quia id absurdum sit, dici non potest Deus ex voluntate misericors et bonus esse, audiant quid ex ipsorum verbis sequatur : ergo necessitate et nolens bonus est. Quis igitur necessitatem Deo imposuit? Quod si perabsurdum est necessitatem Deo attribuere, proindeque dicendus est natura esse bonus: multo magis et verius fatendum est natura non voluntate Patrem Filii esse.

A σάτωσαν ἅπερ εἰρήκασιν αὐτοί· οὐκοῦν ἀνάγκῃ καὶ μὴ θέλων ἐστὶν ἀγαθός. Καὶ τίς ὁ τὴν ἀνάγκην ἐπιβαλὼν αὐτῷ; Εἰ δὲ ἄτοπόν (45) ἐστι λέγειν ἐπὶ Θεοῦ ἀνάγκην, καὶ διὰ τοῦτο φύσει ἀγαθός ἐστιν· εἴη ἂν πολλῷ μᾶλλον καὶ ἀληθέστερον τοῦ Υἱοῦ φύσει καὶ οὐκ ἐκ βουλήσεως Πατήρ.

63. Id præterea nobis velim edisserant (nam ad illorum contundendam impudentiam, eos rursus placet interrogare, audacius quidem, sed tamen tuendæ piæ fidei gratia; tu autem, Domine, mihi sis, quæso, propitius): Num Pater prius deliberavit, deinde postea quam voluit, ita exsistit, vel num antequam deliberaret? Par est enim eos qui talia B de Filio non dubitant dicere, eadem de Patre audire, ut intelligant se sua hac temeritate ipsum quoque Patrem impetere. Quod si hanc suam de voluntate sententiam propugnare ipsi deliberantes et statuentes, Patrem ex voluntate exstitisse responderint: quid igitur erat antequam deliberaret, vel quid amplius habuit, uti vos dicitis, postquam deliberavit? Quod si absurda et valde futilis est hujusmodi quæstio (nec ista fas est omnino dicere, cum satis sit vel solum nomen Dei audire ut sciamus et intelligamus eum esse qui est), annon pariter absurdum est talia de Dei Verbo cogitare, voluntatemque et arbitrium nobis objectare? Siquidem satis est vel solum Verbi nomen audire, ad sciendum et percipiendum Deum, qui non ex voluntate exsistit, nec C item voluntate sed natura proprium habere Verbum. Annon porro omnem insaniam is superat qui vel cogitet Deum deliberare, consultare, eligere, seque ipsum ad volendum adhortari, ut non sine Verbo et Sapientia sit, sed ut Verbum et Sapientiam habeat? Namque de seipso consultare videtur, qui de eo quod suæ naturæ proprium est deliberat. Cum igitur valde impia sit hujusmodi sententia, congruenter pietati dicendum est res quidem factas, Dei proposito et voluntate esse procreatas, Filium vero non voluntatis opus esse, ut res creatas, sed natura proprium esse substantiæ fetum. Cum enim

63. Εἰπάτωσαν δὲ πάλιν ἡμῖν καὶ τοῦτο (πρὸς γὰρ τὴν ἀναισχυντίαν αὐτῶν ἐρώτησιν αὐτοῖς ἐπαγαγεῖν ἔτι βούλομαι (46), τολμηροτέραν μὲν, βλέπουσαν δὲ ὅμως εἰς εὐσέβειαν· ἱλάσθητι, Δέσποτα)· Ὁ Πατὴρ αὐτὸς, βουλευσάμενος πρότερον, εἶτα θελήσας, οὕτως ὑπάρχει (47), ἢ καὶ πρὸ τοῦ βουλεύσασθαι; Χρὴ γὰρ, καὶ περὶ τοῦ Λόγου τοιαῦτα τολμῶντας αὐτοὺς, τοιαῦτα καὶ ἀκούειν, ἵνα γνῶσιν, ὅτι ἡ τοιαύτη αὐτῶν προπέτεια καὶ εἰς αὐτὸν τὸν Πατέρα φθάνει. Ἐὰν μὲν οὖν εἴπωσιν, ἅπαξ βουλευσάμενοι περὶ βουλήσεως, ὅτι καὶ αὐτὸς ἐκ βουλήσεως· τί οὖν ἦν πρὸ τοῦ (48) βουλεύσασθαι, ἢ τί πλέον ἔσχεν, ὡς ὑμεῖς λέγετε, μετὰ τὸ βουλεύσασθαι; Εἰ δὲ ἄτοπος καὶ ἀσύστατός ἐστιν ἡ τοιαύτη ἐρώτησις, καὶ οὐ θέμις ὅλως τοιαῦτα λέγειν (ἀρκεῖ γὰρ καὶ μόνον ἀκούοντας ἡμᾶς περὶ Θεοῦ εἰδέναι καὶ νοεῖν, ὅτι αὐτός ἐστιν ὁ ὤν), πῶς οὐκ ἄλογον (49) ἂν εἴη περὶ τοῦ Λόγου τοῦ Θεοῦ τοιαῦτα ἐνθυμεῖσθαι, καὶ βούλησιν. καὶ θέλησιν προβάλλεσθαι; Ἀρκεῖ γὰρ καὶ μόνον ἀκούοντας ἡμᾶς καὶ περὶ τοῦ Λόγου εἰδέναι καὶ νοεῖν, ὅτι ὁ μὴ ἐκ (50) βουλήσεως ὑπάρχων Θεὸς οὐ βουλήσει, ἀλλὰ φύσει τὸν ἴδιον ἔχει Λόγον. Πῶς δὲ οὐχ ὑπερβάλλει πᾶσαν μανίαν, τὸ καὶ μόνον ἐνθυμεῖσθαι, ὅτι αὐτὸς ὁ Θεὸς βουλεύεται (51) καὶ σκέπτεται, καὶ προαιρεῖται, καὶ θέλειν ἑαυτὸν προτρέπεται, ἵνα μὴ ἄλογος καὶ ἄσοφος ᾖ, ἀλλὰ Λόγον καὶ Σοφίαν ἔχῃ (52); Περὶ ἑαυτοῦ γὰρ δοκεῖ σκέπτεσθαι ὁ περὶ τοῦ ἰδίου τῆς οὐσίας ἑαυτοῦ βουλευόμενος. Πολλῆς τοίνυν δυσφημίας οὔσης ἐν τῇ τοιαύτῃ φρονήσει, εὐσεβῶς ἂν λεχθείη, ὅτι τὸ μὲν γενητὰ εὐδοκίᾳ καὶ βουλήσει γέγονεν, ὁ δὲ Υἱὸς οὐ θελήματός ἐστι δημιούργημα (53) ἐπιγεγονώς, καθάπερ ἡ κτίσις, ἀλλὰ φύσει τῆς οὐσίας ἴδιον γέννημα. Καὶ γὰρ ἴδιος ὢν Λόγος τοῦ Πατρὸς (54), οὐκ ἐξ πρὸ ἑαυτοῦ λογίσασθαί τινα βά-

(45) Reg. 1 et Seguerian., ἄτοπον. Alii et editi, ἄλογον.

(46) Gobler. et Felc. 1, αὐτὸς ἐπάγειν βούλομαι. Reg. 1, et Seguerian. ibid., ἐπαγαγεῖν. Alii et editi, ἐπάγειν.

(47) Sic mss. omnes. Editi vero, ὑπάρχειν. Ibid. Reg. 1 Seguerian. Goblerian. et Felc. 1, πρὸ τοῦ βουλεύσηται. Reg. 1 et Seguer. item ibid., Χρὴ γὰρ περὶ τοῦ. Item Goblerian. et Felck. 1, ibid., τολμᾷν αὐτούς.

(48) Sic Regius primus et Seguerianus. At Reg. 2, Basil. Goblerian. Felc. 1 et 5, τί οὖν πρὸ τοῦ. Alii et editi, τι ἦν πρὸ τοῦ. Ibidem Regius primus, Seguerian. Goblerian. et Felc. 1, βουλεύσηται.

(49) Regius primus, Seguer. Gobler. et Felc. 1, πῶς οὐκ ἄλογον. Ibid. Reg. 1 et Seguer., ἂν εἴν περὶ τοῦ. Alii et editi, πῶς οὖν οὐκ ἄλογον ἂν εἴη καὶ περὶ τοῦ.

(50) Regius primus, Seguer., ὅτι μὴ ἐκ.

(51) Uterque Regius et Seguerianus, βουλεύεται. Alii et editi, βούλεται.

(52) Reg. 1, Seguerian. Goblerian. et Felckm. 1 ἔχῃ. Alii et editi, σχῇ. Mss. ibid., περὶ ἑαυτοῦ. Editio Commel., περὶ αὐτοῦ. Mox uterque Regius et Seguer., οὐσίας αὐτοῦ. Ibidem Basil., βουλευσάμενος.

(53) Uterque Regius, Seguer. Basil. et Felck. 5, ἐστι δημιούργημα. Ibidem uterque Reg. et Seguer., ἐπιγεγονώς. Cæteri et editi, ἐστι τὸ δημιούργημα ἐπιγεγονός.

(54) Regius primus, Seguer. Basil., ὢν Λόγος. Alii et editi, ὢν ὁ Λόγος. Mox Reg. 1, Seguerian. Goblerian. et Felc. 1, πρὸ ἑαυτοῦ. Cæteri et editi, πρὸ αὐτοῦ.

Λησιν, αὐτὸς ὢν βουλὴ ζῶσα τοῦ Πατρὸς, καὶ (55) δύναμις, καὶ δημιουργὸς τῶν δοκούντων τῷ Πατρί. Καὶ ταῦτα αὐτὸς ἐν ταῖς Παροιμίαις περὶ ἑαυτοῦ φησιν· Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ὡς γὰρ αὐτὸς ὢν ἡ φρόνησις, ἐν ᾗ τοὺς οὐρανοὺς ἡτοίμασε (56), καὶ αὐτὸς ὢν ἰσχὺς καὶ δυναμις· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· νῦν παρακλίνων εἶπεν, Ἐμὴ φρόνησις, καὶ ἐμὴ ἰσχύς· οὕτω λέγων. Ἐμὴ βουλὴ, αὐτὸς ἂν εἴη τοῦ Πατρὸς ἡ ζῶσα βουλὴ, καθὼς καὶ παρὰ τοῦ προφήτου μεμαθήκαμεν, ὅτι αὐτὸς τῆς μεγάλης βουλῆς Ἄγγελος γίνεται, καὶ θέλημα τοῦ Πατρὸς αὐτὸς ἐκλήθη. Χρὴ γὰρ οὕτω διελέγχειν αὐτοὺς (57), ἀνθρώπινα περὶ τοῦ Θεοῦ διανοουμένους.

A sit proprium Patris Verbum, non sinit aliquam ante se cogitari voluntatem, utpote cum ipse sit vivens Patris consilium et virtus, eorumque effector quæ Patri placent, quemadmodum de se ipse in Proverbiis ait, *Meum est consilium et securitas, mea est prudentia, mea est fortitudo* [6]. Ut enim quatenus est prudentia in qua cœlos præparavit [7], et ut item quatenus est fortitudo et virtus (nam *Christus Dei virtus* [8] *et Dei sapientia*), nunc paulum variato loquendi modo dixit, *Mea est prudentia, et mea est fortitudo:* ita cum dixit, *Meum est consilium*, se Patris vivens esse consilium significat, quemadmodum etiam a propheta didicimus, eum magni consilii angelum fieri [9], et **486** voluntatem Patris appellatum esse. Scilicet ita eos æquum est refellere qui humana de Deo cogitant.

64. Οὐκοῦν εἰ καὶ ποιήματα βουλήσει καὶ εὐδοκίᾳ ὑπέστη, καὶ ἡ κτίσις πᾶσα θελήματι γέγονεν (58)· ὅ τε Παῦλος διὰ θελήματος Θεοῦ ἀπόστολος ἐκλήθη, καὶ ἡ κλῆσις ἡμῶν εὐδοκίᾳ καὶ θελήματι γέγονε, πάντα δὲ διὰ τοῦ Λόγου γέγονεν· ἐκτός ἐστιν οὗτος τῶν βουλήσει γεγονότων, καὶ μᾶλλον αὐτός ἐστιν ἡ ζῶσα βουλὴ τοῦ Πατρὸς, ἐν ᾗ ταῦτα πάντα γέγονεν· ἐν ᾗ καὶ ὁ ἅγιος Δαβὶδ εὐχαριστῶν ἔλεγεν ἐν τῷ ἑβδομηκοστῷ δευτέρῳ ψαλμῷ· Ἐκράτησας (59) τῆς χειρὸς τῆς δεξιᾶς μου· καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με. Πῶς οὖν δύναται βουλὴ καὶ θέλημα τοῦ Πατρὸς ὑπάρχων ὁ Λόγος γίνεσθαι καὶ αὐτὸς θελήματι καὶ βουλήσει, ὡς (60) ἕκαστος, εἰ μὴ, καθὰ προεῖπον, μανέντες πάλιν εἴπωσιν αὐτὸν δι' ἑαυτοῦ γεγονέναι, ἢ δι' ἑτέρου τινός; Τίς οὖν ἐστι, δι' οὗ γέγονε; Πλασάσθωσαν ἕτερον Λόγον, καὶ ἅτε Οὐαλεντίνου ζηλώσαντες, Χριστὸν ἕτερον ὀνομασάτωσαν· οὐ γὰρ γέγραπται. Ἀλλὰ κἂν πλάσωνται, πάντως κἀκεῖνος διά τινος γίνεται· καὶ λοιπὸν οὕτως ἐπιλογιζομένων ἡμῶν, καὶ ἀνακρινόντων τὴν ἀκολουθίαν (61), εὑρίσκεται τῶν ἀθέων ἡ πολυκέφαλος αἵρεσις εἰς πολυθεότητα πίπτουσα καὶ ἄμετρον μανίαν, ἐν ᾗ κτίσμα καὶ ἐξ οὐκ ὄντων θέλοντες εἶναι τὸν Υἱὸν, ἑτέρως τὰ αὐτὰ (62) σημαίνουσι, βούλησιν καὶ θέλησιν προβαλλόμενοι, ἃ μάλιστα ἐπὶ τῶν γενητῶν (63) καὶ κτιστῶν ταῦτα εὐλόγως ἂν λέγοιτο. Πῶς οὖν οὐκ ἀσεβὲς τὰ τῶν γενητῶν ἐπὶ τὸν Δημιουργὸν ἀναφέρειν (64); Ἢ πῶς οὐ βλάσφημον λέγειν βούλησιν πρὸ τοῦ Λόγου

64. Itaque si res factæ voluntate ac proposito conditæ sunt: si universa creata natura voluntate facta est: si item Paulus per Dei voluntatem vocatus est Apostolus [10]: si denique nostra vocatio proposito et voluntate est facta [11]; omnia autem per Verbum facta sunt: haud dubie ipsum Verbum extra eorum numerum est quæ voluntate facta sunt, vel potius vivens est Patris consilium, in quo omnia illa facta sunt; in quo et sanctus David psalmo septuagesimo secundo gratias his verbis agebat, *Tenuisti manum dexteram meam, et in consilio tuo deduxisti me* [12]. Qui igitur fieri potest ut Verbum, quod consilium et voluntas Patris est, ipsum quoque voluntate et arbitrio sit productum, uti res aliæ singulæ? nisi forte, ut jam dixi, rursus insanientes contendant ipsum per seipsum vel per aliquid aliud esse factum. Quid nam ergo tandem illud est per quod factum est? Aliud illi confingant Verbum, et Valentini commenta amplexati (65), Christum alium nominent. Nihil enim ejusmodi habent Scripturæ. Verum si alium ipsi excogitaverint, certe ille quoque per aliquem fieri dicendus erit: atque adeo nobis ita ratiocinantibus, quidque ex illorum sententia sequatur excutientibus, multiformis esse deprehenditur impiorum hæresis, quæ et deorum inducit multitudinem, et in summam incidit insaniam, qua Filium et creatum et ex nihilo esse pugnantes, hanc suam impietatem aliis verbis con-

[6] Prov. VIII, 14. [7] Prov. III, 19. [8] I Cor. I, 24. [9] Isa. IX, 6. [10] I Timoth. I, 1. [11] Ephes. I, 5. [12] Psal. LXXII, 24.

(55) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. In aliis et editione Commel. καί deest.

(56) Sic primus codex Regius, Seguerian. Gobler. et Felc. 1. At alii et editi, ἐποίησε. Mox Reg. 1 et Seguer. omittunt. καὶ Θεοῦ σοφία.

(57) Sic primus codex Regius et Seguerian. At alii et editi, αὐτὸς ὁ τῆς μεγάλης. Paulo post Reg. 1 et Seguerian., διελέγχειν τοὺς ἀνθρώπινα.

(58) Sic Reg. 1, Seguer. Anglic. Gobl. et Felc. 1, ut et Nannius legit. Cæteri autem et editio Commel., γέγονε· πάντα δὲ διὰ τοῦ Λόγου γέγονεν, omissis intermediis.

(59) Gobl. et Felc. 1, ὡς Λαβὶδ εὐχαριστῶν φησι. Ἐκράτησας.

(60) Sic Reg. primus et Seguer. Habetur item in Gobler. et Felc. 1, ὡς ἕκαστος, εἰ μή. Editi, Πῶς οὖν

D βουλὴ καὶ θέλημα τοῦ Πάτρὸς ὑπαρχων ὁ Λογος δύναται γίγνεσθαι καὶ αὐτὸς βουλήσει καὶ θελήσει; ἐκτὸς εἰ μή.

(61) Regius primus et Seguerianus τὴν ἀκολουθίαν. Alii et editi, τὴν ἀλήθειαν.

(62) Regius primus, Seguer. Gobler. et Felc. 1, ταῦτα.

(63) Felckm. 5, hic et paulo post, γεννητῶν. Mox Reg. 1, λέγοιτο. Seguerian., λέγοιντο. Alii et editi γένοιτο.

(64) Regius primus, Seguer. Gobler. et Felc. 1, ἀναφέρειν. Cæteri et editi, μεταφέρειν. Paulo post uterque Regius, Seguer. Basil. et Anglic., εἶναι ἐν τῷ Πατρί. Alii et editi, εἶναι ἐν Θεῷ Πατρί.

(65) Vide Irenæum lib. I *Adversus hæreses*, cap. 1, et Epiphanium hæresi XXXI.

tegunt, cum voluntatis et arbitrii prætendunt nomina, quæ quidem, cum de factis et creatis rebus sermo est, recte adhibentur. Annon ergo impium est ea, quæ rerum factarum propria sunt, ipsi ascribere Creatori? Annon nefas dictu est voluntatem ante Verbum in Patre esse? Si enim voluntas in Patre præcedit, non ergo verum dicit Filius cum ait, *Ego in Patre* [13]; aut si ipse quoque in Patre est, certe secundus in illo esse existimabitur, nec eum convenit dicere, *Ego in Patre*, cum voluntas in qua omnia facta sunt, et in qua ipse secundum vos fuit productus, prior ipso sit. Nam etiamsi gloria differat, nihilominus unus est ex his quæ voluntate efficiuntar. Porro, ut ante diximus, si ita se res habet, quare igitur ille Dominus est, res autem aliæ in servorum numero habentur? Nimirum Dominus ille est, quia Patris dominationi est unitus: res autem creatæ in servorum sunt numero, quia extra Patris unitatem exsistunt, et factæ sunt cum aliquando non essent.

A εἶναι ἐν τῷ Πατρί; Εἰ γὰρ προηγεῖται βούλησις ἐν τῷ Πατρὶ, οὐκ ἀληθεύει λέγων ὁ Υἱός, Ἐγὼ ἐν τῷ Πατρί· ἢ εἰ καὶ αὐτὸς (66) ἐν τῷ Πατρί ἐστιν, ἀλλὰ δεύτερος λογισθήσεται, καὶ οὐκ ἔπρεπε λέγειν αὐτὸν, Ἐγὼ ἐν τῷ Πατρὶ, οὔσης βουλήσεως πρὸ αὐτοῦ, ἐν ᾗ τὰ πάντα γέγονε (67), καὶ αὐτὸς ὑπέστη καθ' ὑμᾶς. Κἂν γὰρ τῇ δόξῃ διαφέρῃ, ἀλλ' οὐδὲν ἧττον εἷς ἐστι τῶν ἐκ βουλήσεως γινομένων. Ὡς δὲ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, εἰ οὕτως ἐστὶ, πῶς ὁ μὲν Κύριος, τὰ δὲ δοῦλα; Πάντων (68) δὲ Κύριος τυγχάνει οὗτος, ὅτι τῇ τοῦ Πατρὸς κυριότητι ἥνωται· καὶ πάντως ἡ κτίσις δούλη, ἐπεὶ ἐκτὸς τῆς τοῦ Πατρὸς ἑνότητός B ἐστι, καὶ οὐκ οὖσά ποτε γέγονε (69).

65. Certe cum Filium volunt voluntate factum esse, quidni etiam prudentia factum esse asseverent? Nam idem esse arbitror voluntatem et prudentiam. De quo enim quis consultat, hoc idem prudentia perpendit: vicissimque, quod quis prudentia perpendit, de hoc eodem consultat et deliberat. Hinc illa Salvator mutua inter se ratione veluti germana simul his verbis copulavit: *Meum est consilium et securitas, mea est prudentia, mea est fortitudo* [14]. Nam ut fortitudo et securitas idem est, cum eadem sit virtus et potentia: ita idem est prudentia et consilium, quæ ipse **487** Dominus est. At nolunt impii Filium Verbum et vivens consilium esse: sed prudentiam, consilium et sapientiam velut habitum quemdam Deo, humano more, modo adesse, modo abesse fingunt, omnemque lapidem C movent, ac Valentini prætendunt cogitationem et voluntatem, ea tantum mente ut Filium separent a Patre, nec proprium illum Patris Verbum sed rem creatam esse fateantur. Hæc itaque illos audire convenit similia his, quæ olim ad Simonem Magum dicta sunt [15]: Impietas Valentini vobiscum sit in interitum! Quisque autem Salomoni potius credat Verbum sapientiam et prudentiam esse dicenti, cujus hæc nimirum sunt verba: *Dominus sapientia fundavit terram, et cœlos in prudentia paravit* [16]. Ut vero hic cœlos in prudentia, ita in Psalmis: *Verbo*

65. Ἔδει δὲ αὐτοὺς, λέγοντας βουλήσει τὸν Υἱὸν, εἰπεῖν, ὅτι καὶ φρονήσει γέγονε· ταὐτὸν γὰρ ἡγοῦμαι φρόνησιν (70) καὶ βούλησιν εἶναι. Ὁ γὰρ βουλεύεταί τις, τοῦτο πάντως καὶ φρονεῖ· καὶ ὃ φρονεῖ, τοῦτο καὶ βουλεύεται. Αὐτὸς γοῦν (71) ὁ Σωτὴρ ὡς ἀδελφὰ ταῦτα τῇ ἀναλογίᾳ συνῆψεν ἅμα λέγων· Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ὡς γὰρ ἰσχὺς καὶ ἀσφάλεια ταὐτόν ἐστιν, ἡ αὐτὴ γὰρ δύναμίς ἐστιν· οὕτω ταὐτόν ἐστιν εἰπεῖν τὴν φρόνησιν καὶ τὴν βουλὴν (72) εἶναι, ἅπερ ἐστὶν ὁ Κύριος. Ἀλλ' οἱ ἀσεβεῖς οὐ θέλουσι μὲν Λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱόν· περὶ δὲ τὸν Θεὸν φρόνησιν καὶ βουλὴν καὶ σοφίαν ὡς ἔξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν ἀνθρωπίνως γίνεσθαι μυθολογοῦσι, καὶ πάντα κινοῦσι, καὶ τὴν Οὐαλεντίνου ἔννοιαν καὶ θέλησιν προβάλλονται, ἵνα μόνον διαστήσωσι τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, καὶ μὴ εἴπωσιν ἴδιον αὐτὸν τοῦ Πατρὸς εἶναι Λόγον, ἀλλὰ κτίσμα. Ἐκεῖνοι μὲν οὖν ἀκουέτωσαν, ὡς Σίμων ὁ Μάγος ἤκουσεν· Ἡ ἀσέβεια Οὐαλεντίνου σὺν ὑμῖν εἰη εἰς ἀπώλειαν! Ἕκαστος δὲ Σολομῶνι (73) μᾶλλον πειθέσθω λέγοντι αὐτὸν εἶναι σοφίαν καὶ φρόνησιν τὸν Λόγον. Φησὶ γάρ· Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν (74)· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει (75)· ὡς δὲ ὧδε ἐν φρονήσει, οὕτως ἐν Ψαλμοῖς· Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. Ὡς δὲ τῷ Λόγῳ οἱ οὐρανοὶ, οὕτω πάντα, ὅσα (76) ἠθέλησεν, ἐποίησε· καὶ ὡς ὁ Ἀπο-

[13] Joan. XIV, 10. [14] Prov. VIII, 14. [15] Act. VIII, 20. [16] Prov. III, 19.

(66) Felc. 2 et editi, ἢ εἰ μὴ αὐτός. Alii mss., ἢ εἰ καὶ αὐτός. Mox Reg. 1, Seg., λογισθήσεται. Cæteri et editi, νομισθήσεται.

(67) Sic Reg. 1 et Seguer. At alii et editi, ἐν ᾗ πάντα. Paulo post Reg. 1, Seguer. Gobl. et Felc. 1 τῶν ἐκ βουλήσεως γινομένων, ubi alii et editi γενομένων.

(68) Sic prrimus codex Regius et Seguer. In Anglic. habetur item πάντων, ut et Nannius legerat. Goblerian. et Felc. 1, τὰ δὲ δοῦλα τυγχάνει; οὗτος, ὅτι. Cæteri autem et editi sic habent: τὰ δὲ δοῦλα τυγχάνει; Πάντως δὲ Κύριος οὗτος, etc.

(69) Reg. 1, Seguer., γέγονεν. Editi et alii, ἐπιγέγονεν.

(70) Regius primus, Seguer, Gobler. et Felc. 1, φρόνημα. Iidem mox, τοῦτο πάντως καὶ φρονεῖ. Alii D et editi, τοῦτο καὶ φρονεῖ.

(71) Regius primus. Seguer. Gobler. et Felc. 1, γοῦν, et mox, ταῦτα τῇ ἀναλογίᾳ συνῆψεν, Alii et editi οὖν, et, ταῦτα συνῆψεν

(72) Regius primus et Seguer. hic et paulo post. βουλήν. Cæteri et editi, βούλησιν.

(73) Sic Reg. 1. Seguer. Basil. Gobler. et Felck. 1. At alii et editio Commeliniana, Σαλομῶνι·

(74) Goblerianus et Felckmanni primus, τῇ σοφίᾳ ᾠκοδόμησεν, ἤγουν ἐθεμελίωσε τὴν γῆν.

(75) Sic Reg. 1, Seguer. Anglic. atque ita legit Nannius. Goblerianus et Felckmanni primus, φρονήσει. Καὶ Δαβὶδ, Τῷ Λόγῳ. Alii et editio Commeliniana, φρονήσει οὕτως ἐν Ψαλμοῖς, Τῷ Λόγῳ.

(75) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. At cæteri et editi, ἐστερεώθησαν· οὕτω

στολος γράφει Θεσσαλονικεῦσι· Τὸ θέλημα τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ ἐστιν. Ὁ ἄρα τοῦ Θεοῦ Υἱὸς, αὐτός ἐστιν ὁ Λόγος καὶ ἡ σοφία, αὐτὸς ἡ φρόνησις καὶ ἡ ζῶσα βουλὴ· καὶ ἐν αὐτῷ τὸ θέλημα τοῦ Πατρός ἐστιν· αὐτὸς ἀλήθεια, καὶ φῶς, καὶ δύναμις τοῦ Πατρός ἐστιν. Εἰ δὲ ἡ βούλησις τοῦ Θεοῦ, ἡ σοφία ἐστὶ καὶ ἡ φρόνησις, ὁ δὲ Υἱός ἐστιν ἡ σοφία ὁ ἄρα λέγων (77) βουλήσει τὸν Υἱὸν ἴσον λέγει τῷ τὴν Σοφίαν ἐν Σοφίᾳ γεγονέναι, καὶ τὸν Υἱὸν ἐν Υἱῷ πεποιῆσθαι, καὶ διὰ τοῦ Λόγου τὸν Λόγον ἐκτίσθαι. Τοῦτο δὲ καὶ τῷ Θεῷ μάχεται, καὶ ταῖς παρ' αὐτοῦ (78) Γραφαῖς ἐναντιοῦται· καὶ γὰρ καὶ ὁ Ἀπόστολος οὐ βουλήσεως, ἀλλα αὐτῆς τῆς πατρικῆς (79) οὐσίας ἴδιον ἀπαύγασμα καὶ χαρακτῆρα τὸν Υἱὸν κηρύττει, λέγων· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Εἰ δὲ, ὡς προειρήκαμεν, (80), ἐκ βουλήσεως οὐκ ἔστιν ἡ πατρικὴ οὐσία καὶ ὑπόστασις, εὔδηλον, ὡς οὔτε τὸ ἴδιον τῆς πατρικῆς ὑποστάσεως ἐκ βουλήσεως ἂν εἴη. Ὁποία γὰρ ἦ καὶ ὡς ἐὰν ᾖ ἡ μακαρία (81) ἐκείνη ὑπόστασις, τοιοῦτον καὶ οὕτως εἶναι καὶ τὸ ἴδιον ἐξ αὐτῆς γέννημα δεῖ. Καὶ αὐτὸς γοῦν ὁ Πατὴρ οὐκ εἶπεν· Οὗτός ἐστιν ὁ βουλήσει μου γεγονὼς Υἱὸς, οὐδὲ, Ὃν κατ' εὐδοκίαν ἔσχον Υἱόν· ἀλλ' ἁπλῶς, Ὁ Υἱός μου (82), καὶ μᾶλλον, Ἐν ᾧ ηὐδόκησα· δεικνὺς ἐκ τούτων, ὅτι, Φύσει μὲν οὗτός ἐστιν Υἱὸς, ἐν αὐτῷ δὲ τῶν ἐμοὶ δοκούντων ἡ βούλησις ἀπόκειται.

A *Domini firmatus esse* [17] dicitur. Ut porro Verbo cœli firmati sunt, sic quæcunque voluit fecit [16], et ut Apostolus ad Thessalonicenses scribit, *Voluntas Dei in Christo Jesu est* [19]. Igitur Dei Filius ipse est Verbum et sapientia, ipse prudentia et vivens est consilium, atque in eo voluntas Patris est. Ipse veritas, lux et virtus est Patris. Quod si voluntas Dei est sapientia et prudentia, si item Filius ipsa sit sapientia: igitur qui contendit Filium voluntate factum esse, idem omnino est ac si diceret Sapientiam in Sapientia factam esse, et Filium in Filio esse effectum, ac Verbum per Verbum creatum esse; quæ utique Deo divinisque ejus Scripturis maxime repugnant. Enimvero Apostolus Filium non voluntatis, sed proprium paternæ naturæ splendorem et figuram esse his verbis prædicat: *Qui cum*
B *sit splendor gloriæ et figura substantiæ ejus* [20]. Si ergo, ut supra diximus, paterna natura et substantia ex voluntate non est, liquet neque id, quod paternæ substantiæ proprium est, ex voluntate esse posse. Siquidem qualis cujusvemodi fuerit beata illa natura, talem et ejusmodi necesse est esse proprium ex ipsa ortum fetum. Hinc Pater non dixit: Hic est voluntate mea factus Filius, neque, Quem meo arbitrio habui Filium, sed simpliciter, *Filius meus*, et potius, *In quo mihi complacui* [21]; quorum quidem verborum significatio ejusmodi est: Hic est natura Filius, in quo omnium quæ mihi placent voluntas reposita est.

66. Ἆρ' οὖν ἐπεὶ φύσει καὶ μὴ ἐκ βουλήσεώς ἐστιν ὁ Υἱὸς, ἤδη καὶ ἀθέλητός ἐστι τῷ Πατρὶ, καὶ μὴ βουλομένου τοῦ Πατρός ἐστιν ὁ Υἱός; Οὐμενοῦν· ἀλλὰ καὶ
C θελόμενός ἐστιν (83) ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ, ὡς αὐτός φησιν, Ὁ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ. Ὡς γὰρ τὸ εἶναι (84) ἀγαθὸς οὐκ ἐκ βουλήσεως μὲν ἤρξατο, οὐ μὴν ἀβουλήτως καὶ ἀθελήτως ἐστὶν ἀγαθός· ὃ γάρ ἐστι, τοῦτο καὶ θελητόν ἐστιν αὐτῷ· οὕτω καὶ τὸ εἶναι τὸν Υἱὸν, εἰ καὶ μὴ ἐκ βουλήσεως ἤρξατο, ἀλλ' οὐκ ἀθέλητον, οὐδὲ παρὰ γνώμην ἐστὶν αὐτῷ. Ὥσπερ γὰρ τῆς ἰδίας ὑποστάσεώς ἐστι θελητὴς, οὕτω καὶ ὁ Υἱὸς, ἴδιος ὢν αὐτοῦ τῆς οὐσίας, οὐκ ἀθέλητός ἐστιν αὐτῷ. Θελέσθω καὶ φιλείσθω τοίνυν ὁ Υἱὸς παρὰ τοῦ Πατρός· καὶ οὕτω τὸ θέλειν καὶ

66. Num ergo, quia ex natura non autem ex voluntate sit Filius, præter voluntatem Patris et nolente Patre est Filius? Minime vero. Sed potius Pater vult Filium, atque, ut ipse loquitur, *Pater diligit Filium, et omnia ostendit illi* [22]. Ut enim non ex voluntate bonus esse cœpit, nec tamen contra mentem et sententiam est bonus; namque hoc ipse vult quod est: ita licet Filius ex voluntate esse non inceperit, non tamen præter voluntatem et mentem Patris est. Nam quemadmodum suam vult ipse substantiam, sic cum Filius proprius sit ejus naturæ, non præter voluntatem ejus est. Filium ergo velit et diligat Pater, eaque ratione pie quis cogitet Deum non nolle, sed velle. Etenim Filius ea-

[17] Psal. xxxii, 6. [18] Psal. cxxxiv, 6. I [19] Thessal. v, 18. [20] Hebr. i, 3. [21] Matth. iii, 17. [22] Joan. iii, 35.

πάντα ὅσα. Ibidem post ἠθέλησεν, Regius primus et Seguerianus omittunt ὁ Κύριος, quod in aliis et in editis legitur.

D

(77) Sic primus codex Reg. Seguer. Anglic. Gobler. et Felckm. 1, atque ita legit Nannius. Alii et editio Commeliniana, ὅρα μὴ ὁ λέγων.

(70) Reg. 1, Seguer. Basil. et Anglic., παρ' αὐτοῦ. Cæteri et editi, παρ' αὐτῳ. Mox Regius primus et Seguerianus, καὶ γὰρ καὶ ὁ Ἀπόστολος. Alii et editi, καί posterius omittunt.

(79) Sic Regius primus et Seguerianus. At alii et editi, τῆς οὐσίας τῆς πατρικῆς. Mox Regius primus et Seguerianus, τὸν Υἱὸν κηρύττει. Cæteri et editi τὸν Κύριον κηρύττει.

(80) Sic Reg. 1, Seguer. Gobler. et Felckm. 1. At alii et editi, ὡς προεῖπον. Ibidem Regius primus et Seguerianus, ἐκ βουλήσεως οὐκ ἔστιν. Basil. Gobler. Felckm. 1 et Reg. 2, οὐκ ἐκ βουλησεώς ἐστιν Alii et editi, οὐ βουλήσεώς ἐστι. Mox Reg. 1. Seguer. Gobler. et Felckm. 1, ὡς οὔτε. Reg. 2, Basil. Anglic. Felckm. 1 et 5, ὡς οὐδέ. Cæteri et editi, ὅτι οὐδέ.

(81) Sic uterque Reg. Seguer. Basil. Anglican. Felckm. 2 et 5. At Goblerianus et Felckm. 1, Ὁποία γαρ ἂν ᾖ η μακαρία. Cæteri et editi, Ὁποία γὰρ ᾖ καὶ ἕως ἂν ᾖ ἡ μακαρία. Mox Felckmanni secundus et editio Commeliniana omittunt καί post οὕτως εἶναι.

(82) Regius primus et Seguerianuc μου omittunt.

(83) Uterque Regius et Seguerianus, θελόμενός ἐστιν. Alii et editi, στελλόμενός ἐστιν, ut et legit Nannius.

(84) Regius primus et Seguerianus, τὸ εἶναι. Idem ibidem et Regius secundus, οὐκ ἐκ βουλήσεως, ut item legit Nannius. Alii et editi, τοῦ εἶναι ἀγαθὸς ἐκ βουλήσεως μὲν ἤρξατο.

dem voluntate, **448** qua eum vult Pater, Patrem ipse amat, vult et honorat, unaque est voluntas quæ ex Patre in Filio exsistit, ita ut inde Filius in Patre et Pater in Filio conspiciatur. Nemo igitur ex Valentini sententia antecedentem inducat voluntatem, nulliusque deliberationis obtentu seipsum medium inter solum Patrem solumque Filium audeat intrudere. Siquidem insanus ille fuerit qui voluntatem et deliberationem inter Patrem et Filium collocaverit. Enimvero aliud est si dicas, Voluntate factus est, et aliud si dixeris, Eum Pater diligit et vult, utpote qui natura proprius sui sit Filius. Nam qui dixit, Ex voluntate factus est, primo illum aliquando non fuisse significat. Deinde voluntas in utramque partem propendendi vim habet, uti supra dictum est, ac proinde cogitare liceret, Patrem potuisse nolle Filium. Atqui dicere, Filium potuisse non esse, summa certe impietas et audacia est, quæ ipsam Patris naturam lacessat, si nimirum id quod proprium ejus est potuerit non esse. Idem enim est ac si diceretur Patrem potuisse non esse bonum. Verum quemadmodum et semper et natura bonus est Pater, ita semper natura est generans. Hic autem loquendi modus, Pater vult Filium, et, Verbum vult Patrem, non antecedentem denotat voluntatem, sed naturæ germanitatem, essentiæque proprietatem ac similitudinem designat. Ut enim de splendore et luce dici potest: Splendor non habet voluntatem in luce antecedentem, sed est naturalis ejus fetus, quem vult lux a qua gignitur, non voluntatis deliberatione, sed natura et veritate; ita de Patre et Filio recte dici possit: Pater amat et vult Filium, et, Filius amat et vult Patrem.

67. Ne igitur voluntatis opus appelletur Filius, nec Valentini error in Ecclesiam inducatur; sed vivens ille consilium verusque et naturalis Patris fetus esse dicatur, ut lucis splendor. Sic enim Pater ipse est locutus, *Eructavit cor meum Verbum bonum* [23]: cui Filius his verbis concinit, *Ego in Patre, et Pater in me est* [24]. Itaque si Verbum est in corde, ubi est voluntas? Similiter si Filius est in Patre, ubi est arbitrium? Deinde, si ipse est vo-

[23] Psal. XLIV, 2, [24] Joan. XIV, 10.

τὸ μὴ ἀβούλητον τοῦ Θεοῦ τις εὐσεβῶς λογιζέσθω. Καὶ γὰρ ὁ Υἱὸς τῇ θελήσει ᾗ θέλεται (85) παρὰ τοῦ Πατρὸς, ταύτῃ καὶ αὐτὸς ἀγαπᾷ, καὶ θέλει, καὶ τιμᾷ τὸν Πατέρα· καὶ ἓν ἐστι θέλημα τὸ ἐκ Πατρὸς ἐν Υἱῷ, ὡς καὶ ἐκ τούτου θεωρεῖσθαι τὸν Υἱὸν ἐν τῷ Πατρὶ, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ. Μὴ μέντοι κατὰ Οὐαλεντῖνον προηγουμένην τις (86) βούλησιν ἐπεισαγέτω· μηδὲ μέσον τις ἑαυτὸν ὠθείτω τοῦ μόνου Πατρὸς πρὸς τὸν μόνον Λόγον, προφάσει τοῦ βουλεύεσθαι (87). Μαίνοιτο γὰρ ἂν τις μεταξὺ τιθεὶς Πατρὸς καὶ Υἱοῦ βούλησιν καὶ σκέψιν. Καὶ γὰρ ἕτερόν ἐστι λέγειν, Βουλήσει γέγονεν, ἕτερον δὲ, ὅτι Ἴδιον ὄντα φύσει τὸν Υἱὸν αὐτοῦ ἀγαπᾷ καὶ θέλει αὐτόν. Τὸ μὲν γὰρ λέγειν, Ἐκ βουλήσεως γέγονε, πρῶτον μὲν τὸ μὴ εἶναί ποτε τοῦτον σημαίνει· ἔπειτα δὲ, καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν ἔχει, καθάπερ εἴρηται· ὥστε δύνασθαί τινα νοεῖν, ὅτι ἠδύνατο καὶ μὴ βούλεσθαι τὸν Υἱόν. Ἐπὶ Υἱοῦ δὲ λέγειν, Ἠδύνατο καὶ μὴ εἶναι, δυσσεβές ἐστι καὶ φθάνον εἰς τὴν τοῦ Πατρὸς οὐσίαν τὸ τόλμημα· εἴγε τὸ ἴδιον αὐτῆς ἠδύνατο (88) μὴ εἶναι. Ὅμοιον γὰρ ὡς εἰ ἐλέγετο, Ἠδύνατο καὶ μὴ εἶναι ἀγαθὸς ὁ Πατήρ. Ἀλλ' ὥσπερ ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει, οὕτως ἀεὶ γεννητικὸς τῇ φύσει ὁ Πατήρ· τὸ δὲ λέγειν, Ὁ Πατὴρ θέλει τὸν Υἱὸν, καὶ, Ὁ Λόγος θέλει τὸν Πατέρα, οὐ βούλησιν προηγουμένην δείκνυσιν, ἀλλὰ φύσεως γνησιότητα, καὶ οὐσίας ἰδιότητα καὶ ὁμοίωσιν γνωρίζει. Ὡς γὰρ καὶ ἐπὶ τοῦ (89) ἀπαυγάσματος ἄν τις εἴποι καὶ τοῦ φωτὸς, ὅτι τὸ ἀπαύγασμα οὐκ ἔχει μὲν βούλησιν προηγουμένην ἐν τῷ φωτί· ἔστι δὲ φύσει αὐτοῦ γέννημα θελόμενον παρὰ τοῦ φωτὸς του καὶ γεννήσαντος (90) αὐτὸ, οὐκ ἐν σκέψει βουλήσεως, ἀλλὰ φύσει καὶ ἀληθείᾳ· οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὀρθῶς ἂν τις εἴποι, ὅτι ὁ Πατὴρ ἀγαπᾷ καὶ θέλει τὸν Υἱὸν, καὶ ὁ Υἱὸς ἀγαπᾷ καὶ θέλει τόν Πατέρα.

67. Οὐκοῦν μὴ λεγέσθω θελήματος δημιούργημα ὁ Υἱὸς, μηδὲ τὰ (91) Οὐαλεντίνου ἐπεισαγέσθω τῇ Ἐκκλησίᾳ, ἀλλὰ βουλὴ ζῶσα, καὶ ἀληθῶς φύσει γέννημα, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα. Οὕτω γὰρ καὶ ὁ μὲν Πατὴρ εἴρηκεν, Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν· ὁ δὲ Υἱὸς ἀκολούθως, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ ὁ (92) Λόγος ἐν καρδίᾳ, ποῦ ἡ βούλησις; Καὶ εἰ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ποῦ ἡ θέλησις; Καὶ εἰ ἡ βούλησις αὐτὸς, πῶς ἐν βουλήσει

(83) Seguer. Gobler. et Felckm. 1, θελεῖται. Regius primus, τέλυται.

(86) Basil. τήν πέο τις habet. Mox post μέσον. Regius primus et Seguerianus addunt τις, quod in aliis et editis deest.

(87) Uterque Reg. Seguer. Gobler. et Felckm. 1, βουλεύεσθαι. Cæteri et editio Commeliniana, βούλεσθαι.

(88) Sic Reg. 1, Seguer. Gobler. et Felckm. 1. Sed Goblerianus et Felckmanni primus habent ὡς εἰ ἔλεγεν, iidemque et Regius primus, ἠδύνατο. At alii et editi sic hunc locum habent, εἴγε τὸ ἴδιον αὐτῆς λέγοιτο. ἠδύνατο μὴ εἶναι ἀγαθός, etc. Paulo post Regius primus et Seguerianus, ut et legit Nannius, οὕτως ἀεὶ γεννητικὸς τῇ φύσει ὁ Πατήρ. Regius secundus, οὕτω καὶ ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Alii autem et editi, ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. 1, τὸ δὲ λέγειν. At in cæteris et editis deest λέγειν.

(86) Regius primus et Seguerianus, Ὡς γὰρ καὶ ἐπὶ τοῦ. Alii et editi, Ὥσπερ ἐπὶ τοῦ.

(90) Regius primus et Seguerianus, τοῦ καὶ γεννήσαντος. Alii et editi καὶ omittunt Paulo post uterque Regius et Seguerianus ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Cæteri et editi, ἐπὶ τοῦ Πατρός καὶ ἐπὶ τοῦ Υἱοῦ Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. primus, εἴποι, ὅτι. Alii et editi, εἴποι τοῦτο, ὅτι.

(91) Regius primus et Seguerianus, τά. Alii et editi τό. Mox Basil., ἀλλὰ καὶ βουλή.

(92) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. At in aliis et editis ὁ deest.

ἡ βουλή ; Ἄτοπον γάρ· Ἵνα μὴ καὶ ἐν Λόγῳ ὁ Λόγος, καὶ ὁ Υἱὸς ἐν Υἱῷ, καὶ ἡ Σοφία ἐν Σοφίᾳ γίνηται (93), καθάπερ πολλάκις εἴρηται. Πάντα γάρ ἐστιν ὁ Υἱὸς τοῦ Πατρός· καὶ οὐδὲν ἐν τῷ Πατρὶ πρὸ τοῦ Λόγου· ἀλλ' ἐν τῷ Λόγῳ καὶ ἡ βούλησις· καὶ δι' αὐτοῦ τὰ τοῦ βουλήματος εἰς ἔργον τελειοῦται, ὡς ἔδειξαν (94) αἱ θεῖαι Γραφαί. Ἐβουλόμην δὲ τοὺς ἀσεβεῖς οὕτως εἰς ἀλογίαν πεπτωκότας, καὶ περὶ βουλήσεως σκεπτομένους, νῦν ἐρωτῆσαι μηκέτι τὰς τικτούσας αὐτῶν γυναῖκας, ἃς οὗτοι (95) πρότερον ἠρώτων λέγοντες, Εἰ εἶχες υἱὸν, πρὶν γεννήσῃς ; ἀλλὰ τοὺς πατέρας, καὶ εἰπεῖν αὐτοῖς· Πότερον βουλευόμενοι γίνεσθε πατέρες, ἢ κατὰ φύσιν καὶ τῆς ὑμῶν βουλήσεως ; Ἢ τῆς φύσεως καὶ οὐσίας ὑμῶν ἐστιν ὅμοια τὰ τέκνα ; Ἵνα κἂν παρὰ τῶν γονέων ἐντραπῶσι, παρ' ὧν τὸ λῆμμα τῆς γενέσεως ἀπήτησαν, καὶ παρ' ὧν ἤλπισαν ἔχειν τὴν γνῶσιν. Ἀποκριθήσονται γὰρ αὐτοῖς, ὅτι (96) Ἃ γεννῶμεν, οὐ τοῦ θελήματος, ἀλλ' ἡμῶν ἐστιν ὅμοια· οὐδὲ προβουλευσάμενοι γινόμεθα γονεῖς, ἀλλὰ τῆς φύσεως ἰδιόν ἐστι τὸ γεννᾷν· ἐπεὶ καὶ ἡμεῖς τῶν τεκόντων (97) ἐσμὲν εἰκόνες. Ἢ τοίνυν καταγινωσκέτωσαν ἑαυτῶν, καὶ παυέσθωσαν πυνθανόμενοι γυναικῶν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ μανθανέτωσαν παρ' αὐτῶν (98), ὅτι οὐ βουλήσει γεννᾶται ὁ υἱὸς, ἀλλὰ φύσει καὶ ἀληθείᾳ. Πρέπων δὲ καὶ ἁρμόζων τούτοις ὁ ἐξ ἀνθρώπων ἔλεγχος, ἐπειδὴ καὶ ἀνθρώπινα περὶ τῆς θεότητος διαλογίζονται οἱ κακόφρονες. Τί τοίνυν ἔτι (99) μαίνονται οἱ Χριστομάχοι ; Καὶ τοῦτο γὰρ αὐτῶν ὥσπερ οὖν καὶ τὰ ἄλλα προβλήματα δέδεικται καὶ ἠλέγχθη φαντασία καὶ μυθοπλαστία (1) μόνον ὄντα· καὶ διὰ τοῦτο ὀφείλουσι, κἂν ὀψέ ποτε θεωρήσαντες εἰς ὅσον ἀφροσύνης πεπτώκασι κρημνὸν, ἀναδῦναι καὶ φύγειν (2) ἀπὸ τῆς τοῦ διαβόλου παγίδος, νουθετούμενοι παρ' ἡμῶν. Φιλάνθρωπος γὰρ ἡ ἀλήθεια κράζουσα διαπαντός· Εἰ ἐμοὶ μὴ πιστεύετε (3) διὰ τὴν τοῦ σώματος περιβολὴν, κἂν τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε, ὅτι **ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί**· καὶ, Ἐγὼ (4) καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ἀλλ' ὁ μὲν Κύριος συνήθως φιλανθρωπεύεται, καὶ θέλει πάντας ἀνορθοῦσθαι τοὺς κατερράγμένους, ὡς ἡ αἴνεσις λέγει τοῦ Δαβὶδ (5)· οἱ δὲ ἀσεβεῖς οὐ θέλοντες ἀκούειν Κυριακῆς φωνῆς, οὐδὲ φέροντες ὁρᾷν τὸν

luntas, quomodo consilium sive voluntas in voluntate est? Valde enim hoc absurdum est: ne scilicet Verbum in Verbo, Filius in Filio, et Sapientia in Sapientia fieri existimetur, uti sæpius dictum est. Namque Filius omnia ipse est quæ Patris sunt, nihilque ante Verbum est in Patre: sed in Verbo etiam est voluntas, et per ipsum ea, quæ voluntatis sunt, opere perficiuntur, ut ex divina Scriptura didicimus. Vellem vero ut impii qui eo devenerunt amentiæ, et de voluntate disputant, vellem, inquam, ut non jam interrogarent mulieres, quas ita prius percontabantur, Habuistine filium priusquam genuisses? verum patres potius hoc modo interrogent: An deliberando patres efficimini, an vero secundum naturam vestræ etiam voluntatis? An liberi similes sunt vestræ naturæ et substantiæ? Hæc igitur inquirant a parentibus, ut ab his ipsis confutentur, **489** a quibus quæ elicienda esset ex sua de nascendi modo quæstione conclusio tam impense flagitarunt, speraruntque rem ex ipsis plane cognituros. Hæc scilicet illi sunt responsuri: Ea quæ gignimus, non voluntatis sunt, sed nostri sunt similia: neque prius deliberando patres efficimur, sed gignere proprium est naturæ, quandoquidem nos quoque ipsi parentum sumus imagines. Vel ergo seipsos condemnent, et mulieres de Filio Dei desinant interrogare: vel certe ab ipsis discant non voluntate, sed natura et revera filium gigni. Æquum enim est eos argumentis ex hominum natura petitis refelli, qui humana de divinitate improbe cogitant. Quid igitur adhuc insaniunt Christi hostes? Nam hanc illorum rationem ut et alias omnes ostendimus ac convicimus nihil nisi fabulas et mera commenta esse. Sero igitur saltem animadvertant in quantam insipientiæ voraginem seso præcipitaverint, ac nostris monitionibus excitati, tandem inde festinent emergere, seque ex diaboli laqueis expedire. Siquidem benigna est veritas quæ assidue clamat: *Si mihi* ob corporis amictum *non creditis, operibus* saltem *credite, ut cognoscatis, quia ego in Patre, et Pater in me est* [25], et, *Ego et Pater unum sumus* [26], et, *Qui vidit me, vidit Patrem* [27]. Verum Dominus quidem pro more suo clementer

[25] Joan. x, 38. [26] ibid. 30. [27] Joan. xiv, 9.

(93) Sic Regius primus et Seguerianus. At editi, γίνηται.

(94) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. Cæteri autem et editi, ἐδίδαξαν Ibidem Regius primus et Seguerianus, Ἐβουλόμην δὲ τούς. Regius secundus, Ἐβουλόμην οὖν τούς. Alii et editi Ἐβουλόμην τούς.

(95) Primus codex Regius et Seguerianus, ἑαυτῶν γυναῖκας ἃς αὐτοί. Ibidem πότερον abest a Gobleriano et Felckm. primo, pro quo Anglic., πρότερον. Item ibidem Regius primus et Seguerianus, βουλευόμενοι, et mox, καὶ τῆς ὑμῶν. Alii editique, βουλόμενοι. iidemque καί omittunt.

(96) Reg. 1 et Seguer. addunt ὅτι, quod in aliis et editis deest. Ibid. Felc. 2 et editio Commel., οὐ θελήματος ἡμῶν ἐστιν ὅμοια.

(97) Sic Regius primus, Seguerian. Goblerian. et Felc. 1. At alii et editio Commel., τέκνων. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, παυέσθωσαν. Alii et editi, παυσάσθωσαν.

(98) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, καὶ παρ' αὐτῶν.

(99) Ἔτι et mox καί absunt a Reg. 1 et Seguer.

(1) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, μυθοπλασία.

(2) Regius 1, Seguerian., φυγεῖν. Cæteri et editi, φεύγειν.

(3) Regius primus, Seguerian., Εἰ ἐμοὶ μὴ πιστεύετε, et mox, κἂν τοῖς ἔργοις. Gobler. et Felc. 1, item πιστεύετε. Alii et editi, Ἐὰν ἐμοὶ μὴ πιστεύητε, et omittunt κἂν.

(4) Regius primus et Seguer., κἀγώ.

(5) Gobler. et Felc. 1, ὡς αἶνεῖ Δαβίδ.

dem voluntate, 448 qua eum vult Pater, Patrem ipse amat, vult et honorat, unaque est voluntas quæ ex Patre in Filio exsistit, ita ut inde Filius in Patre et Pater in Filio conspiciatur. Nemo igitur ex Valentini sententia antecedentem inducat voluntatem, nulliusque deliberationis obtentu seipsum medium inter solum Patrem solumque Filium audeat intrudere. Siquidem insanus ille fuerit qui voluntatem et deliberationem inter Patrem et Filium collocaverit. Enimvero aliud est si dicas, Voluntate factus est, et aliud si dixeris, Eum Pater diligit et vult, utpote qui natura proprius sui sit Filius. Nam qui dixit, Ex voluntate factus est, primo illum aliquando non fuisse significat. Deinde voluntas in utramque partem propendendi vim habet, uti supra dictum est, ac proinde cogitare liceret, Patrem potuisse nolle Filium. Atqui dicere, Filium potuisse non esse, summa certe impietas et audacia est, quæ ipsam Patris naturam lacessat, si nimirum id quod proprium ejus est potuerit non esse. Idem enim est ac si diceretur Patrem potuisse non esse bonum. Verum quemadmodum et semper et natura bonus est Pater, ita semper natura est generans. Hic autem loquendi modus, Pater vult Filium, et, Verbum vult Patrem, non antecedentem denotat voluntatem, sed naturæ germanitatem, essentiæque proprietatem ac similitudinem designat. Ut enim de splendore et luce dici potest: Splendor non habet voluntatem in luce antecedentem, sed est naturalis ejus fetus, quem vult lux a qua gignitur, non voluntatis deliberatione, sed natura et veritate; ita de Patre et Filio recte dici possit: Pater amat et vult Filium, et, Filius amat et vult Patrem.

67. Ne igitur voluntatis opus appelletur Filius, nec Valentini error in Ecclesiam inducatur; sed vivens ille consilium verusque et naturalis Patris fetus esse dicatur, ut lucis splendor. Sic enim Pater ipse est locutus, *Eructavit cor meum Verbum bonum* [23]: cui Filius his verbis concinit, *Ego in Patre, et Pater in me est* [24]. Itaque si Verbum est in corde, ubi est voluntas? Similiter si Filius est in Patre, ubi est arbitrium? Deinde, si ipse est vo-

[23] Psal. XLIV, 2, [24] Joan. XIV, 10.

A *Domini firmatus esse* [17] dicitur. Ut porro Verbo cœli firmati sunt, sic quæcunque voluit fecit [16], et ut Apostolus ad Thessalonicenses scribit, *Voluntas Dei in Christo Jesu est* [19]. Igitur Dei Filius ipse est Verbum et sapientia, ipse prudentia et vivens est consilium, atque in eo voluntas Patris est. Ipse veritas, lux et virtus est Patris. Quod si voluntas Dei est sapientia et prudentia,si item Filius ipsa sit sapientia: igitur qui contendit Filium voluntate factum esse, idem omnino est ac si diceret Sapientiam in Sapientia factam esse, et Filium in Filio esse effectum, ac Verbum per Verbum creatum esse ; quæ utique Deo divinisque ejus Scripturis maxime repugnant.Enimvero Apostolus Filium non voluntatis, sed proprium paternæ naturæ splendorem et figuram esse his verbis prædicat : *Qui cum* B *sit splendor gloriæ et figura substantiæ ejus* [20]. Si ergo, ut supra diximus, paterna natura et substantia ex voluntate non est, liquet neque id, quod paternæ substantiæ proprium est, ex voluntate esse posse. Siquidem qualis cujusvemodi fuerit beata illa natura, talem et ejusmodi necesse est esse proprium ex ipsa ortum fetum. Hinc Pater non dixit: Hic est voluntate mea factus Filius, neque, Quem meo arbitrio habui Filium, sed simpliciter, *Filius meus*, et potius, *In quo mihi complacui* [21] ; quorum quidem verborum significatio ejusmodi est : Hic est natura Filius, in quo omnium quæ mihi placent voluntas reposita est.

66. Ἆρ' οὖν ἐπεὶ φύσει καὶ μὴ ἐκ βουλήσεώς ἐστιν C ὁ Υἱὸς, ἤδη καὶ ἀθέλητός ἐστι τῷ Πατρὶ, καὶ μὴ βουλομένου τοῦ Πατρός ἐστιν ὁ Υἱός ; Οὐμενοῦν· ἀλλὰ καὶ θελόμενός ἐστιν (83) ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ, ὡς αὐτός φησιν, Ὁ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ. Ὡς γὰρ τὸ εἶναι (84) ἀγαθὸς οὐκ ἐκ βουλήσεως μὲν ἤρξατο, οὐ μὴν ἀβουλήτως καὶ ἀθελήτως ἐστὶν ἀγαθός· ὃ γάρ ἐστι, τοῦτο καὶ θελητόν ἐστιν αὐτῷ· οὕτω καὶ τὸ εἶναι τὸν Υἱὸν, εἰ καὶ μὴ ἐκ βουλήσεως ἤρξατο, ἀλλ' οὐκ ἀθέλητον, οὐδὲ παρὰ γνώμην ἐστὶν αὐτῷ. Ὥσπερ γὰρ τῆς ἰδίας ὑποστάσεώς ἐστι θελητὴς, οὕτω καὶ ὁ Υἱὸς, ἴδιος ὢν αὐτοῦ τῆς οὐσίας, οὐκ ἀθέλητός ἐστιν αὐτῷ. Θελέσθω καὶ φιλεέσθω τοίνυν ὁ Υἱὸς παρὰ τοῦ Πατρός· καὶ οὕτω τὸ θέλειν καὶ

66. Num ergo, quia ex natura non autem ex voluntate sit Filius, præter voluntatem Patris et nolente Patre est Filius? Minime vero. Sed potius Pater vult Filium, atque, ut ipse loquitur, *Pater diligit Filium, et omnia ostendit illi* [22]. Ut enim non ex voluntate bonus esse cœpit, nec tamen contra mentem et sententiam est bonus ; namque hoc ipse vult quod est: ita licet Filius ex voluntate esse non inceperit, non tamen præter voluntatem et mentem Patris est. Nam quemadmodum suam vult ipse substantiam, sic cum Filius proprius sit ejus naturæ, non præter voluntatem ejus est. Filium ergo velit et diligat Pater, eaque ratione pie quis cogitet Deum non nolle, sed velle. Etenim Filius ea-

[17] Psal. xxxii, 6. [18] Psal. cxxxiv, 6. I [19] Thessal. v, 18. [20] Hebr. i, 3. [21] Matth. iii, 17. [22] Joan. iii, 35.

πάντα ὅσα. Ibidem post ἠθέλησεν, Regius primus et Seguerianus omittunt ὁ Κύριος, quod in aliis et in editis legitur. D

(77) Sic primus codex Reg. Seguer. Anglic. Gobler. et Felckm. 1, atque ita legit Nannius. Alii et editio Commeliniana, ὁρα μὴ ὁ λέγων.

(70) Reg. 1, Seguer. Basil. et Anglic., παρ' αὐτοῦ. Cæteri et editi, παρ' αὐτῳ. Mox Regius primus et Seguerianus, καὶ γὰρ καὶ ὁ Ἀπόστολος. Alii et editi, καί posterius omittunt.

(79) Sic Regius primus et Seguerianus. At alii et editi, τῆς οὐσίας τῆς πατρικῆς. Mox Regius primus et Seguerianus, τὸν Υἱὸν κηρύττει. Cæteri et editi τὸν Κύριον κηρύττει.

(80) Sic Reg. 1, Seguer. Gobler. et Felckm. 1. At alii et editi, ὡς προεῖπον. Ibidem Regius primus et Seguerianus, ἐκ βουλήσεως οὐκ ἔστιν. Basil. Gobler. Felckm. 1 et Reg. 2, οὐκ ἐκ βουλήσεώς ἐστιν Alii et editi, οὐ βουλήσεώς ἐστι. Mox Reg. 1. Seguer. Gobler. et Felckm. 1, ὡς οὔτε. Reg. 2, Basil. Anglic. Felckm. 1 et 5, ὡς οὐδέ. Cæteri et editi, ὅτι οὐδέ.

(81) Sic uterque Reg. Seguer. Basil. Anglican. Felckm. 2 et 5. At Goblerianus et Felckm. 1, Ὁποία γαρ ἂν ᾖ η μακαρία. Cæteri et editi, Ὁποία γὰρ ᾖ καὶ ἕως ἂν ᾖ ἡ μακαρία. Mox Felckmanni secundus et editio Commeliniana omittunt καί post οὕτως εἶναι.

(82) Regius primus et Seguerianuc μου omittunt.

(83) Uterque Regius et Seguerianus, θελόμενός ἐστιν. Alii et editi, στελλόμενός ἐστιν, ut et legit Nannius.

(84) Regius primus et Seguerianus, τὸ εἶναι. Idem ibidem et Regius secundus, οὐκ ἐκ βουλήσεως, ut item legit Nannius.Alii et editi, τοῦ εἶναι ἀγαθὸς ἐκ βουλήσεως μὲν ἤρξατο.

dem voluntate, **448** qua eum vult Pater, Patrem ipse amat, vult et honorat, unaque est voluntas quæ ex Patre in Filio exsistit, ita ut inde Filius in Patre et Pater in Filio conspiciatur. Nemo igitur ex Valentini sententia antecedentem inducat voluntatem, nulliusque deliberationis obtentu seipsum medium inter solum Patrem solumque Filium audeat intrudere. Siquidem insanus ille fuerit qui voluntatem et deliberationem inter Patrem et Filium collocaverit. Enimvero aliud est si dicas, Voluntate factus est, et aliud si dixeris, Eum Pater diligit et vult, utpote qui natura proprius sui sit Filius. Nam qui dixit, Ex voluntate factus est, primo illum aliquando non fuisse significat. Deinde voluntas in utramque partem propendendi vim habet, uti supra dictum est, ac proinde cogitare liceret, Patrem potuisse nolle Filium. Atqui dicere, Filium potuisse non esse, summa certe impietas et audacia est, quæ ipsam Patris naturam lacessat, si nimirum id quod proprium ejus est potuerit non esse. Idem enim est ac si diceretur Patrem potuisse non esse bonum. Verum quemadmodum et semper et natura bonus est Pater, ita semper natura est generans. Hic autem loquendi modus, Pater vult Filium, et, Verbum vult Patrem, non antecedentem denotat voluntatem, sed naturæ germanitatem, essentiæque proprietatem ac similitudinem designat. Ut enim de splendore et luce dici potest: Splendor non habet voluntatem in luce antecedentem, sed est naturalis ejus fetus, quem vult lux a qua gignitur, non voluntatis deliberatione, sed natura et veritate; ita de Patre et Filio recte dici possit: Pater amat et vult Filium, et, Filius amat et vult Patrem.

67. Ne igitur voluntatis opus appelletur Filius, nec Valentini error in Ecclesiam inducatur; sed vivens ille consilium verusque et naturalis Patris fetus esse dicatur, ut lucis splendor. Sic enim Pater ipse est locutus, *Eructavit cor meum Verbum bonum* [23]: cui Filius his verbis concinit, *Ego in Patre, et Pater in me est* [24]. Itaque si Verbum est in corde, ubi est voluntas? Similiter si Filius est in Patre, ubi est arbitrium? Deinde, si ipse est vo-

[23] Psal. XLIV, 2, [24] Joan. XIV, 10.

τὸ μὴ ἀβούλητον τοῦ Θεοῦ τις εὐσεβῶς λογιζέσθω. Καὶ γὰρ ὁ Υἱὸς τῇ θελήσει ᾗ θέλεται (85) παρὰ τοῦ Πατρὸς, ταύτῃ καὶ αὐτὸς ἀγαπᾷ, καὶ θέλει, καὶ τιμᾷ τὸν Πατέρα· καὶ ἓν ἐστι θέλημα τὸ ἐκ Πατρὸς ἐν Υἱῷ, ὡς καὶ ἐκ τούτου θεωρεῖσθαι τὸν Υἱὸν ἐν τῷ Πατρὶ, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ. Μὴ μέντοι κατὰ Οὐαλεντῖνον προηγουμένην τις (86) βούλησιν ἐπεισαγέτω· μηδὲ μέσον τις ἑαυτὸν ὠθείτω τοῦ μόνου Πατρὸς πρὸς τὸν μόνον Λόγον, προφάσει τοῦ βουλεύεσθαι (87). Μαίνοιτο γὰρ ἂν τις μεταξὺ τιθεὶς Πατρὸς καὶ Υἱοῦ βούλησιν καὶ σκέψιν. Καὶ γὰρ ἕτερόν ἐστι λέγειν, Βουλήσει γέγονεν, ἕτερον δὲ, ὅτι Ἴδιον ὄντα φύσει τὸν Υἱὸν αὐτοῦ ἀγαπᾷ καὶ θέλει αὐτόν. Τὸ μὲν γὰρ λέγειν, Ἐκ βουλήσεως γέγονε, πρῶτον μὲν τὸ μὴ εἶναί ποτε τοῦτον σημαίνει· ἔπειτα δὲ, καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν ἔχει, καθάπερ εἴρηται· ὥστε δύνασθαί τινα νοεῖν, ὅτι ἠδύνατο καὶ μὴ βούλεσθαι τὸν Υἱόν. Ἐπὶ Υἱοῦ δὲ λέγειν, Ἠδύνατο καὶ μὴ εἶναι, δυσσεβές ἐστι καὶ φθάνον εἰς τὴν τοῦ Πατρὸς οὐσίαν τὸ τόλμημα· εἴγε τὸ ἴδιον αὐτῆς ἠδύνατο (88) μὴ εἶναι. Ὅμοιον γὰρ ὡς εἰ ἐλέγετο, Ἠδύνατο καὶ μὴ εἶναι ἀγαθὸς ὁ Πατήρ. Ἀλλ' ὥσπερ ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει, οὕτως ἀεὶ γεννητικὸς τῇ φύσει ὁ Πατήρ· τὸ δὲ λέγειν, Ὁ Πατὴρ θέλει τὸν Υἱὸν, καὶ, Ὁ Λόγος θέλει τὸν Πατέρα, οὐ βούλησιν προηγουμένην δείκνυσιν, ἀλλὰ φύσεως γνησιότητα, καὶ οὐσίας ἰδιότητα καὶ ὁμοίωσιν γνωρίζει. Ὡς γὰρ καὶ ἐπὶ τοῦ (89) ἀπαυγάσματος ἄν τις εἴποι καὶ τοῦ φωτὸς, ὅτι τὸ ἀπαύγασμα οὐκ ἔχει μὲν βούλησιν προηγουμένην ἐν τῷ φωτί· ἔστι δὲ φύσει αὐτοῦ γέννημα θελόμενον παρὰ τοῦ φωτὸς του καὶ γεννήσαντος (90) αὐτὸ, οὐκ ἐν σκέψει βουλήσεως, ἀλλὰ φύσει καὶ ἀληθείᾳ· οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὀρθῶς ἂν τις εἴποι, ὅτι ὁ Πατὴρ ἀγαπᾷ καὶ θέλει τὸν Υἱὸν, καὶ ὁ Υἱὸς ἀγαπᾷ καὶ θέλει τόν Πατέρα.

67. Οὐκοῦν μὴ λεγέσθω θελήματος δημιούργημα ὁ Υἱὸς, μηδὲ τὰ (91) Οὐαλεντίνου ἐπεισαγέσθω τῇ Ἐκκλησίᾳ, ἀλλὰ βουλὴ ζῶσα, καὶ ἀληθῶς φύσει γέννημα, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα. Οὕτω γὰρ καὶ ὁ μὲν Πατὴρ εἴρηκεν, Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν· ὁ δὲ Υἱὸς ἀκολούθως, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ ὁ (92) Λόγος ἐν καρδίᾳ, ποῦ ἡ βούλησις; Καὶ εἰ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ποῦ ἡ θέλησις; Καὶ εἰ ἡ βούλησις αὐτὸς, πῶς ἐν βουλήσει

(85) Seguer. Gobler. et Felckm. 1, θελεῖται. Regius primus, τέλυται.

(86) Basil. τὴν péo τις habet. Mox post μέσον. Regius primus et Seguerianus addunt τις, quod in aliis et editis deest.

(87) Uterque Reg. Seguer. Gobler. et Felckm. 1, βουλεύεσθαι. Cæteri et editio Commeliniana, βούλεσθαι.

(88) Sic Reg. 1, Seguer. Gobler. et Felckm. 1. Sed Goblerianus et Felckmanni primus habent ὡς εἰ ἔλεγεν, iidemque et Regius primus, ἠδύνατο. At alii et editi sic hunc locum habent, εἴγε τὸ ἴδιον αὐτῆς λέγοιτο. ἠδύνατο μὴ εἶναι ἀγαθός, etc. Paulo post Regius primus et Seguerianus, ut et legit Nannius, οὕτως ἀεὶ γεννητικὸς τῇ φύσει ὁ Πατήρ. Regius secundus, οὕτω καὶ ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Alii autem et editi, ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. 1, τὸ δὲ λέγειν. At in cæteris et editis deest λέγειν.

(86) Regius primus et Seguerianus, Ὡς γὰρ καὶ ἐπὶ τοῦ. Alii et editi, Ὥσπερ ἐπὶ τοῦ.

(90) Regius primus et Seguerianus, τοῦ καὶ γεννήσαντος. Alii et editi καί omittunt Paulo post uterque Regius et Seguerianus ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Cæteri et editi, ἐπὶ τοῦ Πατρός καὶ ἐπὶ τοῦ Υἱοῦ Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. primus, εἴποι, ὅτι. Alii et editi, εἴποι τοῦτο, ὅτι.

(91) Regius primus et Seguerianus, τά. Alii et editi τό. Mox Basil., ἀλλὰ καὶ βουλή.

(92) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. At in aliis et editis ὁ deest.

ἡ βουλή ; Ἄτοπον γάρ· Ἵνα μὴ καὶ ἐν Λόγῳ ὁ Λόγος, καὶ ὁ Υἱὸς ἐν Υἱῷ, καὶ ἡ Σοφία ἐν Σοφίᾳ γίνηται (93), καθάπερ πολλάκις εἴρηται. Πάντα γάρ ἐστιν ὁ Υἱὸς τοῦ Πατρός· καὶ οὐδὲν ἐν τῷ Πατρὶ πρὸ τοῦ Λόγου· αλλ' ἐν τῷ Λόγῳ καὶ ἡ βούλησις· καὶ δι' αὐτοῦ τὰ τοῦ βουλήματος εἰς ἔργον τελειοῦται, ὡς ἔδειξαν (94) αἱ θεῖαι Γραφαί. Ἐβουλόμην δὲ τοὺς ἀσεβεῖς οὕτως εἰς ἀλογίαν πεπτωκότας, καὶ περὶ βουλήσεως σκεπτομένους, νῦν ἐρωτῆσαι μηκέτι τὰς τικτούσας αὐτῶν γυναῖκας, ἃς οὗτοι (95) πρότερον ἠρώτων λέγοντες, Εἰ εἶχες υἱὸν, πρὶν νεννήσῃς ; ἀλλὰ τοὺς πατέρας, καὶ εἰπεῖν αὐτοῖς· Πότερον βουλευόμενοι γίνεσθε πατέρες, ἢ κατὰ φύσιν καὶ τῆς ὑμῶν βουλήσεως ; Ἢ τῆς φύσεως καὶ οὐσίας ὑμῶν ἐστιν ὅμοια τὰ τέκνα ; Ἵνα κἂν παρὰ τῶν γονέων ἐντραπῶσι, παρ' ὧν τὸ λῆμμα τῆς γενέσεως ἀπήτησαν, καὶ παρ' ὧν ἤλπισαν ἔχειν τὴν γνῶσιν. Ἀποκριθήσονται γὰρ αὐτοῖς, ὅτι (96) Ἃ γεννῶμεν, οὐ τοῦ θελήματος, ἀλλ' ἡμῶν ἐστιν ὅμοια· οὐδὲ προβουλευσάμενοι γινόμεθα γονεῖς, ἀλλὰ τῆς φύσεως ἰδιόν ἐστι τὸ γεννᾷν· ἐπεὶ καὶ ἡμεῖς τῶν τεκόντων (97) ἐσμὲν εἰκόνες. Ἢ τοίνυν καταγινωσκέτωσαν ἑαυτῶν, καὶ παυέσθωσαν πυνθανόμενοι γυναικῶν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ μανθανέτωσαν παρ' αὐτῶν (98), ὅτι οὐ βουλήσει γεννᾶται ὁ υἱὸς, ἀλλὰ φύσει καὶ ἀληθείᾳ. Πρέπων δὲ καὶ ἁρμόζων τούτοις ὁ ἐξ ἀνθρώπων ἔλεγχος, ἐπειδὴ καὶ ἀνθρώπινα περὶ τῆς θεότητος διαλογίζονται οἱ κακόφρονες. Τί τοίνυν ἔτι (99) μαίνονται οἱ Χριστομάχοι ; Καὶ τοῦτο γὰρ αὐτῶν ὥσπερ οὖν καὶ τὰ ἄλλα προβλήματα δέδεικται καὶ ἠλέγχθη φαντασία καὶ μυθοπλαστία (1) μόνον ὄντα· καὶ διὰ τοῦτο ὀφείλουσι, κἂν ὀψέ ποτε θεωρήσαντες εἰς ὅσον ἀφροσύνης πεπτώκασι κρημνὸν, ἀναδῦναι καὶ φύγειν (2) ἀπὸ τῆς τοῦ διαβόλου παγίδος, νουθετούμενοι παρ' ἡμῶν. Φιλάνθρωπος γὰρ ἡ ἀλήθεια κράζουσα διαπαντός· Εἰ ἐμοὶ μὴ πιστεύετε (3) διὰ τὴν τοῦ σώματος περιβολὴν, κἂν τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε, ὅτι **ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί**· καὶ, Ἐγὼ (4) καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ἀλλ' ὁ μὲν Κύριος συνήθως φιλανθρωπεύεται, καὶ θέλει πάντας ἀνορθοῦσθαι τοὺς κατερράγμένους, ὡς ἡ αἴνεσις λέγει τοῦ Δαβὶδ (5)· οἱ δὲ ἀσεβεῖς οὐ θέλοντες ἀκούειν Κυριακῆς φωνῆς, οὐδὲ φέροντες ὁρᾷν τὸν

luntas, quomodo consilium sive voluntas in voluntate est? Valde enim hoc absurdum est: ne scilicet Verbum in Verbo, Filius in Filio, et Sapientia in Sapientia fieri existimetur, uti sæpius dictum est. Namque Filius omnia ipse est quæ Patris sunt, nihilque ante Verbum est in Patre: sed in Verbo etiam est voluntas, et per ipsum ea, quæ voluntatis sunt, opere perficiuntur, ut ex divina Scriptura didicimus. Vellem vero ut impii qui eo devenerunt amentiæ, et de voluntate disputant, vellem, inquam, ut non jam interrogarent mulieres, quas ita prius percontabantur, Habuistine filium priusquam genuisses? verum patres potius hoc modo interrogent: An deliberando patres efficimini, an vero secundum naturam vestræ etiam voluntatis? An liberi similes sunt vestræ naturæ et substantiæ? Hæc igitur inquirant a parentibus, ut ab his ipsis confutentur, **489** a quibus quæ elicienda esset ex sua de nascendi modo quæstione conclusio tam impense flagitarunt, speraruntque rem ex ipsis plane cognituros. Hæc scilicet illi sunt responsuri: Ea quæ gignimus, non voluntatis sunt, sed nostri sunt similia: neque prius deliberando patres efficimur, sed gignere proprium est naturæ, quandoquidem nos quoque ipsi parentum sumus imagines. Vel ergo seipsos condemnent, et mulieres de Filio Dei desinant interrogare: vel certe ab ipsis discant non voluntate, sed natura et revera filium gigni. Æquum enim est eos argumentis ex hominum natura petitis refelli, qui humana de divinitate improbe cogitant. Quid igitur adhuc insaniunt Christi hostes? Nam hanc illorum rationem ut et alias omnes ostendimus ac convicimus nihil nisi fabulas et mera commenta esse. Sero igitur saltem animadvertant in quantam insipientiæ voraginem sese præcipitaverint, ac nostris monitionibus excitati, tandem inde festinent emergere, seque ex diaboli laqueis expedire. Siquidem benigna est veritas quæ assidue clamat: *Si mihi* ob corporis amictum *non creditis, operibus* saltem *credite, ut cognoscatis, quia ego in Patre, et Pater in me est* [25], et, *Ego et Pater unum sumus* [26], et, *Qui vidit me, vidit Patrem* [27]. Verum Dominus quidem pro more suo clementer

[25] Joan. x, 38. [26] ibid. 30. [27] Joan. xiv, 9.

(93) Sic Regius primus et Seguerianus. At editi, γένηται.

(94) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. Cæteri autem et editi, ἐδίδαξαν Ibidem Regius primus et Seguerianus, Ἐβουλόμην δὲ τούς. Regius secundus, Ἐβουλόμην οὖν τούς. Alii et editi Ἐβουλόμην τούς.

(95) Primus codex Regius et Seguerianus, ἑαυτῶν γυναῖκας ἃς αὐτοί. Ibidem πότερον abest a Gobleriano et Felckm. primo, pro quo Anglic., πρότερον. Item ibidem Regius primus et Seguerianus, βουλευόμενοι, et mox, καὶ τῆς ὑμῶν. Alii editique, βουλόμενοι. iidemque καί omittunt.

(96) Reg. 1 et Seguer. addunt ὅτι, quod in aliis et editis deest. Ibid. Felc. 2 et editio Commel., οὐ θελήματος ἡμῶν ἐστιν ὅμοια.

(97) Sic Regius primus, Seguerian. Goblerian. et Felc. 1. At alii et editio Commel., τέκνων. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, παυέσθωσαν. Alii et editi, παυσάσθωσαν.

(98) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, καὶ παρ' αὐτῶν.

(99) Ἔτι et mox καί absunt a Reg. 1 et Seguer.

(1) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, μυθοπλασία.

(2) Regius 1, Seguerian., φυγεῖν. Cæteri et editi, φεύγειν.

(3) Regius primus, Seguerian., Εἰ ἐμοὶ μὴ πιστεύετε, et mox, κἂν τοῖς ἔργοις. Gobler. et Felc. 1, item πιστεύετε. Alii et editi, Ἐὰν ἐμοὶ μὴ πιστεύητε, et omittunt κἂν.

(4) Regius primus et Seguer., κἀγώ.

(5) Gobler. et Felc. 1, ὡς αἶνεῖ Δαβίδ.

agit, et omnes elisos erigit, ut ait David [28]: at impii Dominicam vocem nolentes audire, nec ferentes Dominum, Deum et Dei Filium palam ab omnibus agnosci, veluti scarabæi, cum suo patre diabolo miseri circumeunt, ut nova impietatis confirmandæ reperiant argumenta. Quid igitur ultra vel unde invenire possint, nisi a Judæis et Caipha impia mutuentur maledicta, et cum gentilibus verum Deum negent? Siquidem clausæ illis sunt divinæ Scripturæ, ex quibus videlicet et stulti et Christi hostes esse omni ex parte sunt convicti.

A Κύριον (6) ὑπὸ πάντων ὁμολογούμενον Θεὸν, καὶ Θεοῦ Υἱὸν, περιέρχονται οἱ ἄθλιοι, ὡς (7) οἱ κάνθαροι, μετὰ τοῦ πατρὸς ἑαυτῶν τοῦ διαβόλου προφάσεις εἰς ἀσέβειαν ζητοῦντες. Ποίας οὖν ἄρα μετὰ ταῦτα πάλιν (8), ἢ πόθεν εὑρεῖν δυνήσονται, εἰ μὴ ἄρα παρὰ μὲν Ἰουδαίων καὶ τοῦ Καϊάφα (9) δανείσωνται τὰς δυσφημίας, παρ' Ἑλλήνων δὲ λάβωσι τὴν ἀθεότητα; αἱ γὰρ θεῖαι Γραφαὶ τούτοις ἐκλείσθησαν, καὶ πανταχόθεν ἐξ αὐτῶν ἠλέγχθησαν ἄφρονες καὶ Χριστομάχοι.

—

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ [10].

EJUSDEM ORATIO QUARTA.

1. Ex Deo Deus est Verbum: namque *Deus erat Verbum* [29]; et rursus: *Quorum patres, et ex quibus Christus qui est super omnia Deus benedictus in sæcula. Amen* [30]. Quia porro ex Deo Deus est, et Dei Verbum, Sapientia, Filius et Virtus est Christus; idcirco unus Deus in divinis Scripturis annuntiatur. Cum enim Verbum unius Dei sit Filius, ad illum cujus est refertur, ita ut duo quidem sint Pater et Filius, unitas vero divinitatis individua sit nulloque modo separabilis: ac proinde dicendum est unum esse divinitatis principium, non duo principia: unde proprie et monarchia est. Ex ipso autem principio Verbum Filius natura existit, non ut aliud principium per seipsum subsistens, neque aliunde quam ex ipso uno principio natus, ne dyarchiam et polyarchiam, id est duo vel plurima principia diversitas inducat, sed unius principii proprius est Filius, propria sapientia, propriumque Verbum ex eo **490** exsistens. Nam, ut docet Joannes, *in* isto *principio erat Verbum, et Verbum erat apud Deum* [31]. Deus enim principium est. Unde quia ex hoc principio est, idcirco etiam *Deus erat Verbum* [31]. Porro quemadmodum unum est principium, et proinde unus Deus, ita quæ verissime est essentia et substantia, una est quæ dicit: *Ego sum qui sum* [32], non autem duæ, ne scilicet duo sint principia. Ex una autem illa substantia exsistit natura et vere Filius, Verbum, sapientia, propriaque ejus virtus, nec ab ea separabilis. Ut vero non alia est essentia seu substantia, ne duo sint principia: sic Verbum quod ex una exsistit, nihil fluxum, nec

B 1. Ἐκ Θεοῦ Θεός ἐστιν ὁ Λογος· καὶ Θεὸς γὰρ ἦν ὁ Λόγος· καὶ πάλιν· Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ (11) ἐπειδὴ ἐκ Θεοῦ Θεός ἐστι, καὶ τοῦ Θεοῦ Λόγος, Σοφία, Υἱὸς, καὶ δύναμίς ἐστιν ὁ Χριστὸς, διὰ τοῦτο εἷς Θεὸς ἐν ταῖς θείαις Γραφαῖς καταγγέλλεται. Τοῦ ἑνὸς γὰρ Θεοῦ Υἱὸς ὢν ὁ Λόγος, εἷς αὐτὸν, οὗ καὶ ἔστιν, ἀναφέρεται· ὥστε δύο μὲν εἶναι Πατέρα καὶ Υἱὸν, μονάδα δὲ θεότητος ἀδιαίρετον καὶ ἄσχιστον. Λεχθείη δ' ἂν καὶ (12) οὕτω μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐστίν. Ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἐστι φύσει Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεστὼς οὐδ' ἔξωθεν ταύτης γεγονὼς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία γένηται, ἀλλὰ τῆς μιᾶς
C ἀρχῆς ἴδιος Υἱὸς, ἰδία σοφία (13), ἴδιος Λόγος, ἐξ αὐτῆς ὑπάρχων. Κατὰ γὰρ τὸν Ἰωάννην, ἐν ταύτῃ τῇ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· Θεὸς γάρ ἐστιν ἡ ἀρχή· καὶ ἐπειδὴ ἐξ αὐτῆς ἐστι, διὰ τοῦτο καὶ Θεὸς ἦν ὁ Λόγος. Ὥσπερ δὲ μία ἀρχή· καὶ κατὰ τοῦτο εἷς Θεός· οὕτως ἡ τῷ ὄντι καὶ ἀληθῶς καὶ ὄντως οὖσα οὐσία καὶ ὑπόστασις μία ἐστὶν ἡ λέγουσα, Ἐγώ εἰμι ὁ ὤν, καὶ οὐ δύο, ἵνα μὴ δύο ἀρχαί. Ἐκ δὲ τῆς μιᾶς φύσει καὶ ἀληθῶς Υἱὸς, ὁ Λόγος, ἡ σοφία, ἡ δύναμις ἰδία ὑπάρχουσα αὐτῆς, καὶ ἐξ αὐτῆς ἀχώριστος. Ὥσπερ δὲ οὐκ ἄλλη, ἵνα μὴ δύο ἀρχαί. οὕτως ὁ ἐκ τῆς μιᾶς Λόγος οὐ διαλελυμένος (14), ἢ ἁπλῶς φωνὴ σημαντική, ἀλλὰ οὐσιώδης Λόγος καὶ οὐσιώδης σοφία, ἥτις ἐστὶν ὁ Υἱὸς ἀληθῶς. Εἰ γὰρ δὴ μὴ οὐσιώδης εἴη, ἔσται ὁ Θεὸς λαλῶν εἰς ἀέρα, καὶ σῶμα οὐδὲν πλέον ἔχων τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ

[28] Psal. CXLV, 8. [29] Joan. I, 1. [30] Rom. IX, 5. [31] Joan. I, 1. [31a] ibid. [32] Exod. III, 14.

(6) Reg. 1 et Seg., Κύριον. Alii et ed., Χριστόν.

(7) Sic Reg. 1 et Seguer. At in Gobler. et Felc. 1 deest ὡς, in aliis autem et editis οἱ. Ibid. Reg. 1 et Seguer., πατρὸς ἑαυτῶν. Cæt. et ed., πατρὸς αὐτῶν.

(8) Πάλιν abest a Reg. 1 et Seguer.

(9) Sic Gobler. et Felc. 1. At Regius primus, παρὰ μὲν Ἰουδαίων τοῦ Καϊάφα. Seguer., παρὰ μὲν τῶν Ἰουδαίων τῶν τοῦ. Alii et editio Gommel., παρὰ Ἰουδαίων καὶ τοῦ· Ibidem Seguer., δανείσωνται. Alii et editi, δανείσονται.

(10) Seguerianus hunc habet titulum Τοῦ αὐτοῦ λόγος ε'. Regius quem primum Oratione superiore

D appellabamus, τοῦ αὐτοῦ, tantum, sed idem in Indice addit λόγος τέταρτος. Hæc autem Oratio in altero Regio deest Gobler. et Felc. 1, κατὰ Ἀρειανῶν λόγος ε'. Basiliensis κατὰ Ἀρειανῶν λόγος ἕκτος. Vide Admonitionem p. 318, num. 2. Anglic., κατὰ Ἀρειανῶν λόγος, nullo addito numero.

(11) Gobler. et Felc. 1, καί omittunt.

(12) Καί abest ab Anglic.

(13) Sic mss. At editio Commel., Υἱὸς ἴδιος, Υἱὸς ἰδία, etc.

(15) Sic Seguer. Basil. et Anglic. At alii et editi διαλελυμένως.

οὐκ ἔστιν ἄνθρωπος· οὐκ ἂν εἴη οὐδὲ ὁ Λόγος αὐτοῦ κατὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ὥσπερ (15) γὰρ μία οὐσία ἡ ἀρχὴ, οὕτως εἷς οὐσιώδης καὶ ὑφεστὼς ὁ ταύτης Λόγος καὶ ἡ σοφία. Ὡς γὰρ ἐκ Θεοῦ Θεός ἐστι, καὶ ἐκ σοφοῦ σοφία, καὶ ἐκ λογικοῦ Λόγος, καὶ ἐκ Πατρὸς Υἱός· οὕτως ἐξ ὑποστάσεως ὑπόστατος (16), καὶ ἐξ οὐσίας οὐσιώδης καὶ ἐνούσιος, καὶ ἐξ ὄντος ὤν. A vox tantum significans est, sed essentiale Verbum et essentialis est sapientia, quæ vere Filius est. Nam nisi essentiale Verbum esset, sequeretur Deum verba sua per aerem effundere, corpusque, ut homines, habere. Quoniam vero homo non est, nec item ejus Verbum quidquam hominum infirmitati simile habet. Ut enim principium una est essentia, ita unum est essentiale et subsistens ejus Verbum et sapientia. Nam ut ex Deo Deus est, ex sapiente sapientia, ex rationali mente Ratio seu Verbum, et ex Patre Filius: ita ex substantia substantialis est, ex essentia essentialis, ac denique vere est ut qui sit ab eo qui est.

2. Ἐπεὶ εἰ μὴ οὐσιώδης σοφία, καὶ ἐνούσιος Λόγος, καὶ ὢν Υἱὸς, ἀλλὰ ἁπλῶς σοφία, καὶ Λόγος, καὶ Υἱὸς ἐν τῷ Πατρί· εἴη ἂν αὐτὸς ὁ Πατὴρ σύνθετος ἐκ σοφίας καὶ Λόγου. Εἰ δὲ τοῦτο, ἀκολουθήσει τὰ προειρημένα ἄτοπα· ἔσται δὲ καὶ αὐτὸς ἑαυτοῦ Πατὴρ, καὶ ὁ Υἱὸς αὐτὸς ἑαυτὸν γεννῶν, καὶ γεννώμενος ὑφ' ἑαυτοῦ· ἡ ὄνομα μόνον ἐστὶ Λόγος, καὶ Σοφία, καὶ Υἱὸς, οὐχ ὑφέστηκε δὲ, καθ' οὗ λέγεται ταῦτα, μᾶλλον δὲ ὅς ἐστι ταῦτα. Εἰ οὖν οὐχ ὑφέστηκεν, ἀργὰ ἂν εἴη καὶ κενὰ τὰ ὀνόματα, ἐκτὸς εἰ μὴ ἄν τις εἴποι αὐτοσοφίαν εἶναι καὶ Αὐτολόγον τὸν Θεόν. Ἀλλ' εἰ τοῦτο, εἴη ἂν αὐτὸς ἑαυτοῦ Πατὴρ καὶ Υἱός· Πατὴρ μὲν, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία (17). Ἀλλὰ μὴ ὡς ποιότης τις ταῦτα ἐν τῷ Θεῷ· ἄπαγε! ἀπρεπὲς τοῦτο· εὑρεθήσεται γὰρ σύνθετος ὁ Θεὸς ἐξ οὐσίας καὶ ποιότητος. Πᾶσα γὰρ ποιότης ἐν οὐσίᾳ ἐστί. Κατὰ τοῦτο δὲ ἡ θεία μονὰς, ἀδιαίρετος οὖσα, σύνθετος φανήσεται, τεμνομένη εἰς οὐσίαν καὶ συμβεβηκός. Ψευστέον οὖν τῶν προπετῶν· Ὁ Υἱὸς σοφία καὶ Λόγος ἐκηρύχθη τοῦ Θεοῦ· πῶς τοίνυν ἐστίν; Εἰ μὲν ὡς ποιότης, ἐδείχθη τὸ ἄτοπον· εἰ δὲ αὐτοσοφία ὁ Θεὸς, καὶ τὸ ἐκ τούτου ἄτοπον εἴρηται παρὰ Σαβελλίῳ. Οὐκοῦν ὡς γέννημα κυρίως ἐξ αὐτοῦ τοῦ Πατρὸς, κατὰ τὸ τοῦ φωτὸς παράδειγμα. Ὡς γὰρ ἀπὸ πυρὸς φῶς. οὕτως ἐκ Θεοῦ Λόγος, καὶ σοφία ἐκ σοφοῦ, καὶ ἐκ Πατρὸς Υἱός (18). Ταύτῃ γὰρ καὶ ἡ μονὰς ἀδιαίρετος καὶ ὁλόκληρος μένει, καὶ ὁ ταύτης Υἱὸς Λόγος οὐκ ἀνούσιος, οὐδὲ οὐχ ὑφεστὼς, ἀλλ' οὐσιώδης ἀληθῶς. Ἐπεὶ εἰ μὴ τοῦτον ἔχει τὸν τρόπον, εἴη ἂν πάντα, ἃ λέγεται, κατ' ἐπίνοιαν καὶ ἁπλῶς λεγόμενα. Εἰ δὲ φευκτέον τὸ ἐκ τῆς ἐπινοίας ἄτοπον, ἄρα ἀληθὴς Λόγος οὐσιώδης ἐστίν. Ὥσπερ γὰρ ἀληθῶς Πατὴρ, οὕτως ἀληθῶς Σοφία. Κατὰ τοῦτο οὖν δύο μὲν, ὅτι μὴ κατὰ Σαβέλλιον ὁ αὐτὸς Πατὴρ καὶ Υἱὸς, ἀλλὰ ὁ Πατὴρ Πατὴρ, καὶ ὁ Υἱὸς Υἱός· ἓν δὲ, ὅτι Υἱὸς τῆς οὐσίας τοῦ Πατρός ἐστι φύσει, ἴδιος ὑπάρχων Λόγος αὐτοῦ. Τοῦτο ὁ Κύριος ἔλεγεν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Οὔτε γὰρ ὁ Λόγος κεχώρισται τοῦ Πατρὸς, οὔτε ὁ Πατὴρ ἄλογος πώποτε ἦν ἢ ἐστι. Καὶ ὁ Λόγος οὖν Θεὸς, καὶ ὁ Πατὴρ οὐκ ἄλογος· διὰ τοῦτο, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, εἴρηκεν.

2. Alioquin nisi essentialis esset sapientia Verbumque essentiale, et Filius qui vere sit, sed simpliciter sapientia, Verbum, et Filius in Patre, sane ipse Pater ex sapientia et Verbo esset compositus. Quod quidem si verum est, supra allata absurda sequentur necessario: ipse autem suimet Pater et B Filius futurus est, ipse seipsum est geniturus, et a seipso gignetur: vel certe merum nomen erit Verbum, Sapientia et Filius; ille autem, de quo hæc dicuntur, vel potius qui hæc omnia est, nihil erit subsistens. Si itaque nihil est subsistens, vana igitur et inutilia sunt illa nomina, nisi forte quis dicat ipsum Deum sapientiam ipsam et Verbum ipsum esse. Quod si concedatur: vere ipse suimet Pater et Filius erit; Pater videlicet cum sapiens dicitur: Filius, cum sapientia. Atqui ea in Deo non sunt ut qualitas. Apage igitur! id indignum Deo. Ex his enim efficitur Deum ex essentia et qualitate compositum esse. Siquidem omnis qualitas in essentia est: ac proinde divina unitas, quæ individua est, composita videbitur, utpote in essentiam et acci- dens divisa. Sic itaque temerarios hosce homines C interrogemus: Filius sapientia et Verbum Dei esse prædicatus est: quonam igitur modo id ipse est? Si ut qualitas; id absurdum esse jam ostendimus. Si vero ipse Deus sapientia ipsa est: certe quod inde absurdi sequitur, dictum a Sabellio est. Quamobrem fatendum est eum tanquam fetum proprie ex ipso Patre esse, juxta lucis exemplum. Ut enim ab igne lux oritur: ita Verbum ex Deo est, sapientia ex sapiente, et ex Patre Filius. Hac enim ratione unitas individua et integra manet, ejusque Filius Verbum non aliquid est essentia vacuum vel non subsistens, sed vere essentiale est. Alioquin nisi hæc ita esse concedatur, sana quidquid ipse dicitur, cogitatione et verbo tenus exsistet: quæ D sententia si est repudianda, igitur verum Verbum essentiale est. Namque ut vere Pater est, ita vere est Sapientia Unde efficitur ut duo sint Pater et Filius, non vero idem, ut contendit Sabellius: sed Pater, Pater est; et Filius, Filius. Unum autem sunt, quia Filius essentiæ Patris natura Filius est, propriumque ejus Verbum exsistit. Id Dominus ipse aiebat. *Ego et Pater unum sumus* [33]. Nec enim Verbum separatum a Patre est, nec unquam Pater sine Ratione **491** sive Verbo fuit vel est. Verbum igitur Deus est, nec Pater sine Verbo est: unde dixit: *Ego in Patre, et Pater in me est* [33].

[33] Joan. x, 30. [33a] Joan. xiv, 10.

(15) Anglicanus, Εἶπερ.

(16) Reg. et Seguer., ὑποστατὸς, ultima gravi.

(17) Regius, Seguer. Basil. Anglic, Gobler. et Felc. 1, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία. Alii et editi, ὅτι σοφὸς, Υἱὸς δὲ, ὅτι σοφία.

(18) Sic mss. At Com., καὶ Σοφία ἐκ Πατρὸς Υἱός.

3. Præterea Christus Verbum Dei est : num ergo ex seipso exstitit, deindeque exsistens cum Patre est copulatus ? An vero Deus ipsum fecit, et sui ipsius Verbum appellavit ? Si primum concedatur, id est, si seipso exstitit et est Deus, duo igitur erunt principia, nec ille Patris proprius erit, et merito quidem, utpote qui non ipsius Patris, sed sui ipsius sit. Quod si extrinsecus factus est, res creata certe erit. Restat itaque ut eum ex ipso Deo esse dicamus : quod si verum est, aliud (19) sane fuerit id quod est ex aliquo, et aliud id ex quo est : ac proinde fatendum est duo esse. Nam si duo non fuerint, sed hæc de eodem dicantur : idem igitur sui causa et effectus erit, idem quod gignitur et gignit ; quod quidem absurdum ex Sabellii errore manare ostensum est. Quod si ex ipso quidem est, nec tamen aliud ab eo : sequitur ut idem sit et gignens et non gignens ; gignens, quia ex se illud profert ; non gignens, quia aliud ab eo non est. Quod postremum si admittatur, colligitur eumdem cogitatione tantum, Patrem et Filium dici. Sed si id absurdum est, igitur duo erunt Pater et Filius. Unum item iidem erunt, quia Filius non extrinsecus, sed ex Deo genitus est. Si quis autem Verbum, fetum sive genitum dicere reformidat, ipsumque cum Deo exsistere putat tantummodo dicendum : caveat ille ne nomine Scripturæ usitato uti refugiens, in absurdam incidat opinionem, qua Deum duplicis naturæ inducat. Si enim non concedit Verbum ex unitate esse, sed tantum cum Patre fuisse copulatum, duas certe admittit essentias, quarum neutra alterius parens est. Idem etiam de virtute sive potentia dicendum est. Id autem facilius poterit intelligi, si in Patre spectetur. Unus enim est Pater, non duo, sed ex uno est Filius. Ut ergo non sunt duo Patres, sed unus : ita non duo principia sunt, sed unum, et ex uno essentialis exsistit Filius. Rursus vero Arianos interrogemus. Nam quod ad Sabellii sectatores attinet, illi ex Filii notitia refellendi sunt : Ariani vero, ex Patris notione.

4. Sic igitur disserendum est : Vel Deus est sapiens, nec sine Verbo sive Ratione ; vel contra, sine sapientia est et Verbo seu Ratione. Si secundum admittitur, id per se absurdum esse liquet : si primum conceditur, rursus sciscitandum est, quonam modo sit sapiens, nec sine Verbo seu Ratione : extrinsecusne sapientiam et Verbum, an vero ex seipso habeat ? Si extrinsecus habet : aliquis igitur prius illi dedit, ipseque, antequam acciperet, sine sapientia et Verbo sive Ratione erat. Quod si ex seipso habet Verbum, palam igitur est ipsum ex nihilo non esse, neque fuisse aliquando cum non esset. Siquidem semper fuit, quippe cum ille, cujus imago est, semper exsistat. At si responderint Deum sapientem quidem esse nec sine Verbo sive Ratione,

3. Καὶ πάλιν ὁ Χριστὸς Λόγος τοῦ Θεοῦ ἐστι. Πότερον οὖν ἀφ' ἑαυτοῦ ὑπέστη, καὶ ὑποστὰς προσκολλήται τῷ Πατρί ; ἢ ὁ Θεὸς αὐτὸν πεποίηκε καὶ ὠνόμασεν (20) ἑαυτοῦ Λόγον ; Εἰ μὲν οὖν τὸ πρῶτον, λέγω δή, τὸ, ἑαυτῷ ὑπέστη (21) καὶ Θεός ἐστι, δύο ἂν εἶεν ἀρχαὶ, οὐκ ἔσται δὲ εἰκότως οὐδὲ τοῦ Πατρὸς ἴδιος, διὰ τὸ μὴ αὐτοῦ τοῦ Πατρὸς, ἀλλ' ἑαυτοῦ εἶναι· εἰ δὲ ἔξωθεν πεποίηται, εἴη ἂν κτίσμα. Λείπεται δὴ ἐξ αὐτοῦ τοῦ Θεοῦ λέγειν αὐτόν· εἰ δὲ τοῦτο, ἄλλο ἂν εἴη τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι· κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ, δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον (22) καὶ αἰτιατὸν, καὶ γεννώμενον καὶ γεννῶν, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται. Εἰ δὲ ἐξ αὐτοῦ μὲν ἔστιν, οὐκ ἄλλο δέ· ἔσται καὶ γεννῶν, καὶ μὴ γεννῶν· γεννῶν μὲν, ὅτι ἐξ αὐτοῦ προφέρει, μὴ γεννῶν δὲ, ὅτι μὴ ἄλλο αὐτοῦ ἐστιν. Εἰ δὲ τοῦτο, εἴη ἂν κατ' ἐπίνοιαν λεγόμενος ὁ αὐτὸς Πατὴρ καὶ Υἱός. Εἰ δὲ ἀπρεπὲς οὕτως, εἴη ἂν δύο, Πατὴρ καὶ Υἱός· ἓν δὲ, ὅτι ὁ Υἱὸς οὐκ ἔξωθεν, ἀλλ' ἐκ τοῦ Θεοῦ γεγέννηται (23). Εἰ δὲ φεύγει τις τὸ λέγειν γέννημα, μόνον δὲ λέγει ὑπάρχειν τὸν Λόγον σὺν τῷ Θεῷ· φοβηθήτω ὁ τοιοῦτος μὴ, φεύγων τὸ ὑπὸ τῆς Γραφῆς λεγόμενον, ἐμπέσῃ εἰς ἀτοπίαν, διφυῆ τινα εἰσάγων τὸν Θεόν· μὴ διδοὺς γὰρ ἐν τῇ μονάδος εἶναι τὸν Λόγον, ἀλλ' ἁπλῶς κεκολλῆσθαι τῷ Πατρὶ Λόγον, δυάδα οὐσίας εἰσάγει, μηδετέραν τῆς ἑτέρας Πατέρα τυγχάνουσαν. Τὸ αὐτὸ δὲ καὶ περὶ δυνάμεως. Φανερώτερον δ' ἄν τις ἴδοι τοῦτο, εἰ ἐπὶ Πατρὸς λάβοι· εἷς γὰρ Πατὴρ, καὶ οὐ δύο, ἀλλ' ἐκ τοῦ ἑνὸς ὁ Υἱός. Ὥσπερ οὖν οὐ δύο Πατέρες, ἀλλ' εἷς, οὕτως οὐ δύο ἀρχαὶ, ἀλλὰ μία, καὶ ἐκ τῆς μιᾶς οὐσιώδης ὁ Υἱός. Πρὸς Ἀρειανοὺς δὲ ἀνάπαλιν ἐρωτητέον· τοὺς μὲν γὰρ Σαβελλίζοντας ἀπὸ τῆς περὶ Υἱοῦ ἐννοίας ἐλεγκτέον, τοὺς δὲ Ἀρειανοὺς ἀπὸ τῆς περὶ Πατρός.

4. Λεκτέον οὖν· Ὁ Θεὸς σοφὸς καὶ οὐκ ἄλογός ἐστιν, ἢ τοὐναντίον ἄσοφος καὶ ἄλογος. Εἰ μὲν οὖν τὸ δεύτερον, αὐτόθεν ἔχει τὴν ἀτοπίαν· εἰ δὲ τὸ πρῶτον, ἐρωτητέον, πῶς ἐστι σοφὸς, καὶ οὐκ ἄλογος· πότερον ἔξωθεν ἐσχηκὼς τὸν Λόγον καὶ τὴν σοφίαν, ἢ ἐξ ἑαυτοῦ ; Εἰ μὲν οὖν ἔξωθεν, ἔσται τις ὁ προδεδωκὼς (24) αὐτῷ, καὶ πρὶν λαβεῖν ἄσοφος καὶ ἄλογος· εἰ δὲ ἐξ αὐτοῦ, δῆλον ὅτι (25) οὐκ ὄντων, οὐδ' ἦν ποτε ὅτε οὐκ ἦν· ἀεὶ γὰρ ἦν· ἐπεὶ καὶ οὗ ἐστιν εἰκὼν, ἀεὶ ὑπάρχει. Ἐὰν δὲ λέγωσιν, ὅτι σοφὸς μὲν ἔστι καὶ οὐκ ἄλογος, ἴδιαν δὲ ἔχει ἐν ἑαυτῷ σοφίαν καὶ ἴδιον Λόγον, οὐ τὸν Χριστὸν δὲ· ἀλλ' ἐν ᾧ καὶ τὸν Χριστὸν ἐποίησε· λεκτέον, ὅτι, εἰ ὁ Χριστὸς ἐν ἐκείνῳ τῷ Λόγῳ γέγονε, δῆλον ὅτι καὶ τὰ πάντα· καὶ αὐτὸς ἂν εἴη, περὶ οὗ λέγει Ἰωάννης, Πάντα δι' αὐτοῦ ἐγένετο·

(19) Sic hic et mox, Græcum secuti, reddimus, non *alius*, ut solent loqui in scholis Theologi. Vide supra, pag. 438, num. 4.

(20) Regius et Seguer., ὠνόμακεν.

(21) Regius, Gobler. et Felck. 1, ὑπέστη. Seguer. Basil. et Anglic., ὑφέστη. Editi, ὑφέστηκε. Paulo t Regius, Basil. et Anglic., μὴ αὐτοῦ τοῦ Πατρός. In aliis et editione Commeliniana, τοῦ deest.

(22) Regius primus et Seguerian,, τὸ αὐτὸ αὐτοαίτιον.

(23) Basiliensis, γεγένηται.

(24) Regius, προσδεδωκώς.

(25) Regius et Seguer., δηλονότι.

καὶ ὁ Ψαλμῳδὸς δὲ, Πάντα (26) ἐν σοφίᾳ ἐποίησας. Εὑρεθήσεται δὲ ὁ Χριστὸς ψευδόμενος, Ἐγὼ ἐν τῷ Πατρὶ, ὄντος ἑτέρου ἐν τῷ Πατρί. Καὶ, Ὁ Λόγος δὲ σὰρξ ἐγένετο, οὐκ ἀληθὲς κατ' αὐτούς· εἰ γὰρ, ἐν ᾧ τὰ πάντα ἐγένετο, αὐτὸς ἐγένετο σὰρξ, ὁ δὲ Χριστὸς οὐκ ἔστιν ἐν τῷ Πατρὶ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο· ἆρα ὁ Χριστὸς (27) οὐ γέγονε σὰρξ, ἀλλ' ἴσως ὠνομάσθη Λόγος ὁ Χριστός. Καὶ εἰ τοῦτο, πρῶτον μὲν ἄλλος ἂν εἴη παρὰ τὸ ὄνομα· ἔπειτα οὐ δι' αὐτοῦ ἐγένετο τὰ πάντα, ἀλλ' ἐν ἐκείνῳ, ἐν ᾧ καὶ ὁ Χριστός. Εἰ δὲ φήσαιεν, ὡς ποιότητα εἶναι ἐν τῷ Πατρὶ τὴν σοφίαν, ἢ αὐτοσοφίαν εἶναι· ἀκολουθήσει τὰ ἐν τοῖς ἔμπροσθεν ἄτοπα εἰρημένα. Ἔσται γὰρ σύνθετος, καὶ αὐτὸς ἑαυτοῦ Υἱὸς καὶ Πατὴρ γινόμενος (28). Ἱλὴν ἐλεγκτέον καὶ δυσωπητέον αὐτούς, ὅτι ὁ ἐν τῷ Θεῷ Λόγος, οὐκ ἂν εἴη κτίσμα, οὐδὲ ἐκ τοῦ μὴ ὄντος· ὄντος δὲ ἅπαξ ἐν Θεῷ Λόγου, αὐτὸς ἂν εἴη ὁ Χριστὸς ὁ λέγων, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί, ὁ διὰ τοῦτο καὶ μονογενὴς ὢν, ἐπειδὴ οὐκ ἄλλος τις ἐξ αὐτοῦ ἐγεννήθη. Εἷς οὗτος Υἱὸς (29), ὅς ἐστι Λόγος, σοφία, δύναμις· οὐ γὰρ σύνθετος ἐκ τούτων ὁ Θεὸς, ἀλλὰ γεννητικός. Ὥσπερ γὰρ τὰ κτίσματα Λόγῳ δημιουργεῖ, οὕτω κατὰ φύσιν τῆς ἰδίας οὐσίας ἔχει γέννημα τὸν Λόγον, δι' οὗ καὶ δημιουργεῖ, καὶ κτίζει, καὶ οἰκονομεῖ τὰ πάντα. Τῷ γὰρ Λόγῳ καὶ τῇ σοφίᾳ τὰ πάντα γέγονε, καὶ τῇ διατάξει αὐτοῦ διαμένει τὰ σύμπαντα. Τὸ αὐτὸ δὲ καὶ περὶ Υἱοῦ· εἰ ἄγονος, καὶ ἀνενέργητος ὁ Θεός· γέννημα γὰρ αὐτοῦ ὁ Υἱὸς (30) δι' οὗ ἐργάζεται. Εἰ δὲ μὴ, αἱ αὐταὶ ἐρωτήσεις καὶ τὰ αὐτὰ ἄτοπα τοῖς ἀναισχυντοῦσιν ἀκολουθήσει.

A sed propriam in seipso habere sapientiam, propriumque Verbum, non autem Christum, sed in quo ipsum etiam Christum fecerit : dicendum quod, si Christus in illo Verbo factus sit, sine dubio omnia quoque in eodem facta sunt, ipsumque illud est Verbum de quo Joannes dicit : *Omnia per ipsum facta sunt* [34] ; et Psalmista, *Omnia in sapientia fecisti* [35]. Quin et ipse Christus mentitus esse reperietur cum ait, *Ego in Patre*, quandoquidem alius est in Patre. Falsum item ex illorum sententia erit quod dicitur, *Verbum caro factum est* [36]. Namque si illud Verbum caro factum **492** est in quo omnia facta sunt, nec Christus est in Patre Verbum per quod omnia facta sunt : igitur Christus non factus est caro, sed forte Christus Verbum appellatus est. Quod quidem si verum est, primo, B alius erit quam qui nomine significatur : deinde, non per eum omnia facta erunt, sed in illo, in quo Christus quoque ipse factus est. Si autem dixerint sapientiam in Patre instar qualitatis esse, vel eum sapientiam ipsam esse ; quæ supra recensuimus absurda, necessario consequentur, videlicet eum compositum esse, suique ipsius esse Patrem et Filium. Verum coarguendi illi sunt et confutandi. Siquidem Verbum, quod in Deo est, nec creatum, nec ex nihilo potest esse. Si item Verbum in Deo est ; ipse certe Christus fuerit, qui ait, *Ego in Patre, et Pater in me est* [37] ; qui idem idcirco unigenitus est, quia nullus alius ex eo sit genitus. Unus hic est Filius, qui et Verbum, sapientia et virtus sive potentia est. Nec enim ex his est compositus Deus, sed horum est genitor. Namque quemadmodum res creatas Verbo producit, ita secundum propriæ essentiæ naturam Verbum gignit, per quod omnia efficit, creat et administrat. Siquidem omnia Verbo et sapientia facta sunt, ejusque imperio universa perseverant [38]. Idem autem de Filio dicendum : nimirum si nihil gignit Deus, nihil item agit sive efficit : nam ejus fetus est Filius per quem agit. Sin minus : ad easdem interrogationes eademque absurda impudentes hi homines revolventur.

5. Ἐκ τοῦ Δευτερονομίου· Ὑμεῖς δὲ οἱ προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν, ζῆτε (31) πάντες ἐν τῇ σήμερον. Ἐκ τούτου δυνατὸν εἰδέναι τὴν διαφορὰν, καὶ γνῶναι, ὅτι οὐκ ἔστι κτίσμα ὁ Υἱὸς τοῦ Θεοῦ. Ὁ μὲν (32) γὰρ Υἱὸς λέγει, Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν· καὶ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· τὰ δὲ γενητὰ, ὅτ' ἂν προκόπτῃ, πρόσκειται τῷ Κυρίῳ. Ὁ μὲν γὰρ Λόγος, ὡς ἴδιος, ἐν τῷ Πατρί ἐστι· τὰ δὲ γενητὰ, ἔξωθεν ὄντα, πρόσκειται, ὡς τῇ μὲν φύσει ἀλλότρια, τῇ δὲ προαιρέσει προσκείμενα.

C 5. Ex Deuteronomio : *Vos autem, qui adhæretis Domino Deo vestro, vivitis universi hodierna die* [39]. Ex his verbis discrimen Filii et rerum creatarum licet perspicere, intelligereque Filium Dei creatum minime esse. Enimvero Filius dicit, *Ego et Pater unum sumus* [40], et, *Ego in Patre, et Pater in me est :* res autem factæ cum proficiunt, Domino adhærent. Nempe Verbum, tanquam proprium, est in Patre : at res factæ, utpote quæ extrinsecus exsistunt, adhærent : nimirum natura alienæ sunt, voluntate

[34] Joan. I, 3. [35] Psal. CIII, 24. [36] Joan. I, 14. [37] Joan. XIV, 10. [38] Psal. CXVIII, 91. [39] Deut. IV, 4. [40] Joan. X, 30.

(26) Sic Regius, Seguer. Basil. et Anglic. At alii et editi, καὶ Δαβὶδ· πάντα, etc.

(27) Sic Reg. Seguer. Basil. Anglic. At Gobler., ἆρ' ὁ Χριστός.

(28) Gobler. et Felck. 1, γενόμενος.

(29) Regius, Seguer. Basil. et Anglic., οὗτος Υἱός. Alii et editi, οὗτος ὁ Υἱός.

(30) Gobler. et Felck. 1, ὁ Θεός. Mox Regius et Seguer., αὐταὶ αἱ ἐρωτήσεις.

(31) Sic Seguer. Basil. Anglic., ut et habetur Deuteron. IV, 4. At alii et editi, ἡμῶν. Ibidem mss. omnes, ζῆτε. Editi, ζητεῖτε, male. Totum autem hunc locum perperam intellexit Nannius, cujus hæc est versio in editione Commel. : *Quod si illud non admittes, eædem controversiæ similesque importunitates impudentibus illis occurrent. Nos autem qui Deo appositi addictique sumus, quæramus eum in hoc ipso die.* In aliis item editionibus non minus male emendatum est hoc modo : *Quod si illud*, etc., *impudentibus istis occurrent, ex illo Deuteronomii :* Vos autem qui Deo appositi addictique estis, quærite eum in hoc ipso die.

(32) Sic Reg. et Seguer. At alii et editi, μέν omittunt.

autem adhærent. Etenim filius qui natura est, unum est cum genitore : qui vero extrinsecus adoptatur, generi adjungitur sive adhæret. Hinc statim subdit : *Quæ natio magna, cui Deus appropinquat* [41] ? Et alibi : *Deus appropinquans ego* [42]. Nam rebus factis appropinquat, quippe cum illæ sint ipsi externæ : at Filio, utpote proprio, non appropinquat, sed in eo est : nec adhæret Filius, sed una cum Patre est. Unde rursus Moyses in eodem Deuteronomio sic loquitur : *Vocem ejus audietis, et ipsi vos adjungemini* [43]. Quod autem adjungitur, extrinsecus adjungitur.

6. Jam quod pertinet ad levem et humanam Arianorum opinationem, qua nempe Dominum egenum fuisse ex his ipsius verbis suspicantur, *Data est mihi* [44], *accepi*, ut et ex his Pauli locis, *Idcirco exaltavit illum* [45], et, *Sedit a dextris* [46], aliisque similibus ; respondendum est Dominum nostrum, qui idem Verbum et Filius Dei est, corpus gestasse, et Filium quoque hominis factum **493** fuisse, ut medius Deum inter et homines effectus, quæ Dei sunt, nobis subministraret : quæ nostri, Deo offerret. Quocirca cum esurire, flere, defatigari et clamare Eloi, Eloi, dicitur, quæ quidem humanæ nostræ sunt affectiones et miseriæ, eas a nobis accipit ac Patri offert, et pro nobis intercedit, ut in ipso penitus deleantur. His autem verbis, *Data est mihi potestas* [47], et, *accepi* [48], et, *Idcirco exaltavit eum Deus* [49], munera in nos a Deo per illum collata significantur. Nec enim indigens erat Verbum vel unquam factum est : nec rursus homines idonei erant qui ista sibi compararent : sed per Verbum nobis donata sunt ; unde illa tanquam ipsi donata, nobis impertiuntur. Siquidem eam ob rem homo factus est, ut illa velut sibi data, in nos transferrentur. Nec enim purus homo dignus unquam fuisset qui hæc acciperet ; nec item purum Verbum his posset indigere : conjunctum igitur nobis est Verbum, tuncque nos potestatis participes reddidit et exaltavit. Verbum siquidem in homine exsistens, hominem exaltavit : et Verbo item in homine exsistente accepit homo. Quia ergo Verbo in carne exsistente, exaltatus homo est, potestatemque accepit, idcirco ista ad Verbum referuntur, quandoquidem propter ipsum data sunt. Hæc enim dona propter Verbum in homine exsistens concessa sunt. Unde quemadmodum

A Καὶ γὰρ καὶ υἱὸς (33) μὲν ὁ φύσει, ἕν ἐστι μετὰ τοῦ γεννῶντος· ὁ δὲ ἔξωθεν υἱοποιούμενος προσκείσεται τῷ γένει. Διὰ τοῦτο καὶ εὐθὺς ἐπιφέρει, ὅτι Ποῖον (34) ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων ; καὶ ἀλλαχοῦ· Θεὸς ἐγγίζων ἐγώ· τοῖς γὰρ γενητοῖς ἐγγίζει, ὡς ξένοις αὐτοῦ οὖσι· τῷ δὲ Υἱῷ, ὡς ἰδίῳ (35), οὐκ ἐγγίζει, ἀλλ' ἐν αὐτῷ ἐστι· καὶ ὁ Υἱὸς οὐ πρόσκειται, ἀλλὰ σύνεστι τῷ Πατρί. Ὅθεν καὶ πάλιν λέγει Μωσῆς ἐν αὐτῷ τῷ Δευτερονομίῳ (36)· Τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ προστεθήσεσθε. Τὸ δὲ προστιθέμενον ἔξωθεν προστίθεται.

6. Πρὸς δὲ τὴν ἀσθενῆ καὶ ἀνθρωπίνην ἔννοιαν τῶν Ἀρειανῶν, διὰ τὸ ὑπονοεῖν τὸν Κύριον ἐνδεᾶ (37), ὅταν λέγῃ, Ἐδόθη μοι, καί, ἔλαβον· καὶ ἐὰν λέγῃ B ὁ Παῦλος, Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν, καὶ, Ἐκάθισεν ἐν δεξιᾷ, καὶ τὰ τοιαῦτα, λεκτέον, ὅτι ὁ Κύριος ἡμῶν, Λόγος ὢν Υἱὸς τοῦ Θεοῦ, ἐφόρεσε σῶμα, καὶ γέγονε καὶ (38) Υἱὸς ἀνθρώπου, ἵνα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων, τὰ μὲν Θεοῦ ἡμῖν, τὰ δὲ ἡμῶν τῷ Θεῷ διακονῇ Ὅταν οὖν λέγηται πεινᾷν, καὶ δακρύειν, καὶ κοπιᾷν, καὶ Ἐλωΐ, Ἐλωΐ, ἀνθρώπινα ὄντα, καὶ ἡμέτερα πάθη (39), δίχεται παρ' ἡμῶν, καὶ τῷ Πατρὶ ἀναφέρει, πρεσβεύων ὑπὲρ ἡμῶν, ἵνα ἐν αὐτῷ ἐξαφανισθῇ· ὅταν δὲ, ὅτι Ἐδόθη μοι ἐξουσία, καὶ, ἔλαβον, καὶ, Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν (40) ὁ Θεὸς, τὰ παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς ἐστι χαρίσματα δι' αὐτοῦ διδόμενα. Οὐ γὰρ ὁ Λόγος ἐνδεὴς ἦν ἢ γέγονε πώποτε· οὐδὲ πάλιν οἱ ἄνθρωποι ἱκανοὶ ἦσαν ἑαυτοῖς διακονῆσαι ταῦτα· διὰ δὲ τοῦ Λόγου δίδοται ἡμῖν· διὰ τοῦτο, ὡς αὐτῷ διδόμενα, C ἡμῖν μεταδίδοται (41)· διὰ τοῦτο γὰρ καὶ ἐνηνθρώπησεν, ἵνα, ὡς αὐτῷ διδόμενα, εἰς ἡμᾶς διαβῇ. Ἄνθρωπος γὰρ ψιλὸς οὐκ ἂν ἠξιώθη τούτων· Λόγος δὲ πάλιν μόνος, οὐκ ἂν ἐδεήθη τούτων. Συνῆφθη οὖν ἡμῖν ὁ Λόγος, καὶ τότε ἐξουσίαν ἡμῖν μετέδωκε, καὶ **ὑπερύψωσεν**. Ἐν ἀνθρώπῳ γὰρ ὢν ὁ Λόγος (42) ὑπερύψωσε τὸν ἄνθρωπον· καὶ ἐν ἀνθρώπῳ **ὄντος** τοῦ Λόγου, ἔλαβεν ὁ ἄνθρωπος. Ἐπεὶ οὖν τοῦ **Λόγου** ὄντος ἐν σαρκὶ, ὑψώθη ὁ ἄνθρωπος, καὶ ἔλαβεν ἐξουσίαν· διὰ τοῦτο εἰς τὸν Λόγον ἀναφέρεται ταῦτα, ἐπειδὴ δι' αὐτὸν ἐδόθη· διὰ γὰρ τὸν ἐν ἀνθρώπῳ Λόγον ἐδόθη ταῦτα τὰ χαρίσματα. Καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὕτω καὶ ὁ ἄνθρωπος τὰ διὰ τοῦ Λόγου εἴληφε. Πάντα γὰρ ὅσα ὁ ἄνθρωπος εἴληφεν, ὁ Λόγος (43) λέγεται εἰληφέναι· ἵνα δειχθῇ, ὅτι οὐκ ἄξιος

[41] Deut. IV, 7. [42] Jer. XXIII, 23. [43] Deut. XIII, 4. [44] Matth. XXVIII, 18. [45] Philipp. II, 9. [46] Coloss. II, 1. [47] Matth. XXVIII, 18. [48] Joan. X, 18. [49] Philipp. II, 9.

(33) Regius, Καὶ γὰρ Υἱός. Seguer., Καὶ γὰρ καὶ Υἱός. Cæteri et editi, Καὶ γὰρ καὶ ὁ Υἱός. Mox Felck. 2 et editio Commel., ὃ δὲ ἔξωθεν, mendose. D

(34) Sic manuscripti codices. At editi, ποιῶν, perperam. Nannius item vertit, *Qui fecit gentem magnam, cui appropinquat Deus.*

(35) Sic Regius, Seguer. Basil. et Anglic. At alii et editi, οἰκείῳ.

(36) Sic Regius, Seguer. Basil. et Anglic. At Gobler. et Felck. primus, καί φησιν ἐν Δευτερονομίῳ. Editio Commel , καὶ ἔφη ἐν Δευτερονομίῳ.

(37) Gobler. et Felck. 1, ἐνδεῆ. Mox διὰ τοῦτο abest a Gobler. et Felck. 1.

(38) Sic Regius, Seguer. Basil. In aliis et editis καί deest.

(39) Sic Regius codex et Seguer. At alii et editi, τὰ πάθη.

(40) Sic Regius, Seguer. et Basil. Cæteri autem et editi, ἑαυτόν.

(41) Sic mss. omnes. Editi vero, δίδοται. Ibidem Reg. et Seguer., καὶ ἐνηνθρώπησεν. In aliis et editis καί deest.

(42) Sic Reg. et Seguer. At Basil., τότε ἐξουσίας, Alii et editi, τότε ἡ τῆς ἐξουσίας, mendose.

(43) Sic Regius et Seguer. Editi vero, εἰληφεν· ὅσα γὰρ ὁ ἄνθρωπος εἴληφε, πάντα ὁ Λόγος, etc.

ὧν ὁ ἄνθρωπος λαβεῖν, ὅσον ἦκεν εἰς τὴν αὐτοῦ φύσιν, ὅμως διὰ τὸν γενόμενον σάρκα Λόγον εἴληφεν. Ὅθεν ἐάν τι λέγηται δίδοσθαι τῷ Κυρίῳ, ἢ τι τοιοῦτον νοεῖν δεῖ μὴ αὐτῷ ὡς χρῄζοντι δίδοσθαι (44), ἀλλὰ τῷ ἀνθρώπῳ διὰ τοῦ Λόγου, Καὶ γὰρ πᾶς πρεσβεύων ὑπὲρ ἄλλοκ αὐτὸς τὴν χάριν λαμβάνει, οὐ χρῄζων, ἀλλὰ διὰ τὸν ὑπὲρ οὗ πρεσβεύει. A Verbum caro factum est : ita et homo quæ accepit, per Verbum accepit. Omnia enim quæ homo accepit, Verbum accepisse dicitur : ut videlicet ostenderetur, quoniam homo pro suæ naturæ conditione dignus non esset, qui illa acciperet, per Verbum carnem factum, ea illum accepisse. Quocirca si quid Domino datum esse, vel aliquid hujuscemodi dicitur, intelligendum est non ei tanquam indigenti fuisse datum, sed homini per ipsum Verbum. Etenim quisquis pro alio intercedit, gratiam ipse accipit, non quia indigeat, sed propter illum cujus causa intercedit.

7. Ὥσπερ γὰρ τὰς ἀσθενείας (45) ἡμῶν λαμβάνει οὐκ ἀσθενῶν, καὶ πεινᾷ οὐ πεινῶν, ἀλλὰ τὰ ἡμῶν ἀναπέμπει εἰς τὸ ἐξαλειφθῆναι. οὕτω τὰς ἀντὶ τῶν ἀσθενειῶν (46) παρὰ Θεοῦ δωρεὰς πάλιν αὐτὸς δέχεται, ἵνα συναφθεὶς ἄνθρωπος μεταλαβεῖν δυνηθῇ. Λέγει γοῦν ὁ Κύριος· Πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ πάλιν, Ὑπὲρ αὐτῶν ἐρωτῶ. B Ἱρώτα γὰρ ὑπὲρ ἡμῶν τὰ ἡμῶν ἀναδεχόμενος, καὶ ἐδίδου ἃ ἐλάμβανεν. Ἐπειδὴ οὖν, συναφθέντος τοῦ Λόγου τῷ ἀνθρώπῳ, εἰς τὸν Λόγον ἀποβλέπων ἐχαρίζετο ὁ Πατὴρ τῷ ἀνθρώπῳ τὸ ὑψωθῆναι, τὸ ἔχειν πᾶσαν ἐξουσίαν, καὶ ὅσα τοιαῦτα· διὰ τοῦτο αὐτῷ τῷ Λόγῳ πάντα ἀναφέρεται, καὶ ὡς αὐτῷ διδόμενά ἐστιν, ἃ δι' αὐτοῦ ἡμεῖς λαμβάνομεν. Ὡς γὰρ δι' ἡμᾶς ἐνηνθρώπησεν αὐτὸς, οὕτως ἡμεῖς δι' αὐτὸν ὑψούμεθα. Οὐδὲν οὖν ἄτοπον, εἰς, ὥσπερ δι' ἡμᾶς ἐταπείνωσεν ἑαυτὸν, καὶ δι' ἡμᾶς (47) λέγεται ὑπερυψῶσθαι. Ἐχαρίσατο οὖν αὐτῷ, ἀντὶ τοῦ, ἡμῖν δι' αὐτὸν, καὶ ὑπερύψωσεν, ἀντὶ τοῦ, ἡμᾶς ἐν αὐτῷ. Καὶ αὐτὸς δὲ ὁ Λόγος, ἡμῶν ὑψουμένων, καὶ λαμβανόντων, καὶ βοηθουμένων, ὡς αὐτὸς ὑψούμενος, καὶ λαμβάνων, καὶ βοηθούμενος, εὐχαριστεῖ τῷ Πατρὶ, τὰ ἡμέτερα εἰς ἑαυτὸν ἀναφέρων καὶ λέγων· Πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς.

7. Nimirum quemadmodum nostras infirmitates ipse non infirmus suscepit, et esurivit quamvis non esuriens, ut nostra Patri offerens deleret : ita pro infirmitatibus, dona a Deo ipse accipit, ut homo ipsi conjunctus horum particeps esse queat. Hinc ipse ait : *Omnia quæcunque dedisti mihi, dedi eis* [50] : et iterum, *Pro eis rogo* [51]. Pro nobis nempe rogabat, his quæ nostra sunt susceptis, et dabat quæ ipse accipiebat. Quoniam igitur Verbo conjuncto cum homine, Pater propter ipsum Verbum homini dabat ut exaltaretur, omnemque potestatem haberet, et alia hujusmodi : idcirco omnia ascribuntur ipsi Verbo, cui et veluti dantur quæcunque nos per ipsum accipimus. Ut enim propter nos homo factus est : ita nos propter eum exaltamur. Nihil igitur absurdi est si, quemadmodum seipsum propter nos humiliavit, ita et propter nos exaltari dicatur. Itaque *donavit illi*, id est, nobis propter ipsum, et *exaltavit*, id est, nos in ipso. Verbum porro, cum nos exaltamur, accipimus, et adjuvamur, quasi ipsum exaltaretur, acciperet et adjuvaretur, gratias agit Patri, nostraque in seipsum transfert, et ait : *Omnia quæcunque dedisti mihi, dedi eis* [52].

8. Οἱ περὶ Εὐσέβιον οἱ (48) Ἀρειομανῖται, ἀρχὴν τοῦ εἶναι τῷ Υἱῷ διδόντες, προσποιοῦνται μὴ βούλεσθαι ἀρχὴν αὐτὸν ἔχειν βασιλείας. Ἔστι δὲ γελοῖον. Ὁ γὰρ ἀρχὴν τοῦ εἶναι διδοὺς τῷ Υἱῷ, πρόδηλον, ὅτι καὶ τοῦ βασιλεύειν ἀρχὴν δίδωσιν αὐτῷ ὥστε ὁμολογοῦντες ὃ ἀρνοῦνται τυφλώττουσι. Καὶ πάλιν οἱ λέγοντες μόνον ὄνομα εἶναι Υἱοῦ, ἀνούσιον δὲ καὶ ἀνυπόστατον εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, τουτέστι τὸν Λόγον τοῦ Πατρὸς, προσποιοῦνται (49) ἀγανακτεῖν κατὰ τῶν λεγόντων, Ἦν ποτε, ὅτε οὐκ ἦν. Ἔστι δὲ καὶ τοῦτο γελοῖον, Οἱ γὰρ ὅλως τὸ εἶναι αὐτῷ μὴ διδόντες, ἀγανακτοῦσι κατὰ τῶν κἂν χρόνῳ διδόντων. Καὶ οὗτοι οὖν ὅπερ ἀρνοῦνται, διὰ τοῦ ἐπιτιμᾶν τοῖς ἄλλοις, ὁμολογοῦσι· Πάλιν τε οἱ περὶ Εὐ- D σέβιον Υἱὸν ὁμολόγοῦντες, ἀρνοῦται αὐτὸν εἶναι φύσει Λόγον, καὶ κατ' ἐπίνοιαν Λόγον λέγεσθαι τὸν Υἱὸν βούλονται· οἱ δὲ ἕτεροι, Λόγον ὁμολογοῦντες,

8. Ariani, Eusebii gregales, cum Filio principium exsistendi tribuunt, simulant se nolle eum regni principium habere. Atqui istud 494 ridiculum fuerit. Siquidem qui Filio dat exsistendi principium, manifeste principium quoque regnandi illi dat ; ac proinde fatendo quod negant, se cæcos ipsi esse produnt. Qui item aiunt merum nomen Filii esse, Filium autem Dei, id est, Verbum Patris, essentia et substantia vacuum esse, fingunt se adversus illos indignari qui dicunt, Fuit aliquando cum non esset. Atqui id etiam ridiculum est. Nam qui illum ne esse quidem volunt, illis succensent, qui eum saltem in tempore esse concedunt. Itaque hi etiam confitentur quod negant, cum alios reprehendunt. Præterea, Eusebiani qui Filium confitentur, eum natura Verbum esse negant, solaque cogitatione Verbi nomen Filio volunt concedi : alii vero qui Verbum

[50] Joan. XVII, 7. [51] ibid. 9. [52] ibid. 7.

(44) Sic Regius, Seguer. et editio Commel. At alii, δεδόσθαι.

(45) Anglicanus, τὴν ἀσθένειαν.

(46) Sic Reg. et Seguer. At alii et editi, ἀσθενῶν.

(47) In Reg. et Seguer. desunt hæc verba, ἐταπείνωσεν ἑαυτὸν οὕτω καὶ δι' ἡμᾶς.

(48) Sic Reg. et Seguer. At in aliis et editis οἱ deest. Ibid. Reg. Seguer. Basil. Anglic., ἀρχὴν τοῦ εἶναι. Alii et editi, ἀρχὴν εἶναι. Paulo post Seguer., μὴ βουλεύεσθαι ἀρχήν, etc.

(49) Sic Reg. et Seguerian. At alii et editi, προποιοῦνται.

tegunt, cum voluntatis et arbitrii prætendunt nomina, quæ quidem, cum de factis et creatis rebus sermo est, recte adhibentur. Annon ergo impium est ea, quæ rerum factarum propria sunt, ipsi ascribere Creatori? Annon nefas dictu est voluntatem ante Verbum in Patre esse? Si enim voluntas in Patre præcedit, non ergo verum dicit Filius cum ait, *Ego in Patre* [13]; aut si ipse quoque in Patre est, certe secundus in illo esse existimabitur, nec eum convenit dicere, *Ego in Patre*, cum voluntas in qua omnia facta sunt, et in qua ipse secundum vos fuit productus, prior ipso sit. Nam etiamsi gloria differat, nihilominus unus est ex his quæ voluntate efficiuntur. Porro, ut ante diximus, si ita se res habet, quare igitur ille Dominus est, res autem aliæ in servorum numero habentur? Nimirum Dominus ille est, quia Patris dominationi est unitus: res autem creatæ in servorum sunt numero, quia extra Patris unitatem exsistunt, et factæ sunt cum aliquando non essent.

A εἶναι ἐν τῷ Πατρί; Εἰ γὰρ προηγεῖται βούλησις ἐν τῷ Πατρὶ, οὐκ ἀληθεύει λέγων ὁ Υἱὸς, Ἐγὼ ἐν τῷ Πατρί· ἢ ει καὶ αὐτὸς (66) ἐν τῷ Πατρί ἐστιν, ἀλλὰ δεύτερος λογισθήσεται, καὶ οὐκ ἔπρεπε λέγειν αὐτὸν, Ἐγὼ ἐν τῷ Πατρὶ, οὔσης βουλήσεως πρὸ αὐτοῦ, ἐν ᾗ τὰ πάντα γέγονε (67), καὶ αὐτὸς ὑπέστη καθ' ὑμᾶς. Κἂν γὰρ τῇ δόξῃ διαφέρῃ, ἀλλ' οὐδὲν ἧττον εἷς ἐστι τῶν ἐκ βουλήσεως γινομένων. Ὡς δὲ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, εἰ οὕτως ἐστὶ, πῶς ὁ μὲν Κύριος, τὰ δὲ δοῦλα; Πάντων (68) δὲ Κύριος τυγχάνει οὗτος, ὅτι τῇ τοῦ Πατρὸς κυριότητι ἥνωται· καὶ πάντως ἡ κτίσις δούλη, ἐπεὶ ἐκτὸς τῆς τοῦ Πατρὸς ἑνότητός B ἐστι, καὶ οὐκ οὖσά ποτε γέγονε (69).

65. Certe cum Filium volunt voluntate factum esse, quidni etiam prudentia factum esse asseverent? Nam idem esse arbitror voluntatem et prudentiam. De quo enim quis consultat, hoc idem prudentia perpendit: vicissimque, quod quis prudentia perpendit, de hoc eodem consultat et deliberat. Hinc illa Salvator mutua inter se ratione veluti germana simul his verbis copulavit: ***Meum est consilium et securitas, mea est prudentia, mea est fortitudo*** [14]. Nam ut fortitudo et securitas idem est, cum eadem sit virtus et potentia: ita idem est prudentia et consilium, quæ ipse **487** Dominus est. At nolunt impii Filium Verbum et vivens consilium esse: sed prudentiam, consilium et sapientiam velut habitum quemdam Deo, humano more, modo adesse, modo abesse fingunt, omnemque lapidem C movent, ac Valentini prætendunt cogitationem et voluntatem, ea tantum mente ut Filium separent a Patre, nec proprium illum Patris Verbum sed rem creatam esse fateantur. Hæc itaque illos audire convenit similia his, quæ olim ad Simonem Magum dicta sunt [15]: Impictas Valentini vobiscum sit in interitum! Quisque autem Salomoni potius credat Verbum sapientiam et prudentiam esse dicenti, cujus hæc nimirum sunt verba: ***Dominus sapientia fundavit terram, et cœlos in prudentia paravit*** [16]. Ut vero hic cœlos in prudentia, ita in Psalmis: *Verbo*

65. Ἔδει δὲ αὐτοὺς, λέγοντας βουλήσει τὸν Υἱὸν, εἰπεῖν, ὅτι καὶ φρονήσει γέγονε· ταὐτὸν γὰρ ἡγοῦμαι φρόνησιν (70) καὶ βούλησιν εἶναι. Ὁ γὰρ βουλεύεταί τις, τοῦτο πάντως καὶ φρονεῖ· καὶ ὃ φρονεῖ, τοῦτο καὶ βουλεύεται. Αὐτὸς γοῦν (71) ὁ Σωτὴρ ὡς ἀδελφὰ ταῦτα τῇ ἀναλογίᾳ συνῆψεν ἅμα λέγων· Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ὡς γὰρ ἰσχὺς καὶ ἀσφάλεια ταὐτόν ἐστιν, ἡ αὐτὴ γὰρ δύναμίς ἐστιν· οὕτω ταὐτόν ἐστιν εἰπεῖν τὴν φρόνησιν καὶ τὴν βουλὴν (72) εἶναι, ἅπερ ἐστὶν ὁ Κύριος. Ἀλλ' οἱ ἀσεβεῖς οὐ θέλουσι μὲν Λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱόν· περὶ δὲ τὸν Θεὸν φρόνησιν καὶ βουλὴν καὶ σοφίαν ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν ἀνθρωπίνως γίνεσθαι μυθολογοῦσι, καὶ πάντα κινοῦσι, καὶ τὴν Οὐαλεντίνου ἔννοιαν καὶ θέλησιν προβάλλονται, ἵνα μόνον διαστήσωσι τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, καὶ μὴ εἴπωσιν ἴδιον αὐτὸν τοῦ Πατρὸς εἶναι Λόγον, ἀλλὰ κτίσμα. Ἐκεῖνοι μὲν οὖν ἀκουέτωσαν, ὡς Σίμων ὁ Μάγος ἤκουσεν· Ἡ ἀσέβεια Οὐαλεντίνου σὺν ὑμῖν εἴη εἰς ἀπώλειαν! ἕκαστος δὲ Σολομῶνι (73) μᾶλλον πειθέσθω λέγοντι αὐτὸν εἶναι σοφίαν καὶ φρόνησιν τὸν Λόγον. Φησὶ γάρ· Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν (74)· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει (75)· ὡς δὲ ὧδε ἐν φρονήσει, οὕτως ἐν Ψαλμοῖς· Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. Ὡς δὲ τῷ Λόγῳ οἱ οὐρανοὶ, οὕτω πάντα, ὅσα (76) ἠθέλησεν, ἐποίησε· καὶ ὡς ὁ Ἀπο-

[13] Joan. XIV, 10. [14] Prov. VIII, 14. [15] Act. VIII, 20. [16] Prov. III, 19.

(66) Felc. 2 et editi, ἢ εἰ μὴ αὐτός. Alii mss., ἢ εἰ καὶ αὐτός. Mox Reg. 1, Seg., λογισθήσεται. Cæteri et editi, νομισθήσεται.

(67) Sic Reg. 1 et Seguer. At alii et editi, ἐν ᾗ πάντα. Paulo post Reg. 1, Seguer. Gobl. et Felc. 1 τῶν ἐκ βουλήσεως γινομένων, ubi alii et editi γενομένων.

(68) Sic prrimus codex Regius et Seguer. In Anglic. habetur item πάντων, ut et Nannius legerat. Goblerian. et Felc. 1, τὰ δὲ δοῦλα τυγχάνει; οὗτος, ὅτι. Cæteri autem et editi sic habent: τὰ δὲ δοῦλα τυγχάνει; Πάντως δὲ Κύριος οὗτος, etc.

(69) Reg. 1, Seguer., γέγονεν. Editi et alii, ἐπιγέγονεν.

(70) Regius primus, Seguer, Gobler. et Felc. 1, φρόνημα. Iidem mox, τοῦτο πάντως καὶ φρονεῖ. Alii D et editi, τοῦτο καὶ φρονεῖ.

(71) Regius primus. Seguer. Gobler. et Felc. 1, γοῦν, et mox, ταῦτα τῇ ἀναλογίᾳ συνῆψεν, Alii et editi οὖν, et, ταῦτα συνῆψεν

(72) Regius primus et Seguer. hic et paulo post. βουλήν. Cæteri et editi, βούλησιν.

(73) Sic Reg. 1. Seguer. Basil. Gobler. et Felck. 1. At alii et editio Commeliniana, Σαλομῶνι·

(74) Goblerianus et Felckmanni primus, τῇ σοφίᾳ ᾠκοδόμησεν, ἤγουν ἐθεμελίωσε τὴν γῆν.

(75) Sic Reg. 1, Seguer. Anglic. atque ita legit Nannius. Goblerianus et Felckmanni primus, φρονήσει. Καὶ Δαβὶδ, Τῷ Λόγῳ. Alii et editio Commeliniana, φρονήσει οὕτως ἐν Ψαλμοῖς, Τῷ Λόγῳ.

(75) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. At cæteri et editi, ἐστερεώθησαν· οὕτω

στολος γράφει Θεσσαλονικεῦσι· Τὸ θέλημα τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ ἐστιν. Ὁ ἄρα τοῦ Θεοῦ Υἱὸς, αὐτός ἐστιν ὁ Λόγος καὶ ἡ σοφία, αὐτὸς ἡ φρόνησις καὶ ἡ ζῶσα βουλή· καὶ ἐν αὐτῷ τὸ θέλημα τοῦ Πατρός ἐστιν· αὐτὸς ἀλήθεια, καὶ φῶς, καὶ δύναμις τοῦ Πατρός ἐστιν. Εἰ δὲ ἡ βούλησις τοῦ Θεοῦ, ἡ σοφία ἐστὶ καὶ ἡ φρόνησις, ὁ δὲ Υἱός ἐστιν ἡ σοφία ὁ ἄρα λέγων (77) βουλήσει τὸν Υἱὸν ἴσον λέγει τῷ τὴν Σοφίαν ἐν Σοφίᾳ γεγονέναι, καὶ τὸν Υἱὸν ἐν Υἱῷ πεποιῆσθαι, καὶ διὰ τοῦ Λόγου τὸν Λόγον ἐκτίσθαι. Τοῦτο δὲ καὶ τῷ Θεῷ μάχεται, καὶ ταῖς παρ' αὐτοῦ (78) Γραφαῖς ἐναντιοῦται· καὶ γὰρ καὶ ὁ Ἀπόστολος οὐ βουλήσεως, ἀλλα αὐτῆς τῆς πατρικῆς (79) οὐσίας ἴδιον ἀπαύγασμα καὶ χαρακτῆρα τὸν Υἱὸν κηρύττει, λέγων· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Εἰ δὲ, ὡς προειρήκαμεν, (80), ἐκ βουλήσεως οὐκ ἔστιν ἡ πατρικὴ οὐσία καὶ ὑπόστασις, εὔδηλον, ὡς οὔτε τὸ ἴδιον τῆς πατρικῆς ὑποστάσεως ἐκ βουλήσεως ἂν εἴη. Ὁποία γὰρ ἦ καὶ ὡς ἐὰν ᾖ ἡ μακαρία (81) ἐκείνη ὑπόστασις, τοιοῦτον καὶ οὕτως εἶναι καὶ τὸ ἴδιον ἐξ αὐτῆς γέννημα δεῖ. Καὶ αὐτὸς γοῦν ὁ Πατὴρ οὐκ εἶπεν· Πῶτός ἐστιν ὁ βουλήσει μου γεγονὼς Υἱὸς, οὐδὲ, Ὃν κατ' εὐδοκίαν ἔσχον Υἱόν· ἀλλ' ἁπλῶς, Ὁ Υἱός μου (82), καὶ μᾶλλον, Ἐν ᾧ ηὐδόκησα· δεικνὺς ἐκ τούτων, ὅτι, Φύσει μὲν οὗτός ἐστιν Υἱὸς, ἐν αὐτῷ δὲ τῶν ἐμοὶ δοκούντων ἡ βούλησις ἀπόκειται.

A *Domini firmatus esse* [17] dicitur. Ut porro Verbo cœli firmati sunt, sic quæcunque voluit fecit [18], et ut Apostolus ad Thessalonicenses scribit, *Voluntas Dei in Christo Jesu est* [19]. Igitur Dei Filius ipse est Verbum et sapientia, ipse prudentia et vivens est consilium, atque in eo voluntas Patris est. Ipse veritas, lux et virtus est Patris. Quod si voluntas Dei est sapientia et prudentia, si item Filius ipsa sit sapientia: igitur qui contendit Filium voluntate factum esse, idem omnino est ac si diceret Sapientiam in Sapientia factam esse, et Filium in Filio esse effectum, ac Verbum per Verbum creatum esse; quæ utique Deo divinisque ejus Scripturis maxime repugnant. Enimvero Apostolus Filium non voluntatis, sed proprium paternæ naturæ splendorem et figuram esse his verbis prædicat: *Qui cum sit splendor gloriæ et figura substantiæ ejus* [20]. Si ergo, ut supra diximus, paterna natura et substantia ex voluntate non est, liquet neque id, quod paternæ substantiæ proprium est, ex voluntate esse posse. Siquidem qualis cujusvemodi fuerit beata illa natura, talem et ejusmodi necesse est esse proprium ex ipsa ortum fetum. Hinc Pater non dixit: Hic est voluntate mea factus Filius, neque, Quem meo arbitrio habui Filium, sed simpliciter, *Filius meus*, et potius, *In quo mihi complacui* [21]; quorum quidem verborum significatio ejusmodi est: Hic est natura Filius, in quo omnium quæ mihi placent voluntas reposita est.

B

66. Ἆρ' οὖν ἐπεὶ φύσει καὶ μὴ ἐκ βουλήσεώς ἐστιν ὁ Υἱὸς, ἤδη καὶ ἀθέλητός ἐστι τῷ Πατρὶ, καὶ μὴ βουλομένου τοῦ Πατρός ἐστιν ὁ Υἱός; Οὐμενοῦν· ἀλλὰ καὶ θελόμενός ἐστιν (83) ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ, ὡς αὐτός φησιν, Ὁ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ. Ὡς γὰρ τὸ εἶναι (84) ἀγαθὸς οὐκ ἐκ βουλήσεως μὲν ἤρξατο, οὐ μὴν ἀβουλήτως καὶ ἀθελήτως ἐστὶν ἀγαθός· ὃ γάρ ἐστι, τοῦτο καὶ θελητόν ἐστιν αὐτῷ· οὕτω καὶ τὸ εἶναι τὸν Υἱὸν, εἰ καὶ μὴ ἐκ βουλήσεως ἤρξατο, ἀλλ' οὐκ ἀθέλητον, οὐδὲ παρὰ γνώμην ἐστὶν αὐτῷ. Ὥσπερ γὰρ τῆς ἰδίας ὑποστάσεώς ἐστι θελητὴς, οὕτω καὶ ὁ Υἱὸς, ἴδιος ὢν αὐτοῦ τῆς οὐσίας, οὐκ ἀθέλητός ἐστιν αὐτῷ. Θελέσθω καὶ φιλεέσθω τοίνυν ὁ Υἱὸς παρὰ τοῦ Πατρός· καὶ οὕτω τὸ θέλειν καὶ

C

66. Num ergo, quia ex natura non autem ex voluntate sit Filius, præter voluntatem Patris et nolente Patre est Filius? Minime vero. Sed potius Pater vult Filium, atque, ut ipse loquitur, *Pater diligit Filium, et omnia ostendit illi* [22]. Ut enim non ex voluntate bonus esse cœpit, nec tamen contra mentem et sententiam est bonus; namque hoc ipse vult quod est: ita licet Filius ex voluntate esse non inceperit, non tamen præter voluntatem et mentem Patris est. Nam quemadmodum suam vult ipse substantiam, sic cum Filius proprius sit ejus naturæ, non præter voluntatem ejus est. Filium ergo velit et diligat Pater, eaque ratione pie quis cogitet Deum non nolle, sed velle. Etenim Filius ea-

[17] Psal. xxxii, 6. [18] Psal. cxxxiv, 6. I [19] Thessal. v, 18. [20] Hebr. i, 3. [21] Matth. iii, 17. [22] Joan. iii, 35.

πάντα ὅσα. Ibidem post ἠθέλησεν, Regius primus et Seguerianus omittunt ὁ Κύριος, quod in aliis et in editis legitur.

D

(77) Sic primus codex Reg. Seguer. Anglic. Gobler. et Felckm. 1, atque ita legit Nannius. Alii et editio Commeliniana, ὅρα μὴ ὁ λέγων.

(70) Reg. 1, Seguer. Basil. et Anglic., παρ' αὐτοῦ. Cæteri et editi, παρ' αὐτῳ. Mox Regius primus et Seguerianus, καὶ γὰρ καὶ ὁ Ἀπόστολος. Alii et editi, *καί* posterius omittunt.

(79) Sic Regius primus et Seguerianus. At alii et editi, τῆς οὐσίας τῆς πατρικῆς. Mox Regius primus et Seguerianus, τὸν Υἱὸν κηρύττει. Cæteri et editi τὸν Κύριον κηρύττει.

(80) Sic Reg. 1, Seguer. Gobler. et Felckm. 1. At alii et editi, ὡς προεῖπον. Ibidem Regius primus et Seguerianus, ἐκ βουλήσεως οὐκ ἔστιν. Basil. Gobler. Felckm. 1 et Reg. 2, οὐκ ἐκ βουλήσεώς ἐστιν Alii et editi, οὐ βουλήσεώς ἐστι. Mox Reg. 1. Seguer. Gobler. et Felckm. 1, ὡς οὔτε. Reg. 2, Basil. Anglic. Felckm. 1 et 5, ὡς οὐδέ. Cæteri et editi, ὅτι οὐδέ.

(81) Sic uterque Reg. Seguer. Basil. Anglican. Felckm. 2 et 5. At Goblerianus et Felckm. 1, Ὁποία γαρ ἂν ᾖ η μακαρία. Cæteri et editi, Ὁποία γὰρ ᾖ καὶ ἕως ἂν ᾖ ἡ μακαρία. Mox Felckmanni secundus et editio Commeliniana omittunt *καί* post οὕτως εἶναι.

(82) Regius primus et Seguerianuc μου omittunt.

(83) Uterque Regius et Seguerianus, θελόμενός ἐστιν. Alii et editi, στελλόμενός ἐστιν, ut et legit Nannius.

(84) Regius primus et Seguerianus, τὸ εἶναι. Idem ibidem et Regius secundus, οὐκ ἐκ βουλήσεως, ut item legit Nannius. Alii et editi, τοῦ εἶναι ἀγαθὸς ἐκ βουλήσεως μὲν ἤρξατο.

dem voluntate, 448 qua cum vult Pater, Patrem ipse amat, vult et honorat, unaque est voluntas quæ ex Patre in Filio exsistit, ita ut inde Filius in Patre et Pater in Filio conspiciatur. Nemo igitur ex Valentini sententia antecedentem inducat voluntatem, nulliusque deliberationis obtentu seipsum medium inter solum Patrem solumque Filium audeat intrudere. Siquidem insanus ille fuerit qui voluntatem et deliberationem inter Patrem et Filium collocaverit. Enimvero aliud est si dicas, Voluntate factus est, et aliud si dixeris, Eum Pater diligit et vult, utpote qui natura proprius sui sit Filius. Nam qui dixit, Ex voluntate factus est, primo illum aliquando non fuisse significat. Deinde voluntas in utramque partem propendendi vim habet, uti supra dictum est, ac proinde cogitare liceret, Patrem potuisse nolle Filium. Atqui dicere, Filium potuisse non esse, summa certe impietas et audacia est, quæ ipsam Patris naturam lacessat, si nimirum id quod proprium ejus est potuerit non esse. Idem enim est ac si diceretur Patrem potuisse non esse bonum. Verum quemadmodum et semper et natura bonus est Pater, ita semper natura est generans. Hic autem loquendi modus, Pater vult Filium, et, Verbum vult Patrem, non antecedentem denotat voluntatem, sed naturæ germanitatem, essentiæque proprietatem ac similitudinem designat. Ut enim de splendore et luce dici potest: Splendor non habet voluntatem in luce antecedentem, sed est naturalis ejus fetus, quem vult lux a qua gignitur, non voluntatis deliberatione, sed natura et veritate; ita de Patre et Filio recte dici possit: Pater amat et vult Filium, et, Filius amat et vult Patrem.

67. Ne igitur voluntatis opus appelletur Filius, nec Valentini error in Ecclesiam inducatur; sed vivens ille consilium verusque et naturalis Patris fetus esse dicatur, ut lucis splendor. Sic enim Pater ipse est locutus, *Eructavit cor meum Verbum bonum* [23]: cui Filius his verbis concinit, *Ego in Patre, et Pater in me est* [24]. Itaque si Verbum est in corde, ubi est voluntas? Similiter si Filius est in Patre, ubi est arbitrium? Deinde, si ipse est vo-

A τὸ μὴ ἀβούλητον τοῦ Θεοῦ τις εὐσεβῶς λογιζέσθω. Καὶ γὰρ ὁ Υἱὸς τῇ θελήσει ᾗ θέλεται (85) παρὰ τοῦ Πατρὸς, ταύτῃ καὶ αὐτὸς ἀγαπᾷ, καὶ θέλει, καὶ τιμᾷ τὸν Πατέρα· καὶ ἓν ἐστι θέλημα τὸ ἐκ Πατρὸς ἐν Υἱῷ, ὡς καὶ ἐκ τούτου θεωρεῖσθαι τὸν Υἱὸν ἐν τῷ Πατρὶ, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ. Μὴ μέντοι κατὰ Οὐαλεντῖνον προηγουμένην τις (86) βούλησιν ἐπεισαγέτω· μηδὲ μέσον τις ἑαυτὸν ὠθείτω τοῦ μόνου Πατρὸς πρὸς τὸν μόνον Λόγον, προφάσει τοῦ βουλεύεσθαι (87). Μαίνοιτο γὰρ ἄν τις μεταξὺ τιθεὶς Πατρὸς καὶ Υἱοῦ βούλησιν καὶ σκέψιν. Καὶ γὰρ ἕτερόν ἐστι λέγειν, Βουλήσει γέγονεν, ἕτερον δὲ, ὅτι Ἴδιον ὄντα φύσει τὸν Υἱὸν αὐτοῦ ἀγαπᾷ καὶ θέλει αὐτόν. Τὸ μὲν γὰρ λέγειν, Ἐκ βουλήσεως γέγονε, πρῶτον μὲν τὸ μὴ εἶναί ποτε τοῦτον σημαίνει· ἔπειτα δὲ, καὶ τὴν

B ἐπ' ἄμφω ῥοπὴν ἔχει, καθάπερ εἴρηται· ὥστε δύνασθαί τινα νοεῖν, ὅτι ἠδύνατο καὶ μὴ βούλεσθαι τὸν Υἱόν. Ἐπὶ Υἱοῦ δὲ λέγειν, Ἠδύνατο καὶ μὴ εἶναι, δυσσεβές ἐστι καὶ φθάνον εἰς τὴν τοῦ Πατρὸς οὐσίαν τὸ τόλμημα· εἴγε τὸ ἴδιον αὐτῆς ἠδύνατο (88) μὴ εἶναι. Ὅμοιον γὰρ ὡς εἰ ἐλέγετο, Ἠδύνατο καὶ μὴ εἶναι ἀγαθὸς ὁ Πατήρ. Ἀλλ' ὥσπερ ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει, οὕτως ἀεὶ γεννητικὸς τῇ φύσει ὁ Πατήρ· τὸ δὲ λέγειν, Ὁ Πατὴρ θέλει τὸν Υἱὸν, καὶ, Ὁ Λόγος θέλει τὸν Πατέρα, οὐ βούλησιν προηγουμένην δείκνυσιν, ἀλλὰ φύσεως γνησιότητα, καὶ οὐσίας ἰδιότητα καὶ ὁμοίωσιν γνωρίζει. Ὡς γὰρ καὶ ἐπὶ τοῦ (89) ἀπαυγάσματος ἄν τις εἴποι καὶ τοῦ φωτὸς, ὅτι τὸ ἀπαύγασμα οὐκ ἔχει μὲν βούλησιν προηγουμένην ἐν τῷ φωτί· ἔστι δὲ φύσει αὐτοῦ γέννημα θελόμενον παρὰ τοῦ φωτὸς του καὶ γεννήσαντος (90) αὐτὸ, οὐκ ἐν

C σκέψει βουλήσεως, ἀλλὰ φύσει καὶ ἀληθείᾳ· οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὀρθῶς ἄν τις εἴποι, ὅτι ὁ Πατὴρ ἀγαπᾷ καὶ θέλει τὸν Υἱὸν, καὶ ὁ Υἱὸς ἀγαπᾷ καὶ θέλει τόν Πατέρα.

67. Οὐκοῦν μὴ λεγέσθω θελήματος δημιούργημα ὁ Υἱὸς, μηδὲ τὰ (91) Οὐαλεντίνου ἐπεισαγέσθω τῇ Ἐκκλησίᾳ, ἀλλὰ βουλὴ ζῶσα, καὶ ἀληθῶς φύσει γέννημα, ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα. Οὕτω γὰρ καὶ ὁ μὲν Πατὴρ εἴρηκεν, Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν· ὁ δὲ Υἱὸς ἀκολούθως, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ ὁ (92) Λόγος ἐν καρδίᾳ, ποῦ ἡ βούλησις; Καὶ εἰ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ποῦ ἡ θέλησις; Καὶ εἰ ἡ βούλησις αὐτὸς, πῶς ἐν βουλήσει

[23] Psal. XLIV, 2, [24] Joan. XIV, 10.

(83) Seguer. Gobler. et Felckm. 1, θελεῖται. Regius primus, τέλυται.

(86) Basil. τὴν péo τις habet. Mox post μέσον. Regius primus et Seguerianus addunt τις, quod in aliis et editis deest.

(87) Uterque Reg. Seguer. Gobler. et Felckm. 1, βουλεύεσθαι. Cæteri et editio Commeliniana, βούλεσθαι.

(88) Sic Reg. 1. Seguer. Gobler. et Felckm. 1. Sed Goblerianus et Felckmanni primus habent ὡς εἰ ἔλεγεν, iidemque et Regius primus, ἐδύνατο. At alii et editi sic hunc locum habent, εἴγε τὸ ἴδιον αὐτῆς λέγοιτο. ἠδύνατο μὴ εἶναι ἀγαθός, etc. Paulo post Regius primus et Seguerianus, ut et legit Nannius, οὕτως ἀεὶ γεννητικός τῇ φύσει ὁ Πατήρ. Regius secundus, οὕτω καὶ ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Alii autem et editi, ἀγαθὸς ἀεὶ καὶ τῇ

D φύσει γεννητικὸς ὁ Πατήρ. Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. 1, τὸ δὲ λέγειν. At in cæteris et editis deest λέγειν.

(86) Regius primus et Seguerianus, Ὡς γὰρ καὶ ἐπὶ τοῦ. Alii et editi, Ὥσπερ ἐπὶ τοῦ.

(90) Regius primus et Seguerianus, τοῦ καὶ γεννήσαντος. Alii et editi καί omittunt Paulo post uterque Regius et Seguerianus ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Cæteri et editi, ἐπὶ τοῦ Πατρός καὶ ἐπὶ τοῦ Υἱοῦ Ibidem Regius primus, Seguer. Goblerian. et Felckm. primus, εἴποι, ὅτι. Alii et editi, εἴποι τοῦτο, ὅτι.

(91) Regius primus et Seguerianus, τά. Alii et editi τό. Mox Basil., ἀλλὰ καὶ βουλή.

(92) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. At in aliis et editis ὁ deest.

ἡ βουλή ; Ἄτοπον γάρ· ἵνα μὴ καὶ ἐν Λόγῳ ὁ Λόγος, καὶ ὁ Υἱὸς ἐν Υἱῷ, καὶ ἡ Σοφία ἐν Σοφίᾳ γίνηται (93), καθάπερ πολλάκις εἴρηται. Πάντα γάρ ἐστιν ὁ Υἱὸς τοῦ Πατρός· καὶ οὐδὲν ἐν τῷ Πατρὶ πρὸ τοῦ Λόγου· αλλ' ἐν τῷ Λόγῳ καὶ ἡ βούλησις· καὶ δι' αὐτοῦ τὰ τοῦ βουλήματος εἰς ἔργον τελειοῦται, ὡς ἔδειξαν (94) αἱ θεῖαι Γραφαί. Ἐβουλόμην δὲ τοὺς ἀσεβεῖς οὕτως εἰς ἀλογίαν πεπτωκότας, καὶ περὶ βουλήσεως σκεπτομένους, νῦν ἐρωτῆσαι μηκέτι τὰς τικτούσας αὐτῶν γυναῖκας, ἃς οὗτοι (95) πρότερον ἠρώτων λέγοντες, Εἰ εἶχες υἱὸν, πρὶν νεννήσῃς ; ἀλλὰ τοὺς πατέρας, καὶ εἰπεῖν αὐτοῖς· Πότερον βουλευόμενοι γίνεσθε πατέρες, ἢ κατὰ φύσιν καὶ τῆς ὑμῶν βουλήσεως ; Ἢ τῆς φύσεως καὶ οὐσίας ὑμῶν ἐστιν ὅμοια τὰ τέκνα ; ἵνα κἂν παρὰ τῶν γονέων ἐντραπῶσι, παρ' ὧν τὸ λῆμμα τῆς γενέσεως ἀπήτησαν, καὶ παρ' ὧν ἤλπισαν ἔχειν τὴν γνῶσιν. Ἀποκριθήσονται γὰρ αὐτοῖς, ὅτι (96) Ἃ γεννῶμεν, οὐ τοῦ θελήματος, ἀλλ' ἡμῶν ἐστιν ὅμοια· οὐδὲ προβουλευσάμενοι γινόμεθα γονεῖς , ἀλλὰ τῆς φύσεως ἰδιόν ἐστι τὸ γεννᾷν· ἐπεὶ καὶ ἡμεῖς τῶν τεκόντων (97) ἐσμὲν εἰκόνες. Ἢ τοίνυν καταγινωσκέτωσαν ἑαυτῶν, καὶ παυέσθωσαν πυνθανόμενοι γυναικῶν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ μανθανέτωσαν παρ' αὐτῶν (98), ὅτι οὐ βουλήσει γεννᾶται ὁ υἱὸς, ἀλλὰ φύσει καὶ ἀληθείᾳ. Πρέπων δὲ καὶ ἁρμόζων τούτοις ὁ ἐξ ἀνθρώπων ἔλεγχος, ἐπειδὴ καὶ ἀνθρώπινα περὶ τῆς θεότητος διαλογίζονται οἱ κακόφρονες. Τί τοίνυν ἔτι (99) μαίνονται οἱ Χριστομάχοι ; Καὶ τοῦτο γὰρ αὐτῶν ὥσπερ οὖν καὶ τὰ ἄλλα προβλήματα δέδεικται καὶ ἠλέγχθη φαντασία καὶ μυθοπλαστία (1) μόνον ὄντα· καὶ διὰ τοῦτο ὀφείλουσι, κἂν ὀψέ ποτε θεωρήσαντες εἰς ὅσον ἀφροσύνης πεπτώκασι κρημνὸν, ἀναδῦναι καὶ φύγειν (2) ἀπὸ τῆς τοῦ διαβόλου παγίδος, νουθετούμενοι παρ' ἡμῶν. Φιλάνθρωπος γὰρ ἡ ἀλήθεια κράζουσα διαπαντός· Εἰ ἐμοὶ μὴ πιστεύετε (3) διὰ τὴν τοῦ σώματος περιβολὴν, κἂν τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· καὶ, Ἐγὼ (4) καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ἀλλ' ὁ μὲν Κύριος συνήθως φιλανθρωπεύεται, καὶ θέλει πάντας ἀνορθοῦσθαι τοὺς κατερράγμένους, ὡς ἡ αἴνεσις λέγει τοῦ Δαβὶδ (5)· οἱ δὲ ἀσεβεῖς οὐ θέλοντες ἀκούειν Κυριακῆς φωνῆς, οὐδὲ φέροντες ὁρᾷν τὸν

A luntas,quomodo consilium sive voluntas in voluntate est? Valde enim hoc absurdum est: ne scilicet Verbum in Verbo, Filius in Filio, et Sapientia in Sapientia fieri existimetur,uti sæpius dictum est. Namque Filius omnia ipse est quæ Patris sunt, nihilque ante Verbum est in Patre: sed in Verbo etiam est voluntas, et per ipsum ea, quæ voluntatis sunt, opere perficiuntur, ut ex divina Scriptura didicimus. Vellem vero ut impii qui eo devenerunt amentiæ,et de voluntate disputant, vellem,inquam, ut non jam interrogarent mulieres, quas ita prius percontabantur, Habuistine filium priusquam genuisses? verum patres potius hoc modo interrogent: An deliberando patres efficimini,an vero secundum naturam vestræ etiam voluntatis? An liberi similes sunt vestræ naturæ et substantiæ? Hæc igitur inquirant a parentibus, ut ab his ipsis confutentur, **489** a quibus quæ elicienda esset ex sua de nascendi modo quæstione conclusio tam impense flagitarunt, speraruntque rem ex ipsis plane cognituros. Hæc scilicet illi sunt responsuri: Ea quæ gignimus,non voluntatis sunt,sed nostri sunt similia: neque prius deliberando patres efficimur, sed gignere proprium est naturæ, quandoquidem nos quoque ipsi parentum sumus imagines. Vel ergo seipsos condemnent, et mulieres de Filio Dei desinant interrogare: vel certe ab ipsis discant non voluntate,sed natura et revera filium gigni. Æquum enim est eos argumentis ex hominum natura petitis refelli, qui humana de divinitate improbe cogitant. Quid igitur adhuc insaniunt Christi hostes? Nam hanc illorum rationem ut et alias omnes ostendimus ac convicimus nihil nisi fabulas et mera commenta esse. Sero igitur saltem animadvertant in quantam insipientiæ voraginem sese præcipitaverint, ac nostris monitionibus excitati, tandem inde festinent emergere, seque ex diaboli laqueis expedire. Siquidem benigna est veritas quæ assidue clamat: *Si mihi* ob corporis amictum *non creditis, operibus* saltem *credite, ut cognoscatis, quia ego in Patre, et Pater in me est* [24], et, *Ego et Pater unum sumus* [26], et, *Qui vidit me, vidit Patrem* [27]. Verum Dominus quidem pro more suo clementer

[24] Joan. x, 38. [26] ibid. 30. [27] Joan. xiv, 9.

(93) Sic Regius primus et Seguerianus. At editi, γένηται.

(94) Sic primus codex Reg. Seguer. Gobler. et Felckm. 1. Cæteri autem et editi, ἐδίδαξαν Ibidem Regius primus et Seguerianus, Ἐβουλόμην δὲ τούς. Regius secundus, Ἐβουλόμην οὖν τούς. Alii et editi Ἐβουλόμην τούς.

(95) Primus codex Regius et Seguerianus, ἑαυτῶν γυναῖκας ἃς αὐτοί. Ibidem πότερον abest a Gobleriano et Felckm. primo, pro quo Anglic., πρότερον. Item ibidem Regius primus et Seguerianus, βουλευόμενοι, et mox, καὶ τῆς ὑμῶν. Alii editique, βουλόμενοι. iidemque καί omittunt.

(96) Reg. 1 et Seguer. addunt ὅτι, quod in aliis et editis deest. Ibid. Felc. 2 et editio Commel., οὐ θελήματος ἡμῶν ἐστιν ὅμοια.

(97) Sic Regius primus, Seguerian. Goblerian. et Felc. 1. At alii et editio Commel., τέκνων. Mox Reg. 1, Seguer. Gobler. et Felc. 1, παυέσθωσαν. Alii et editi, παυσάσθωσαν.

(98) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, καὶ παρ' αὐτῶν.

(99) Ἔτι et mox καί absunt a Reg. 1 et Seguer.

(1) Sic primus codex Regius, Seguer. Gobler. et Felc. 1. At alii et editi, μυθοπλασία.

(2) Regius 1, Seguerian., φυγεῖν. Cæteri et editi, φεύγειν.

(3) Regius primus, Seguerian., Εἰ ἐμοὶ μὴ πιστεύετε, et mox, κἂν τοῖς ἔργοις. Gobler. et Felc. 1, item πιστεύετε. Alii et editi, Ἐὰν ἐμοὶ μὴ πιστεύητε, et omittunt κἂν.

(4) Regius primus et Seguer., κἀγώ.

(4) Gobler. et Felc. 1, ὡς αἰνεῖ Δαβίδ.

agit, et omnes elisos erigit, ut ait David [28]: at impii Dominicam vocem nolentes audire, nec ferentes Dominum, Deum et Dei Filium palam ab omnibus agnosci, veluti scarabæi, cum suo patre diabolo miseri circumeunt, ut nova impietatis confirmandæ reperiant argumenta. Quid igitur ultra vel unde invenire possint, nisi a Judæis et Caipha impia mutuentur maledicta, et cum gentilibus verum Deum negent? Siquidem clausæ illis sunt divinæ Scripturæ, ex quibus videlicet et stulti et Christi hostes esse omni ex parte sunt convicti.

A Κύριον (6) ὑπὸ πάντων ὁμολογούμενον Θεὸν, καὶ Θεοῦ Υἱὸν, περιέρχονται οἱ ἄθλιοι, ὡς (7) οἱ κάνθαροι, μετὰ τοῦ πατρὸς ἑαυτῶν τοῦ διαβόλου προφάσεις εἰς ἀσέβειαν ζητοῦντες. Ποίας οὖν ἄρα μετὰ ταῦτα πάλιν (8), ἢ πόθεν εὑρεῖν δυνήσονται, εἰ μὴ ἄρα παρὰ μὲν Ἰουδαίων καὶ τοῦ Καϊάφα (9) δανείσωνται τὰς δυσφημίας, παρ' Ἑλλήνων δὲ λάβωσι τὴν ἀθεότητα; αἱ γὰρ θεῖαι Γραφαὶ τούτοις ἐκλείσθησαν, καὶ πανταχόθεν ἐξ αὐτῶν ἠλέγχθησαν ἄφρονες καὶ Χριστομάχοι.

—

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ (10).

EJUSDEM ORATIO QUARTA.

1. Ex Deo Deus est Verbum: namque *Deus erat Verbum* [29]; et rursus: *Quorum patres, et ex quibus Christus qui est super omnia Deus benedictus in sæcula. Amen* [30]. Quia porro ex Deo Deus est, et Dei Verbum, Sapientia, Filius et Virtus est Christus; idcirco unus Deus in divinis Scripturis annuntiatur. Cum enim Verbum unius Dei sit Filius, ad illum cujus est refertur, ita ut duo quidem sint Pater et Filius, unitas vero divinitatis individua sit nulloque modo separabilis: ac proinde dicendum est unum esse divinitatis principium, non duo principia: unde proprie et monarchia est. Ex ipso autem principio Verbum Filius natura existit, non ut aliud principium per seipsum subsistens, neque aliunde quam ex ipso uno principio natus, ne dyarchiam et polyarchiam, id est duo vel plurima principia diversitas inducat, sed unius principii proprius est Filius, propria sapientia, propriumque Verbum ex eo **490** exsistens. Nam, ut docet Joannes, *in* isto *principio erat Verbum, et Verbum erat apud Deum* [31]. Deus enim principium est. Unde quia ex hoc principio est, idcirco etiam *Deus erat Verbum* [31]. Porro quemadmodum unum est principium, et proinde unus Deus, ita quæ verissime est essentia et substantia, una est quæ dicit: *Ego sum qui sum* [32], non autem duæ, ne scilicet duo sint principia. Ex una autem illa substantia exsistit natura et vere Filius, Verbum, sapientia, propriaque ejus virtus, nec ab ea separabilis. Ut vero non alia est essentia seu substantia, ne duo sint principia: sic Verbum quod ex una exsistit, nihil fluxum, nec

B 1. Ἐκ Θεοῦ Θεός ἐστιν ὁ Λογος· καὶ Θεὸς γὰρ ἦν ὁ Λόγος· καὶ πάλιν· Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ (11) ἐπειδὴ ἐκ Θεοῦ Θεός ἐστι, καὶ τοῦ Θεοῦ Λόγος, Σοφία, Υἱὸς, καὶ δύναμίς ἐστιν ὁ Χριστὸς, διὰ τοῦτο εἷς Θεὸς ἐν ταῖς θείαις Γραφαῖς καταγγέλλεται. Τοῦ ἑνὸς γὰρ Θεοῦ Υἱὸς ὢν ὁ Λόγος, εἷς αὐτὸν, οὗ καὶ ἔστιν, ἀναφέρεται· ὥστε δύο μὲν εἶναι Πατέρα καὶ Υἱὸν, μονάδα δὲ θεότητος ἀδιαίρετον καὶ ἄσχιστον. Λεχθείη δ' ἂν καὶ (12) οὕτω μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐστίν. Ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἐστι φύσει Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεστὼς οὐδ' ἔξωθεν ταύτης γεγονὼς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία γένηται, ἀλλὰ τῆς μιᾶς
C ἀρχῆς ἴδιος Υἱὸς, ἰδία σοφία (13), ἴδιος Λόγος, ἐξ αὐτῆς ὑπάρχων. Κατὰ γὰρ τὸν Ἰωάννην, ἐν ταύτῃ τῇ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· Θεὸς γάρ ἐστιν ἡ ἀρχή· καὶ ἐπειδὴ ἐξ αὐτῆς ἐστι, διὰ τοῦτο καὶ Θεὸς ἦν ὁ Λόγος. Ὥσπερ δὲ μία ἀρχὴ· καὶ κατὰ τοῦτο εἷς Θεός· οὕτως ἡ τῷ ὄντι καὶ ἀληθῶς καὶ ὄντως οὖσα οὐσία καὶ ὑπόστασις μία ἐστὶν ἡ λέγουσα, Ἐγώ εἰμι ὁ ὤν, καὶ οὐ δύο, ἵνα μὴ δύο ἀρχαί. Ἐκ δὲ τῆς μιᾶς φύσει καὶ ἀληθῶς Υἱὸς, ὁ Λόγος, ἡ σοφία, ἡ δύναμις ἰδία ὑπάρχουσα αὐτῆς, καὶ ἐξ αὐτῆς ἀχώριστος. Ὥσπερ δὲ οὐκ ἄλλη, ἵνα μὴ δύο ἀρχαί. οὕτως ὁ ἐκ τῆς μιᾶς Λόγος οὐ διαλελυμένος (14), ἢ ἁπλῶς φωνὴ σημαντική, ἀλλὰ οὐσιώδης Λόγος καὶ οὐσιώδης σοφία, ἥτις ἐστὶν ὁ Υἱὸς ἀληθῶς. Εἰ γὰρ δὴ μὴ οὐσιώδης εἴη, ἔσται ὁ Θεὸς λαλῶν εἰς ἄερα, καὶ σῶμα οὐδὲν πλέον ἔχων τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ

[28] Psal. CXLV, 8. [29] Joan. I, 1. [30] Rom. IX, 5. [31] Joan. I, 1. [31a] ibid. [32] Exod. III, 14.

(6) Reg. 1 et Seg., Κύριον. Alii et ed., Χριστόν.

(7) Sic Reg. 1 et Seguer. At in Gobler. et Felc. 1 deest ὡς, in aliis autem et editis οἱ. Ibid. Reg. 1 et Seguer., πατρὸς ἑαυτῶν. Cæt. et ed., πατρὸς αὐτῶν.

(8) Πάλιν abest a Reg. 1 et Seguer.

(9) Sic Gobler. et Felc. 1. At Regius primus, παρὰ μὲν Ἰουδαίων τοῦ Καϊάφα. Seguer., παρὰ μὲν τῶν Ἰουδαίων τῶν τοῦ. Alii et editio Gommel., παρὰ Ἰουδαίων καὶ τοῦ· Ibidem Seguer., δανείσωνται. Alii et editi, δανείσονται.

(10) Seguerianus hunc habet titulum Τοῦ αὐτοῦ λόγος ε'. Regius quem primum Orationem superiore

D appellabamus, τοῦ αὐτοῦ, tantum, sed idem in Indice addit λόγος τέταρτος. Hæc autem Oratio in altero Regio deest Gobler. et Felc. 1, κατὰ Ἀρειανῶν λόγος ε'. Basiliensis κατὰ Ἀρειανῶν λόγος ἕκτος. Vide Admonitionem p. 318, num. 2. Anglic., κατὰ Ἀρειανῶν λόγος, nullo addito numero.

(11) Gobler. et Felc. 1, καί omittunt.

(12) Καί abest ab Anglic.

(13) Sic mss. At editio Commel., Υἱὸς ἴδιος, Υἱὸς ἰδία, etc.

(15) Sic Seguer. Basil. et Anglic. At alii et editi διαλελυμένως.

οὐκ ἔστιν ἄνθρωπος· οὐκ ἂν εἴη δὲ καὶ ὁ Λόγος αὐτοῦ κατὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ὥσπερ (15) γὰρ μία οὐσία ἡ ἀρχὴ, οὕτως εἷς οὐσιώδης καὶ ὑφεστὼς ὁ ταύτης Λόγος καὶ ἡ σοφία. Ὡς γὰρ ἐκ Θεοῦ Θεός ἐστι, καὶ ἐκ σοφοῦ σοφία, καὶ ἐκ λογικοῦ Λόγος, καὶ ἐκ Πατρὸς Υἱός· οὕτως ἐξ ὑποστάσεως ὑπόστατος (16), καὶ ἐξ οὐσίας οὐσιώδης καὶ ἐνούσιος, καὶ ἐξ ὄντος ὤν. ita unum est essentiale et subsistens ejus Verbum et sapientia. Nam ut ex Deo Deus est, ex sapiente sapientia, ex rationali mente Ratio seu Verbum, et ex Patre Filius : ita ex substantia substantialis est, ex essentia essentialis, ac denique vere est ut qui sit ab eo qui est.

A vox tantum significans est, sed essentiale Verbum et essentialis est sapientia, quæ vere Filius est. Nam nisi essentiale Verbum esset, sequeretur Deum verba sua per aerem effundere, corpusque, ut homines, habere. Quoniam vero homo non est, nec item ejus Verbum quidquam hominum infirmitati simile habet. Ut enim principium una est essentia,

2. Ἐπεὶ εἰ μὴ οὐσιώδης σοφία, καὶ ἐνούσιος Λόγος, καὶ ὢν Υἱὸς, ἀλλὰ ἁπλῶς σοφία, καὶ Λόγος, καὶ Υἱὸς ἐν τῷ Πατρί· εἴη ἂν αὐτὸς ὁ Πατὴρ σύνθετος ἐκ σοφίας καὶ Λόγου. Εἰ δὲ τοῦτο, ἀκολουθήσει τὰ προειρημένα ἄτοπα· ἔσται δὲ καὶ αὐτὸς ἑαυτοῦ Πατὴρ, καὶ ὁ Υἱὸς αὐτὸς ἑαυτὸν γεννῶν, καὶ γεννώμενος ὑφ' ἑαυτοῦ· ἢ ὄνομα μόνον ἐστὶ Λόγος, καὶ Σοφία, καὶ Υἱὸς, οὐχ ὑφέστηκε δὲ, καθ' οὗ λέγεται ταῦτα, μᾶλλον δὲ ὅς ἐστι ταῦτα. Εἰ οὖν οὐχ ὑφέστηκεν, ἀργὰ ἂν εἴη καὶ κενὰ τὰ ὀνόματα, ἐκτὸς εἰ μὴ ἄν τις εἴποι αὐτοσοφίαν εἶναι καὶ Αὐτολόγον τὸν Θεόν. Ἀλλ' εἰ τοῦτο, εἴη ἂν αὐτὸς ἑαυτοῦ Πατὴρ καὶ Υἱός· Πατὴρ μὲν, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία (17). Ἀλλὰ μὴ ὡς ποιότης τις ταῦτα ἐν τῷ Θεῷ· ἄπαγε! ἀπρεπὲς τοῦτο· εὑρεθήσεται γὰρ σύνθετος ὁ Θεὸς ἐξ οὐσίας καὶ ποιότητος. Πᾶσα γὰρ ποιότης ἐν οὐσίᾳ ἐστί. Κατὰ τοῦτο δὲ ἡ θεία μονὰς, ἀδιαίρετος οὖσα, σύνθετος φανήσεται, τεμνομένη εἰς οὐσίαν καὶ συμβεβηκός. Ψευστέον οὖν τῶν προπετῶν· Ὁ Υἱὸς σοφία καὶ Λόγος ἐκρύχθη τοῦ Θεοῦ· πῶς τοίνυν ἐστίν; Εἰ μὲν ὡς ποιότης, ἐδείχθη τὸ ἄτοπον· εἰ δὲ αὐτοσοφία ὁ Θεὸς, καὶ τὸ ἐκ τούτου ἄτοπον εἴρηται παρὰ Σαβελλίῳ. Οὐκοῦν ὡς γέννημα κυρίως ἐξ αὐτοῦ τοῦ Πατρὸς, κατὰ τὸ τοῦ φωτὸς παράδειγμα. Ὡς γὰρ ἀπὸ πυρὸς φῶς. οὕτως ἐκ Θεοῦ Λόγος, καὶ σοφία ἐκ σοφοῦ, καὶ ἐκ Πατρὸς Υἱός (18). Ταύτῃ γὰρ καὶ ἡ μονὰς ἀδιαίρετος καὶ ὁλόκληρος μένει, καὶ ὁ ταύτης Υἱὸς Λόγος οὐκ ἀνούσιος, οὐδὲ οὐχ ὑφεστὼς, ἀλλ' οὐσιώδης ἀληθῶς. Ἐπεὶ εἰ μὴ τοῦτον ἔχει τὸν τρόπον, εἴη ἂν πάντα, ἃ λέγεται, κατ' ἐπίνοιαν καὶ ἁπλῶς λεγόμενα. Εἰ δὲ ψευκτέον τὸ ἐκ τῆς ἐπινοίας ἄτοπον, ἆρα ἀληθὴς Λόγος οὐσιώδης ἐστίν. Ὥσπερ γὰρ ἀληθῶς Πατὴρ, οὕτως ἀληθῶς Σοφία. Κατὰ τοῦτο οὖν δύο μὲν, ὅτι μὴ κατὰ Σαβέλλιον ὁ αὐτὸς Πατὴρ καὶ Υἱὸς, ἀλλὰ ὁ Πατὴρ Πατὴρ, καὶ ὁ Υἱὸς Υἱός· ἓν δὲ, ὅτι Υἱὸς τῆς οὐσίας τοῦ Πατρός ἐστι φύσει, ἴδιος ὑπάρχων Λόγος αὐτοῦ. Τοῦτο ὁ Κύριος ἔλεγεν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Οὔτε γὰρ ὁ Λόγος κεχώρισται τοῦ Πατρὸς, οὔτε ὁ Πατὴρ ἄλογος πώποτε ἦν ἢ ἐστι. Καὶ ὁ Λόγος οὖν Θεὸς, καὶ ὁ Πατὴρ οὐκ ἄλογος· διὰ τοῦτο, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, εἴρηκεν.

2. Alioquin nisi essentialis esset sapientia Verbumque essentiale, et Filius qui vere sit, sed simpliciter sapientia, Verbum, et Filius in Patre, sane ipse Pater ex sapientia et Verbo esset compositus. Quod quidem si verum est, supra allata absurda sequentur necessario : ipse autem suimet Pater et B Filius futurus est, ipse seipsum est geniturus, et a seipso gignetur : vel certe merum nomen erit Verbum, Sapientia et Filius ; ille autem, de quo hæc dicuntur, vel potius qui hæc omnia est, nihil erit subsistens. Si itaque nihil est subsistens, vana igitur et inutilia sunt illa nomina, nisi forte quis dicat ipsum Deum sapientiam ipsam et Verbum ipsum esse. Quod si concedatur : vere ipse suimet Pater et Filius erit ; Pater videlicet cum sapiens dicitur : Filius, cum sapientia. Atqui ea in Deo non sunt ut qualitas. Apage igitur ! id indignum Deo. Ex his enim efficitur Deum ex essentia et qualitate compositum esse. Siquidem omnis qualitas in essentia est : ac proinde divina unitas, quæ individua est, composita videbitur, utpote in essentiam et acci- C dens divisa. Sic itaque temerarios hosce homines interrogemus : Filius sapientia et Verbum Dei esse prædicatus est : quonam igitur modo id ipse est ? Si ut qualitas ; id absurdum esse jam ostendimus. Si vero ipse Deus sapientia ipsa est : certe quod inde absurdi sequitur, dictum a Sabellio est. Quamobrem fatendum est eum tanquam fetum proprie ex ipso Patre esse, juxta lucis exemplum. Ut enim ab igne lux oritur : ita Verbum ex Deo est, sapientia ex sapiente, et ex Patre Filius. Hac enim ratione unitas individua et integra manet, ejusque Filius Verbum non aliquid est essentia vacuum vel non subsistens, sed vere essentiale est. Alioquin nisi hæc ita esse concedatur, sana quidquid ipse dicitur, cogitatione et verbo tenus exsistet : quæ D sententia si est repudianda, igitur verum Verbum essentiale est. Namque ut vere Pater est, ita vere est Sapientia Unde efficitur ut duo sint Pater et Filius, non vero idem, ut contendit Sabellius : sed Pater, Pater est ; et Filius, Filius. Unum autem sunt, quia Filius essentiæ Patris natura Filius est, propriumque ejus Verbum exsistit. Id Dominus ipse aiebat. *Ego et Pater unum sumus* [33]. Nec enim Verbum separatum a Patre est, nec unquam Pater sine Ratione **491** sive Verbo fuit vel est. Verbum igitur Deus est, nec Pater sine Verbo est : unde dixit : *Ego in Patre, et Pater in me est* [33].

[33] Joan. x, 30. [33*] Joan. xiv, 10.

(15) Anglicanus, Εἴπερ.
(16) Reg. et Seguer., ὑποστατὸς, ultima gravi.
(17) Regius, Seguer. Basil. Anglic, Gobler. et Felc. 1, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία. Alii et editi, ὅτι σοφὸς, Υἱὸς δὲ, ὅτι σοφία.
(18) Sic mss. At Com., καὶ Σοφία ἐκ Πατρὸς Υἱός.

3. Præterea Christus Verbum Dei est: num ergo ex seipso exstitit, deindeque exsistens cum Patre est copulatus? An vero Deus ipsum fecit, et sui ipsius Verbum appellavit? Si primum concedatur, id est, si seipso exstitit et est Deus, duo igitur erunt principia, nec ille Patris proprius erit, et merito quidem, utpote qui non ipsius Patris, sed sui ipsius sit. Quod si extrinsecus factus est, res creata certe erit. Restat itaque ut eum ex ipso Deo esse dicamus: quod si verum est, aliud (19) sane fuerit id quod est ex aliquo, et aliud id ex quo est: ac proinde fatendum est duo esse. Nam si duo non fuerint, sed hæc de eodem dicantur: idem igitur sui causa et effectus erit, idem quod gignitur et gignit; quod quidem absurdum ex Sabellii errore manare ostensum est. Quod si ex ipso quidem est, nec tamen aliud ab eo: sequitur ut idem sit et gignens et non gignens; gignens, quia ex se illud profert; non gignens, quia aliud ab eo non est. Quod postremum si admittatur, colligitur eumdem cogitatione tantum, Patrem et Filium dici. Sed si id absurdum est, igitur duo erunt Pater et Filius. Unum item iidem erunt, quia Filius non extrinsecus, sed ex Deo genitus est. Si quis autem Verbum, fetum sive genitum dicere reformidat, ipsumque cum Deo exsistere putat tantummodo dicendum: caveat ille ne nomine Scripturæ usitato uti refugiens, in absurdam incidat opinionem, qua Deum duplicis naturæ inducat. Si enim non concedit Verbum ex unitate esse, sed tantum cum Patre fuisse copulatum, duas certe admittit essentias, quarum neutra alterius parens est. Idem etiam de virtute sive potentia dicendum est. Id autem facilius poterit intelligi, si in Patre spectetur. Unus enim est Pater, non duo, sed ex uno est Filius. Ut ergo non sunt duo Patres, sed unus: ita non duo principia sunt, sed unum, et ex uno essentialis exsistit Filius. Rursus vero Arianos interrogemus. Nam quod ad Sabellii sectatores attinet, illi ex Filii notitia refellendi sunt: Ariani vero, ex Patris notione.

A

B

C

3. Καὶ πάλιν ὁ Χριστὸς Λόγος τοῦ Θεοῦ ἐστι. Πότερον οὖν ἀφ' ἑαυτοῦ ὑπέστη, καὶ ὑποστὰς προσκεκόλληται τῷ Πατρί; ἢ ὁ Θεὸς αὐτὸν πεποίηκε καὶ ὠνόμασεν (20) ἑαυτοῦ Λόγον; Εἰ μὲν οὖν τὸ πρῶτον, λέγω δή, τὸ, ἑαυτῷ ὑπέστη (21) καὶ Θεός ἐστι, δύο ἂν εἶεν ἀρχαί, οὐκ ἔσται δὲ εἰκότως οὐδὲ τοῦ Πατρὸς ἴδιος, διὰ τὸ μὴ αὐτοῦ τοῦ Πατρὸς, ἀλλ' ἑαυτοῦ εἶναι· εἰ δὲ ἔξωθεν πεποίηται, εἴη ἂν κτίσμα. Λείπεται δὴ ἐξ αὐτοῦ τοῦ Θεοῦ λέγειν αὐτόν· εἰ δὲ τοῦτο, ἄλλο ἂν εἴη τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι· κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον (22) καὶ αἰτιατὸν, καὶ γεννώμενον καὶ γεννῶν, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται. Εἰ δὲ ἐξ αὐτοῦ μὲν ἔστιν, οὐκ ἄλλο δέ· ἔσται καὶ γεννῶν, καὶ μὴ γεννῶν· γεννῶν μὲν, ὅτι ἐξ αὐτοῦ προφέρει, μὴ γεννῶν δὲ, ὅτι μὴ ἄλλο αὐτοῦ ἐστιν. Εἰ δὲ τοῦτο, εἴη ἂν κατ' ἐπίνοιαν λεγόμενος ὁ αὐτὸς Πατὴρ καὶ Υἱός. Εἰ δὲ ἀπρεπὲς οὕτως, εἴη ἂν δύο, Πατὴρ καὶ Υἱός· ἓν δὲ, ὅτι ὁ Υἱὸς οὐκ ἔξωθεν, ἀλλ' ἐκ τοῦ Θεοῦ γεγέννηται (23). Εἰ δὲ φεύγει τις τὸ λέγειν γέννημα, μόνον δὲ λέγει ὑπάρχειν τὸν Λόγον σὺν τῷ Θεῷ· φοβηθήτω ὁ τοιοῦτος μὴ, φεύγων τὸ ὑπὸ τῆς Γραφῆς λεγόμενον, ἐμπέσῃ εἰς ἀτοπίαν, διφυῆ τινα εἰσάγων τὸν Θεόν· μὴ διδοὺς γὰρ ἐν τῇ μονάδος εἶναι τὸν Λόγον, ἀλλ' ἁπλῶς κεκολλῆσθαι τῷ Πατρὶ Λόγον, δυάδα οὐσίας εἰσάγει, μηδετέρας τῆς ἑτέρας Πατέρα τυγχάνουσαν. Τὸ αὐτὸ δὲ καὶ περὶ δυνάμεως. Φανερώτερον δ' ἂν τις ἴδοι τοῦτο, εἰ ἐπὶ Πατρὸς λάβοι· εἷς γὰρ Πατὴρ, καὶ οὐ δύο, ἀλλ' ἐκ τοῦ ἑνὸς ὁ Υἱός. Ὥσπερ οὖν οὐ δύο Πατέρες, ἀλλ' εἷς, οὕτως οὐ δύο ἀρχαί, ἀλλὰ μία, καὶ ἐκ τῆς μιᾶς οὐσιώδης ὁ Υἱός. Πρὸς Ἀρειανοὺς δὲ ἀνάπαλιν ἐρωτητέον· τοὺς μὲν γὰρ Σαβελλίζοντας ἀπὸ τῆς περὶ Υἱοῦ ἐννοίας ἐλεγκτέον, τοὺς δὲ Ἀρειανοὺς ἀπὸ τῆς περὶ Πατρός.

4. Sic igitur disserendum est: Vel Deus est sapiens, nec sine Verbo sive Ratione; vel contra, sine sapientia est et Verbo seu Ratione. Si secundum admittitur, id per se absurdum esse liquet: si primum conceditur, rursus sciscitandum est, quonam modo sit sapiens, nec sine Verbo seu Ratione: extrinsecusne sapientiam et Verbum, an vero ex seipso habeat? Si extrinsecus habet: aliquis igitur prius illi dedit, ipseque, antequam acciperet, sine sapientia et Verbo sive Ratione erat. Quod si ex seipso habet Verbum, palam igitur est ipsum ex nihilo non esse, neque fuisse aliquando cum non esset. Siquidem semper fuit, quippe cum ille, cujus imago est, semper exsistat. At si responderint Deum sapientem quidem esse nec sine Verbo sive Ratione,

D

4. Λεκτέον οὖν· Ὁ Θεὸς σοφὸς καὶ οὐκ ἄλογός ἐστιν, ἢ τοὐναντίον ἄσοφος καὶ ἄλογος. Εἰ μὲν οὖν τὸ δεύτερον, αὐτόθεν ἔχει τὴν ἀτοπίαν· εἰ δὲ τὸ πρῶτον, ἐρωτητέον, πῶς ἐστι σοφὸς, καὶ οὐκ ἄλογος· πότερον ἔξωθεν ἐσχηκὼς τὸν Λόγον καὶ τὴν σοφίαν, ἢ ἐξ ἑαυτοῦ; Εἰ μὲν οὖν ἔξωθεν, ἔσται τις ὁ προδεδωκὼς (24) αὐτῷ, καὶ πρὶν λαβεῖν ἄσοφος καὶ ἄλογος· εἰ δὲ ἐξ αὐτοῦ, δῆλον ὅτι (25) οὐκ ὄντων, οὐδ' ἦν ποτε ὅτε οὐκ ἦν· ἀεὶ γὰρ ἦν· ἐπεὶ καὶ οὗ ἐστιν εἰκὼν, ἀεὶ ὑπάρχει. Ἐὰν δὲ λέγωσιν, ὅτι σοφὸς μὲν ἔστι καὶ οὐκ ἄλογος, ἰδίαν δὲ ἔχει ἐν ἑαυτῷ σοφίαν καὶ ἴδιον Λόγον, οὐ τὸν Χριστὸν δὲ· ἀλλ' ἐν ᾧ καὶ τὸν Χριστὸν ἐποίησε· λεκτέον, ὅτι, εἰ ὁ Χριστὸς ἐν ἐκείνῳ τῷ Λόγῳ γέγονε, δῆλον ὅτι καὶ τὰ πάντα· καὶ αὐτὸς ἂν εἴη, περὶ οὗ λέγει Ἰωάννης, Πάντα δι' αὐτοῦ ἐγένετο·

(19) Sic hic et mox, Græcum secuti, reddimus, non *alius*, ut solent loqui in scholis Theologi. Vide supra, pag. 438, num. 4.

(20) Regius et Seguer., ὠνόμακεν.

(21) Regius, Gobler. et Felck. 1, ὑπέστη. Seguer. Basil. et Anglic., ὑφέστη. Editi, ὑφέστηκε. Paulo post Regius, Basil. et Anglic., μὴ αὐτοῦ τοῦ Πατρός. In aliis et editione Commeliniana, τοῦ deest.

(22) Regius primus et Seguerian,, τὸ αὐτὸ αὐτοαίτιον.

(23) Basiliensis, γεγένηται.

(24) Regius, προσδεδωκώς.

(25) Regius et Seguer., δηλονότι.

καὶ ὁ Ψαλμῳδὸς δὲ, Πάντα (26) ἐν σοφίᾳ ἐποίησας. Εὑρεθήσεται δὲ ὁ Χριστὸς ψευδόμενος, Ἐγὼ ἐν τῷ Πατρὶ, ὄντος ἑτέρου ἐν τῷ Πατρί. Καὶ, Ὁ Λόγος δὲ σὰρξ ἐγένετο, οὐκ ἀληθὲς κατ' αὐτούς· εἰ γὰρ, ἐν ᾧ τὰ πάντα ἐγένετο, αὐτὸς ἐγένετο σὰρξ, ὁ δὲ Χριστὸς οὐκ ἔστιν ἐν τῷ Πατρὶ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο· ἄρα ὁ Χριστὸς (27) οὐ γέγονε σὰρξ, ἀλλ' ὥσως ὠνομάσθη Λόγος ὁ Χριστός. Καὶ εἰ τοῦτο, πρῶτον μὲν ἄλλος ἂν εἴη παρὰ τὸ ὄνομα· ἔπειτα οὐ δι' αὐτοῦ ἐγένετο τὰ πάντα, ἀλλ' ἐν ἐκείνῳ, ἐν ᾧ καὶ ὁ Χριστός. Εἰ δὲ φήσαιεν, ὡς ποιότητα εἶναι ἐν τῷ Πατρὶ τὴν σοφίαν, ἢ αὐτοσοφίαν εἶναι· ἀκολουθήσει τὰ ἐν τοῖς ἔμπροσθεν ἄτοπα εἰρημένα. Ἔσται γὰρ σύνθετος, καὶ αὐτὸς ἑαυτοῦ Υἱὸς καὶ Πατὴρ γινόμενος (28). Ἱλὴν ἐλεγκτέον καὶ δυσωπητέον αὐτούς, ὅτι ὁ ἐν τῷ Θεῷ Λόγος, οὐκ ἂν εἴη κτίσμα, οὐδὲ ἐκ τοῦ μὴ ὄντος· ὄντος δὲ ἅπαξ ἐν Θεῷ Λόγου, αὐτὸς ἂν εἴη ὁ Χριστὸς ὁ λέγων, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, ὁ διὰ τοῦτο καὶ μονογενὴς ὢν, ἐπειδὴ οὐκ ἄλλος τις ἐξ αὐτοῦ ἐγεννήθη. Εἷς οὗτος Υἱὸς (29), ὅς ἐστι Λόγος, σοφία, δύναμις· οὐ γὰρ σύνθετος ἐκ τούτων ὁ Θεὸς, ἀλλὰ γεννητικός. Ὥσπερ γὰρ τὰ κτίσματα Λόγῳ δημιουργεῖ, οὕτω κατὰ φύσιν τῆς ἰδίας οὐσίας ἔχει γέννημα τὸν Λόγον, δι' οὗ καὶ δημιουργεῖ, καὶ κτίζει, καὶ οἰκονομεῖ τὰ πάντα. Τῷ γὰρ Λόγῳ καὶ τῇ σοφίᾳ τὰ πάντα γέγονε, καὶ τῇ διατάξει αὐτοῦ διαμένει τὰ σύμπαντα. Τὸ αὐτὸ δὲ καὶ περὶ Υἱοῦ· εἰ ἄγονος, καὶ ἀνενέργητος ὁ Θεός· γέννημα γὰρ αὐτοῦ ὁ Υἱὸς (30) δι' οὗ ἐργάζεται. Εἰ δὲ μὴ, αἱ αὐταὶ ἐρωτήσεις καὶ τὰ αὐτὰ ἄτοπα τοῖς ἀναισχυντοῦσιν ἀκολουθήσει.

A sed propriam in seipso habere sapientiam, proprium*que* Verbum, non autem Christum, sed in quo ipsum etiam Christum fecerit : dicendum quod, si Christus in illo Verbo factus sit, sine dubio omnia quoque in eodem facta sunt, ipsumque illud est Verbum de quo Joannes dicit : *Omnia per ipsum facta sunt* [34] ; et Psalmista, *Omnia in sapientia fecisti* [35]. Quin et ipse Christus mentitus esse reperietur cum ait, *Ego in Patre*, quandequidem alius est in Patre. Falsum item ex illorum sententia erit quod dicitur, *Verbum caro factum est* [36]. Namque si illud Verbum caro factum **492** est in quo omnia facta sunt, nec Christus est in Patre Verbum per quod omnia facta sunt : igitur Christus non factus est caro, sed forte Christus Verbum appellatus est. Quod quidem si verum est, primo, B alius erit quam qui nomine significatur : deinde, non per eum omnia facta erunt, sed in illo, in quo Christus quoque ipse factus est. Si autem dixerint sapientiam in Patre instar qualitatis esse, vel eum sapientiam ipsam esse ; quæ supra recensuimus absurda, necessario consequentur, videlicet eum compositum esse, suique ipsius esse Patrem et Filium. Verum coarguendi illi sunt et confutandi. Siquidem Verbum, quod in Deo est, nec creatum, nec ex nihilo potest esse. Si item Verbum in Deo est ; ipse certe Christus fuerit, qui ait, *Ego in Patre, et Pater in me est* [37] ; qui idem idcirco unigenitus est, quia nullus alius ex eo sit genitus. Unus hic est Filius, qui et Verbum, sapientia et virtus sive potentia est. Nec enim ex his est compositus Deus, sed horum est genitor. Namque quemadmodum res creatas Verbo producit, ita secundum propriæ essentiæ naturam Verbum gignit, per quod omnia efficit, creat et administrat. Siquidem omnia Verbo et sapientia facta sunt, ejusque imperio universa perseverant [38]. Idem autem de Filio dicendum : nimirum si nihil gignit Deus, nihil item agit sive efficit : nam ejus fetus est Filius per quem agit. Sin minus : ad easdem interrogationes eademque absurda impudentes hi homines revolventur.

5. Ἐκ τοῦ Δευτερονομίου· Ὑμεῖς δὲ οἱ προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν, ζῆτε (31) πάντες ἐν τῇ σήμερον. Ἐκ τούτου δυνατὸν εἰδέναι τὴν διαφορὰν, καὶ γνῶναι, ὅτι οὐκ ἔστι κτίσμα ὁ Υἱὸς τοῦ Θεοῦ. Ὁ μὲν (32) γὰρ Υἱὸς λέγει, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· τὰ δὲ γενητὰ, ὅτ' ἂν προκόπτῃ, πρόσκειται τῷ Κυρίῳ. Ὁ μὲν γὰρ Λόγος, ὡς ἴδιος, ἐν τῷ Πατρί ἐστι· τὰ δὲ γενητὰ, ἔξωθεν ὄντα, πρόσκειται, ὡς τῇ μὲν φύσει ἀλλότρια, τῇ δὲ προαιρέσει προσκείμενα.

C 5. Ex Deuteronomio : *Vos autem, qui adhæretis Domino Deo vestro, vivitis universi hodierna die* [39]. Ex his verbis discrimen Filii et rerum creatarum licet perspicere, intelligereque Filium Dei creatum minime esse. Enimvero Filius dicit, *Ego et Pater unum sumus* [40], et, *Ego in Patre, et Pater in me est :* res autem factæ cum proficiunt, Domino adhærent. Nempe Verbum, tanquam proprium, est in Patre : at res factæ, utpote quæ extrinsecus exsistunt, adhærent : nimirum natura alienæ sunt, voluntate

[34] Joan. I, 3. [35] Psal. CIII, 24. [36] Joan. I, 14. [37] Joan. XIV, 10. [38] Psal. CXVIII, 91. [39] Deut. IV, 4. [40] Joan. X, 30.

(26) Sic Regius, Seguer. Basil. et Anglic. At alii et editi, καὶ Δαβὶδ· πάντα, etc.

(27) Sic Reg. Seguer. Basil. Anglic. At Gobler., ἆρ' ὁ Χριστός.

(28) Gobler. et Felck. 1, γενόμενος.

(29) Regius, Seguer. Basil. et Anglic., οὗτος Υἱός. Alii et editi, οὗτος ὁ Υἱός.

(30) Gobler. et Felck. 1, ὁ Θεός. Mox Regius et Seguer., αὐταὶ αἱ ἐρωτήσεις.

(31) Sic Seguer. Basil. Anglic., ut et habetur Deuteron. IV, 4. At alii et editi, ἡμῶν. Ibidem mss. omnes, ζῆτε. Editi, ζητεῖτε, male. Totum autem hunc locum perperam intellexit Nannius, cujus hæc est versio in editione Commel. : *Quod si illud non admittes, eædem controversiæ similesque importunitates impudentibus illis occurrent. Nos autem qui Deo appositi addictique sumus, quæramus eum in hoc ipso die.* In aliis item editionibus non minus male emendatum est hoc modo : *Quod si illud*, etc., *impudentibus istis occurrent, ex illo Deuteronomii :* Vos autem qui Deo appositi addictique estis, quærite eum in hoc ipso die.

(32) Sic Reg. et Seguer. At alii et editi, μέν omittunt.

autem adhærent. Etenim filius qui natura est, unum est cum genitore : qui vero extrinsecus adoptatur, generi adjungitur sive adhæret. Hinc statim subdit : *Quæ natio magna, cui Deus appropinquat* [41] ? Et alibi : *Deus appropinquans ego* [42]. Nam rebus factis appropinquat, quippe cum illæ sint ipsi externæ : at Filio, utpote proprio, non appropinquat, sed in eo est : nec adhæret Filius, sed una cum Patre est. Unde rursus Moyses in eodem Deuteronomio sic loquitur : *Voce ejus audietis, et ipsi vos adjungemini* [43]. Quod autem adjungitur, extrinsecus adjungitur.

6. Jam quod pertinet ad levem et humanam Arianorum opinationem, qua nempe Dominum egenum fuisse ex his ipsius verbis suspicantur, *Data est mihi* [44], *accepi*, ut et ex his Pauli locis, *Idcirco exaltavit illum* [45], et, *Sedit a dextris* [46], aliisque similibus ; respondendum est Dominum nostrum, qui idem Verbum et Filius Dei est, corpus gestasse, et Filium quoque hominis factum **493** fuisse, ut medius Deum inter et homines effectus, quæ Dei sunt, nobis subministraret : quæ nostri, Deo offerret. Quocirca cum esurire, flere, defatigari et clamare Eloi, Eloi, dicitur, quæ quidem humanæ nostræ sunt affectiones et miseriæ, eas a nobis accipit ac Patri offert, et pro nobis intercedit, ut in ipso penitus deleantur. His autem verbis, *Data est mihi potestas* [47], et, *accepi* [48], et, *Idcirco exaltavit eum Deus* [49], munera in nos a Deo per illum collata significantur. Nec enim indigens erat Verbum vel unquam factum est : nec rursus homines idonei erant qui ista sibi compararent : sed per Verbum nobis donata sunt ; unde illa tanquam ipsi donata, nobis impertiuntur. Siquidem eam ob rem homo factus est, ut illa velut sibi data, in nos transferrentur. Nec enim purus homo dignus unquam fuisset qui hæc acciperet ; nec item purum Verbum his posset indigere : conjunctum igitur nobis est Verbum, tuncque nos potestatis participes reddidit et exaltavit. Verbum siquidem in homine exsistens, hominem exaltavit : et Verbo item in homine exsistente accepit homo. Quia ergo Verbo in carne exsistente, exaltatus homo est, potestatemque accepit, idcirco ista ad Verbum referuntur, quandoquidem propter ipsum data sunt. Hæc enim dona propter Verbum in homine exsistens concessa sunt. Unde quemadmodum

A Καὶ γὰρ καὶ υἱὸς (33) μὲν ὁ φύσει, ἕν ἐστι μετὰ τοῦ γεννῶντος· ὁ δὲ ἔξωθεν υἱοποιούμενος προσκείσεται τῷ γένει. Διὰ τοῦτο καὶ εὐθὺς ἐπιφέρει, ὅτι Ποῖον (34) ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων ; καὶ ἀλλαχοῦ· Θεὸς ἐγγίζων ἐγώ· τοῖς γὰρ γενητοῖς ἐγγίζει, ὡς ξένοις αὐτοῦ οὖσι· τῷ δὲ Υἱῷ, ὡς ἰδίῳ (35), οὐκ ἐγγίζει, ἀλλ' ἐν αὐτῷ ἐστι· καὶ ὁ Υἱὸς οὐ πρόσκειται, ἀλλὰ σύνεστι τῷ Πατρί. Ὅθεν καὶ πάλιν λέγει Μωσῆς ἐν αὐτῷ τῷ Δευτερονομίῳ (36)· Τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ προστεθήσεσθε. Τὸ δὲ προστιθέμενον ἔξωθεν προστίθεται.

6. Πρὸς δὲ τὴν ἀσθενῆ καὶ ἀνθρωπίνην ἔννοιαν τῶν Ἀρειανῶν, διὰ τὸ ὑπονοεῖν τὸν Κύριον ἐνδεᾶ (37), ὅταν λέγῃ, Ἐδόθη μοι, καί, Ἔλαβον· καὶ ἐὰν λέγῃ B ὁ Παῦλος, Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν, καί, Ἐκάθισεν ἐν δεξιᾷ, καὶ τὰ τοιαῦτα, λεκτέον, ὅτι ὁ Κύριος ἡμῶν, Λόγος ὢν Υἱὸς τοῦ Θεοῦ, ἐφόρεσε σῶμα, καὶ γέγονε καὶ (38) Υἱὸς ἀνθρώπου, ἵνα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων, τὰ μὲν Θεοῦ ἡμῖν, τὰ δὲ ἡμῶν τῷ Θεῷ διακονῇ. Ὅταν οὖν λέγηται πεινᾷν, καὶ δακρύειν, καὶ κοπιᾷν, καὶ Ἐλωΐ, Ἐλωΐ, ἀνθρώπινα ὄντα, καὶ ἡμέτερα πάθη (39), δέχεται παρ' ἡμῶν, καὶ τῷ Πατρὶ ἀναφέρει, πρεσβεύων ὑπὲρ ἡμῶν, ἵνα ἐν αὐτῷ ἐξαφανισθῇ· ὅταν δὲ, ὅτι Ἐδόθη μοι ἐξουσία, καὶ, Ἔλαβον, καὶ, Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν (40) ὁ Θεὸς, τὰ παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς ἐπὶ χαρίσματα δι' αὐτοῦ διδόμενα. Οὐ γὰρ ὁ Λόγος ἐνδεὴς ἦν ἢ γέγονε πώποτε· οὐδὲ πάλιν οἱ ἄνθρωποι ἱκανοὶ ἦσαν ἑαυτοῖς διακονῆσαι ταῦτα· διὰ δὲ τοῦ Λόγου δίδοται ἡμῖν· διὰ τοῦτο, ὡς αὐτῷ διδόμενα, C ἡμῖν μεταδίδοται (41)· διὰ τοῦτο γὰρ καὶ ἐνηνθρώπησεν, ἵνα, ὡς αὐτῷ διδόμενα, εἰς ἡμᾶς ἥκῃ. Ἄνθρωπος γὰρ ψιλὸς οὐκ ἂν ἠξιώθη τούτων Λόγος ἦ πάλιν μόνος, οὐκ ἂν ἐδεήθη τούτων. Συνῆφθη οὖν ἡμῖν ὁ Λόγος, καὶ τότε ἐξουσίαν ἡμῖν μετέδωκε, καὶ ὑπερύψωσεν. Ἐν ἀνθρώπῳ γὰρ ὢν ὁ Λόγος (42) ὑπερύψωσε τὸν ἄνθρωπον· καὶ ἐν ἀνθρώπῳ ὄντος τοῦ Λόγου, ἔλαβεν ὁ ἄνθρωπος. Ἐπεὶ οὖν τοῦ Λόγου ὄντος ἐν σαρκὶ, ὑψώθη ὁ ἄνθρωπος, καὶ ἔλαβεν ἐξουσίαν· διὰ τοῦτο εἰς τὸν Λόγον ἀναφέρεται ταῦτα, ἐπειδὴ δι' αὐτὸν ἐδόθη· διὰ γὰρ τὸν ἐν ἀνθρώπῳ Λόγον ἐδόθη ταῦτα τὰ χαρίσματα. Καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὕτω καὶ ὁ ἄνθρωπος τὰ διὰ τοῦ Λόγου εἴληφε. Πάντα γὰρ ὅσα ὁ ἄνθρωπος εἴληφεν, ὁ Λόγος (43) λέγεται εἰληφέναι· ἵνα δειχθῇ, ὅτι οὐκ ἦς

[41] Deut. IV, 7. [42] Jer. XXIII, 23. [43] Deut. XIII, 4. [44] Matth. XXVIII, 18. [45] Philipp. II, 9. [46] Coloss. II, 1. [47] Matth. XXVIII, 18. [48] Joan. X, 18. [49] Philipp. II, 9.

A τὸ αὐτό, ἀλλ' ὕστερον πλατυνόμενον, ἔχειν ἀνάγκη δεῖ τὴν αἰτίαν, δι' ἣν καὶ ἐπλατύνθη. Εἰ μὲν οὖν ἵνα Λόγος καὶ Πνεῦμα συνῇ αὐτῷ, περιττὸν τὸ λέγειν, Μονάς (86)· εἶτα, ἐπλατύνθη. Οὐ γὰρ ὕστερον Λόγος καὶ Πνεῦμα, ἀλλ' ἀεί, ἵνα μὴ ἄλογος ὁ Θεὸς κατὰ τοὺς Ἀρειανούς. Ὥστε, εἰ ἀεὶ ἦν Λόγος καὶ Πνεῦμα, ἀεὶ πλατεῖα, καὶ οὐ πρῶτον Μονάς. Εἰ δὲ ὕστερον ἐπλατύνθη, ὕστερον καὶ Λόγος. Εἰ δὲ διὰ τὴν ἐνανθρώπησιν ἐπλατύνθη, καὶ γέγονε τότε Τριάς· ἄρα πρὸ τῆς ἐνανθρωπήσεως οὔπω ἦν Τριάς. Φανήσεται δὲ ὁ Πατὴρ (87) καὶ γεγονὼς σὰρξ, εἴγε αὐτὸς, Μονὰς ὤν, ἐν τῷ ἀνθρώπῳ ἐπλατύνθη· καὶ τάχα λοιπὸν Μονὰς ἔσται καὶ σὰρξ, καὶ, τὸ τρίτον, Πνεῦμα· εἴγε αὐτὸς ἐπλατύνθη· ἔσται δὲ καὶ ὀνόματι μόνον Τριάς. Εἰ δὲ διὰ τὸ κτίσαι ἐπλατύνθη, ἄτοπον. Δυνατὸν γὰρ

B ἦν, καὶ Μονάδα μένουσαν αὐτὴν (88). πάντα ποιεῖν· οὐ γὰρ ἐνδεὴς ἦν πλατυσμοῦ ἡ Μονὰς, οὐδὲ ἀσθενὴς ἦν πρὸ (89) τοῦ πλατυνθῆναι. Ἄτοπον γὰρ καὶ ἀσεβὲς τοῦτό γε ἐπὶ Θεοῦ νοεῖν καὶ λέγειν. Ἀκολουθήσει δὲ καὶ ἄλλο ἄτοπον. Εἰ γὰρ (90) διὰ τὴν κτίσιν ἐπλατύνθη, ἕως δὲ Μονὰς ἦν, οὐκ ἦν ἡ κτίσις· πάλιν δὲ (91) ἔσται μετὰ τὴν συντέλειαν Μονὰς ἀπὸ πλατυσμοῦ· ἀναιρεθήσεται καὶ ἡ κτίσις. Ὥσπερ γὰρ διὰ τὸ κτίσαι ἐπλατύνθη, οὕτω· παυομένου τοῦ πλατυσμοῦ, παύσεται καὶ ἡ κτίσις.

15. Hæc itaque absurda ex illa orientur opinione, qua Unitas in Trinitatem dilatari dicitur. Quando vero qui ita sentiunt, Verbum et Filium dividere audent, contenduntque aliud esse Verbum, et alium Filium, prius Verbum esse, deinde Filium : age, C ista quoque, si placet, perpendamus. Varia autem illorum est temeritas. Alii enim hominem, quem Salvator assumpsit, Filium esse volunt : alii utrumque, nempe hominem et Verbum, tunc Filium factum fuisse putant, cum inter se copulati sunt. Alii autem arbitrantur ipsum Verbum tunc Filium factum esse, cum homo factus est : Siquidem ex Verbo, inquiunt, factus est Filius, qui antea non Filius, sed duntaxat Verbum erat. Porro uterque error Stoicorum est, quo et Deus dilatari dicitur, et Filius **498** negatur. Valde autem illud ineptum est quod, cum Verbum agnoscant et nominent, ipsum Filium esse infitiantur. Enimvero si Verbum ex Deo non esset, haud immerito ipsum Filium esse negarent. At si ex Deo est, cur non perspiciunt D id, quod ex aliquo exsistit, filium ejus esse ex quo est ? Deinde, si Verbi Deus Pater est, quidni Ver-

15. Τοιαῦτα μὲν οὖν ἄτοπα ἐκ τοῦ πλατύνεσθαι λέγειν εἰς Τριάδα τὴν Μονάδα ἀπαντήσει. Ἐπειδὴ δὲ οἱ (92) τοῦτο λέγοντες τολμῶσι διαιρεῖν Λόγον καὶ Υἱὸν, καὶ λέγειν ἄλλον μὲν εἶναι τὸν Λόγον, ἕτερον δὲ τὸν Υἱὸν, κἀὶ πρότερον μὲν εἶναι τὸν Λόγον, εἶτα τὸν Υἱόν (93)· φέρε, καὶ περὶ τούτων ἴδωμεν. Ἔστι δὲ τούτων διάφορος ἡ τόλμα. Οἱ μὲν γὰρ τὸν ἄνθρωπον, ὃν ἀνέλαβεν ὁ Σωτὴρ, αὐτὸν εἶναι τὸν Υἱὸν λέγουσιν· οἱ δὲ τὸ συναμφότερον, τόν τε ἄνθρωπον καὶ τὸν Λόγον, Υἱὸν τότε γεγενῆσθαι, ὅτε συνήφθησαν. Ἄλλοι δέ εἰσιν οἱ λέγοντες, αὐτὸν τὸν Λόγον τότε Υἱὸν γεγενῆσθαι, ὅτε ἐνηνθρώπησεν. Ἀπὸ γὰρ Λόγου, φασὶ, γέγονεν Υἱὸς, οὐκ ὢν πρότερον Υἱὸς, ἀλλὰ Λόγος μόνον. Στωϊκά μὲν οὖν ἀμφότερα, τό τε πλατύνεσθαι λέγειν τὸν Θεὸν, καὶ ἀρνεῖσθαι τὸν Υἱόν. Κατὰ περιττὸν δὲ ἀνόητον, ὅτι ὀνομάζοντες Λόγον, ἀρνοῦνται αὐτὸν Υἱὸν εἶναι. Εἰ μὲν γὰρ οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ ὁ Λόγος, εἰκότως ἂν αὐτὸν ἀρνοῖντο εἶναι Υἱόν· εἰ δὲ ἐκ τοῦ Θεοῦ ἐστι, διὰ τί μὴ συνορῶσιν, ὅτι τὸ ἐκ τινος ὑπάρχον υἱός ἐστιν ἐκείνου, ἐξ οὗ καὶ ἔστιν ; Εἶτα εἰ τοῦ Λόγου Πατήρ ἐστιν ὁ Θεὸς, διὰ τί μὴ καὶ ὁ Λόγος Υἱὸς ἂν εἴη τοῦ ἑαυτοῦ Πατρός ; Πατὴρ γὰρ

(86) Regius et Seguerianus, Μονάς· εἶτα, etc., puncto inter Μονάς et εἶτα interposito. Alii et editi, Μονὰς εἶτα, etc., conjunctim. Paulo post Reg. Seg. et Gobl. ἄλογος ὁ θεός· Alii et editi ὁ omittunt. Ibid. Reg. Seg. Gobl. Basil. et Anglican., ἦν Λόγος. Cæteri et editi, ἦν ὁ Λόγος.

(87) Sic Regius codex et Seguerianus. At alii cum editis, καὶ δὲ ὁ Πατήρ.

(88) Sic Basiliensis et Anglicanus atque ita emendatum in Regio. At alii et editio Commeliniana, μὲν οὖσαν.

(89) Sic mss. In editione autem Commel. πρὸ deest.

(90) Γὰρ abest a Basil. et Anglicano ; qui Anglic. mox habet, καὶ ὡς δὲ Μονὰς ἦν.

(91) Sic Regius et Seguerianus aliique mss. præter Felckm. primum. In aliis et editis deest δέ.

(92) Reg. Seg. et Anglic., Ἐπειδὴ δὲ οἱ. Cæteri et editi Ἐπεὶ δὲ οἱ.

(93) Basiliensis et Anglicanus, εἶτα δὲ τὸν Υἱόν.

τίς ἐστι καὶ λέγεται, οὗ ἐστιν ὁ υἱός· καὶ υἱός τίς ἐστι καὶ λέγεται ἐκείνου, ου ἐστιν ὁ πατήρ. Εἰ τοίνυν τοῦ Χριστοῦ οὐκ ἔστι Πατὴρ ὁ Θεὸς, οὐδὲ ὁ Λόγος Υἱὸς ἂν εἴ· εἰ δὲ Πατὴρ ὁ Θεὸς (94), εἰκότως ἂν εἴη καὶ ὁ Λόγος Υἱός. Εἰ δὲ ὕστερον μὲν Πατὴρ καὶ πρῶτον Θεὸς, Ἀρειανῶν μὲν (95) τό φρόνημα· ἔπειτα ἄτοπον μεταβάλλεσθαι τὸν Θεόν· σωματικὸν γάρ· εἰ δὲ ὥσπερ ἐπὶ τῆς κτίσεως ὕστερον ποιητὴς, ἱστέον, ὅτι τῶν γινομένων (96) ὕστερόν ἐστιν ἡ μεταβολὴ, οὐχὶ τοῦ Θεοῦ.

A bum, sui Patris Filius fuerit? siquidem pater ille est et dicitur ejus, qui suus est filius : et similiter filius ille est et dicitur ejus, qui suus est pater. Quapropter si Deus non est Christi Pater, nec Verbum Filius esse potest. Sed si Pater est Deus, vere et Verbum Filius est. Quod si postea Pater esse dicatur, cum primum Deus esset, hæc ipsa est Arianorum doctrina. Sed præterea absurdum est Deum mutari : nam id corporeum est. Si vero respondeant Patrem Filii factum esse, ut postea rerum

creatarum factus est opifex, scire operæ pretium est

mutationem non ad Deum, sed ad ea, quæ postea fiunt, pertinere.

16. Εἰ μὲν οὖν ποίημα καὶ ὁ Υἱὸς (97), καλῶς ἂν ὕστερον Πατὴρ καὶ ἐπ' αὐτοῦ· εἰ δὲ οὐ ποίημα ὁ Υἱὸς, ἀεὶ ἄρα ὁ Πατὴρ, ἀεὶ καὶ ὁ Υἱός. Εἰ δὲ ἀεὶ ὁ Υἱὸς (98), αὐτὸς ἂν εἴη ὁ Λόγος. Εἰ γὰρ μὴ Υἱὸς εἴη ὁ Λόγος, καὶ τοῦτό τις ἀποτολμῶν εἴποι· ἢ τὸν Λόγον Πατέρα λέγει, ἢ τὸν Υἱὸν κρείττονα τοῦ Λόγου. Τοῦ γὰρ Υἱοῦ ἐν κόλποις ὄντος τοῦ Πατρὸς, ἀνάγκη ἢ μὴ εἶναι πρὸ B Υἱοῦ τὸν (99) Λόγον· οὐδὲν γάρ ἐστι πρὸ τοῦ ὄντος ἐν τῷ Πατρί· ἢ εἰ ὁ Λόγος ἄλλος ἐστὶ παρὰ τὸν Υἱὸν, ὁ Λόγος ἂν εἴη ὁ Πατὴρ, ἐν ᾧ ἐστιν ὁ Υἱός. Εἰ δὲ οὐκ ἔστιν ὁ Λόγος Πατὴρ, ἀλλὰ Λόγος, ἐκτὸς ἂν εἴη ὁ Λόγος τοῦ Πατρὸς, ὄντος τοῦ Υἱοῦ ἐν τοῖς κόλποις τοῦ Πατρός. Οὐ γὰρ ἀμφότερα, ὅ τε Λόγος καὶ ὁ Υἱὸς, ἐν τοῖς κόλποις, ἀλλ' ἕνα εἶναι δεῖ, καὶ τοῦτον τὸν Υἱὸν, ὃς ἐστι μονογενής. Καὶ πάλιν, εἰ ἄλλος ἐστὶν ὁ Λόγος (1), καὶ ἄλλος ὁ Υἱὸς, κρειττων εὑρεθήσεται ὁ Υἱὸς τοῦ Λόγου· οὐδεὶς γὰρ γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, οὐχ ὁ Λόγος. Ἡ τοίνυν οὐκ οἶδεν ὁ Λόγος, ἢ εἰ οἶδε ψεῦδος τὸ, Οὐδεὶς γινώσκει. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· Υἱοῦ γάρ εἰσι φωναὶ, καὶ οὐ Λόγου κακ' αὐτούς· δῆλον δὲ ἀπὸ τῶν C Εὐαγγελίων. Κατὰ γὰρ τὸν Ἰωάννην (2), λέγοντος τοῦ Κυρίου, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἐβάστασαν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Πολλὰ ἔργα καλὰ ἔδειξα ὑμῖν ἐκ τοῦ Πατρός· διὰ ποῖον αὐτῶν (3) ἔργον ἐμὲ λιθάζετε ; Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ (4) ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, ὅτι ἐγὼ εἶπα, Θεοί ἐστε ; Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφή· ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς

16. Quapropter si Filius esset opus; recte quoque Pater ejus postea efficeretur. Sed si Filius non est opus, semper ergo Pater, semper et Filius est. Si porro semper est Filius, ipsum sane fuerit Verbum. Nisi enim Verbum Filius fuerit : qui id audebit negare, fateri eum necesse est vel Verbum Patrem esse ; vel Filium Verbo esse præstantiorem. Nam cum Filius sit in sinu Patris [58], necesse est vel Verbum ante Filium non esse; nihil enim est ante eum qui in Patre est: vel si Verbum aliud est præter Filium, sequitur ut Verbum sit ipse Pater in quo est Filius. Quod si Verbum non est Pater, sed Verbum : igitur Verbum est extra Patrem, quippe cum Filius in sinu Patris sit. Nec enim ambo, nempe Verbum et Filius in sinu Patris sunt, sed unum esse oportet, eumque Filium, qui est Unigenitus. Rursus, si aliud est Verbum et alius Filius, Filius Verbo præstantior erit. Nemo enim Patrem cognoscit nisi Filius [59], non autem Verbum. Vel igitur Patrem non novit Verbum ; vel si novit, false dicitur, *Nemo novit.* Quod idem urgendum est de hisce verbis, *Qui vidit me, vidit Patrem* [60], et, *Ego et Pater unum sumus* [61]. Namque hæ voces Filii sunt, non Verbi, ut putant illi, idque ex Evangeliis dilucidum est. Nam Domino, ut narrat Joannes, dicente, *Ego et Pater unum sumus, sustulerunt lapides Judæi, ut lapidarent eum. Respondit eis Jesus : Multa opera bona ostendi vobis ex Patre, propter quod bonum opus me lapidatis? Responderunt ei Judæi : De bono opere non lapidamus te, sed de blasphemia, et quia tu homo cum sis, facis teipsum Deum. Respondit eis Jesus : Nonne scriptum est in lege vestra, quia ego dixi, Dii estis? Si illos dixit deos ad quos Verbum Dei factum est, et non potest solvi Scriptura : quem Pater sanctificavit et misit in*

[58] Joan. I, 18. [59] Matth. XI, 27. [60] Joan. XIV, 9. [61] Joan. X, 30.

(94) Regius, εἰ δὲ ὁ Πατὴρ ὁ Θεός.

(95) Basiliensis et Anglicanus, Ἀρειανὸν μέν, etc.

(96) Reg. Seg. Basil. et Anglic. γινομένων. Alii vero et editi, γενομένων.

(97) Sic Reg. Seg. et Gobler. In aliis et editis ὁ deest.

(98) Regius et Seguerianus ἀεὶ Υἱός. Cæteri et editi, ἀεὶ ὁ Υἱός.

(99) Basiliensis et Anglicanus, πρὸ τοῦ Υἱοῦ.

(1) Regius et Seguerianus ἐστὶν omittunt. Iidem ibidem Basil et Anglic. καὶ ἄλλος Υἱός.

(2) Reg. Seg. Basil. Anglican. addunt Κατὰ γὰρ D τὸν Ἰωάννην, quæ absunt ab aliis et editis Mox Reg. Seg. Basil. Anglic. ἐβάστασαν λίθους. Cæteri et editi ἐσάστασαν γὰρ λίθους.

(3) Sic Regius codex, Seg. Basil. et Anglic. In aliis et editis deest αὐτῶν.

(4) Sic Regius et Seguerianus. At alii et editi, καὶ omittunt. Quæ ibidem sequuntur, ita exstant in Reg. Seg. Basil. et Anglic. sed in Anglic. et Basil abest ὅτι ante ἐγὼ εἶπα. Cæteri et editi sic habent, ὅτι σὺ, ἄνθρωπος ὤν. ποιεῖς σεαυτὸν Θεόν· Καὶ ὁ Ἰησοῦς λέγει· Ἐν τῷ νόμῳ ὑμῶν γέγραπται, Ἐγὼ εἶπα.

mundum, vos dicitis quia Blasphemas, quia dixi, Filius Dei sunt? Si non facio opera Patris, nolite credere mihi. Sin autem facio, et si mihi non vultis credere, operibus credite, ut sciatis et cognoscatis quia Pater in me est, et ego in Patre [62]. Atqui, prout sonant ipsa verba, non dixit, Deus sum, vel, Filius Dei sum, sed, *Ego et Pater unum sumus.*

A τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς τοῦ Θεοῦ εἰμι; Εἰ οὐ ποιῶν τὰ ἔργα τοῦ Πατρὸς, μὴ (5) πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ γινώσκητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν τῷ Πατρί. Καίτοι, ὅσον ἐκ τοῦ προφανοῦς δεῖ νοεῖν, οὔθ' ὅτι Θεός εἰμι, οὐδ' ὅτι Υἱὸς Θεοῦ εἰμι, εἶπεν, ἀλλ', Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

499 17. Judæi quidem hac dictione, *unum*, eum se esse Patrem dixisse arbitrabantur, quemadmodum sentit Sabellius: at Salvator noster peccatum illorum coarguit hujusmodi ratiocinio: Etiamsi me Deum dixissem, vos tamen scriptum meminisse oportebat: *Ego dixi, Dii estis.* Deinde hæc verba, *Ego et Pater unum sumus*, explanans, mutuam Filii et Patris unitatem eisdem indicari docet, cum ait, *Quia dixi, Filius Dei sum.* Nam tametsi verbis id non expressit, tamen quod his vocibus, *unum sumus*, significatur, ad ipsum retulit Filium. Nihil unum est cum Patre, nisi quod ex ipso Patre est. Quid porro ex ipso Patre fuerit præter Filium? Itaque concludit, *Ut cognoscatis quia ego in Patre, et Pater in me est.* Nec enim quid *unum* istud esset explicans, dixit in eo esse quod idem illud sit quocum unum est: sed in eo quod ipse sit in Patre, et Pater in Filio, qua videlicet ratione inter se sunt conjuncti, nec a se separari queunt. Namque ipsum quoque Sabellii hoc in loco evertit errorem, quippe qui non dixerit, Ego sum Pater, sed, *Filius Dei sum.* Arium pariter profligat cum ait, *Unum sumus.* Quocirca si aliud est Filius, et aliud est Verbum, non Verbum unum est cum Patre, sed Filius: neque qui Verbum vidit, vidit Patrem, sed qui Filium vidit. Præterea, vel Filius major est Verbo, vel Verbum nihil amplius habet quam Filius. Ecquid enim majus vel perfectius esse possit, quam quod significatur hisce dictionibus, *Unum* [63], *Ego in Patre, et Pater in me est: Qui vidit me, vidit Patrem* [64]? Hæ enim voces Filii sunt. Ait ergo idem Joannes: *Qui vidit me, vidit eum qui misit me* [65]. Et, *Qui me recipit, recipit eum qui misit me* [66]. Et, *Ego lux in mundum veni, ut omnis qui credit in me, in tenebris non maneat.* Et, *Si quis audierit verba mea, et non custodierit, ego non judico eum. Non enim veni ut judicem mundum, sed ut salvum faciam mundum: sed sermo quem audit, ille judicabit eum in novissimo die: quia ego ad Patrem vado* [67]. Eum, qui mandatum non servaverit, prædicatione judicandum esse declarat. *Nisi* enim, in-

17. Οἱ μὲν οὖν Ἰουδαῖοι ἐν τῷ ἀκοῦσαι, ἓν, ἐνόμιζον κατὰ Σαβέλλιον αὐτὸν εἰρηκέναι εἶναι τὸν Πατέρα· ὁ δὲ γε Σωτὴρ ἡμῶν συλλογίζεται μὲν αὐτῶν τὴν ἁμαρτίαν ὅτι· Εἰ καὶ Θεὸν εἶπον, ἔδει ὑμᾶς εἰδέναι τὸ γεγραμμένον, Ἐγὼ εἶπα (6), Θεοί ἐστε· εἶτα τὸ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, σαφηνίζων, ἐν τῷ Υἱῷ τὴν πρὸς τὸν Πατέρα ἑνότητα ἀποδείκνυσι λέγων, Ὅτι εἶπον· Υἱός εἰμι τοῦ Θεοῦ (7). Εἰ γὰρ τῇ λέξει οὐκ εἶπεν, ἀλλὰ τὴν διάνοιαν τοῦ, ἓν ἐσμεν, ἀποδείκνυσι τῷ Υἱῷ (8). Οὐδὲν γὰρ ἓν πρὸς τὸν Πατέρα, εἰ μὴ τὸ ἐξ αὐτοῦ. Τί δ' ἂν εἴη τὸ ἐξ αὐτοῦ ἢ ὁ Υἱός; Ἐπιφέρει γοῦν, Ἵνα γινώσκητε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Τὸ γὰρ ἓν ἐπεξηγούμενος, οὐκ ἐν τῷ αὐτὸ εἶναι (9) ἐκεῖνο πρὸς ὃ ἓν ἐστιν εἶπεν, ἀλλ' ἐν τῷ αὐτὸν ἐν τῷ Πατρὶ, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ, τὴν συνάφειαν, καὶ τὸ ἀχώριστον. Καὶ γὰρ καὶ Σαβέλλιον ἐν τούτῳ ἀνατρέπει, ἐν τῷ εἰπεῖν οὐχ, Ὁ Πατήρ εἰμι, ἀλλὰ, Ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ Ἄρειον ἐν τῷ εἰπεῖν, Ἕν ἐσμεν. Εἰ τοίνυν ὁ Υἱὸς ἄλλο, καὶ ὁ Λόγος ἄλλο, οὐχ ὁ Λόγος ἓν ἐστι πρὸς τὸν Πατέρα, ἀλλ' ὁ Υἱός· οὐδὲ ὁ τὸν Λόγον ἑωρακὼς ἑώρακε τὸν Πατέρα, ἀλλ' ὁ τὸν Υἱόν. Τούτων δὲ δεικνυμένων, ἢ μείζων ὁ Υἱὸς τοῦ Λόγου, ἢ πλεῖον οὐδὲν ὁ Λόγος τοῦ Υἱοῦ ἔχει. Τί γὰρ μεῖζον ἢ τελειότερον τοῦ, Ἵν (10), καὶ τοῦ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί, καὶ τοῦ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα; Καὶ γὰρ καὶ (11) αὗται αἱ φωναὶ τοῦ Υἱοῦ εἰσι. Φησὶ γοῦν ὁ αὐτὸς Ἰωάννης· Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πέμψαντά με· καὶ, Ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με· καὶ, Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ· καὶ, Ἐάν τίς μου ἀκούσῃ τῶν λόγων, καὶ μὴ φυλάξῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ὁ λόγος δὲ ὃν ἀκούει (12), ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι. Τὸ κήρυγμα δέ φησι κρίνειν τὸν μὴ φυλάξαντα τὴν ἐντολήν. Εἰ γάρ φησι, μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔξουσιν, φησὶ, ἀκηκοότες μου τῶν,

[62] Joan. x, 30-38. [63] ibid. 30. [64] Joan. xiv, 9, 10. [65] Joan. xii, 45. [66] Matth. x, 40. [67] Joan. xii 46-48; xiv, 12.

(5) Basiliensis et Anglicanus τοῦ Πατρός μου, Ibidem Regius et Seguerianus hic et mox μὴ πιστεύετε, et γινώσκετε. Alii et editi μὴ πιστεύητε, et γινώσκητε.

(6) Sic Reg. Seguer. Basil. et Anglic. At alii et editi, ὅτι Ἐγὼ εἶπα, Θεοί ἐστε καὶ υἱοὶ, εἶτα, etc.

(7) Reg. Seguerian. Basil. et Anglican. τοῦ Θεοῦ. In aliis et editis deest τοῦ. Ibidem Regius, Εἰ γὰρ καὶ τῇ.

(8) Sic Reg. Seg. Basil. et Anglic. At alii et editi, ἀποδέδωκε τῷ Θεῷ ἤτοι τῷ Υἱῷ.

(9) Regius et Seguerianus, ἐν τῷ αὐτὸ εἶναι. Cæteri et editi, ἐν τῷ αὐτῷ εἶναι.

(10) Sic mss. et editio Commeliniana. At editio et Colon. ἓν ἐσμεν.

(11) Sic Regius et Seguerianus. In aliis et editis καὶ deest. Ibidem Reg. Seguer. Basil. et Anglican. Φησὶ γοῦν ὁ αὐτὸς Ἰωάννης, pro quo alii et editi habent καὶ πάλιν. Ibidem post ἑώρακα, editi addunt τὸν Πατέρα, quod abest a Regio et Seguerian.

(12) Basil. et Anglic. ἀκούεις.

ρημάτων, δι' ὧν σωτηρίαν καρπίζονται οἱ φυλάσσοντες.

A quit, *venissem et locutus fuissem eis, peccatum non haberent. Nunc autem excusationem nullam habebunt* [68], cum verba mea audierunt, quibus salutem percipiunt qui ea custodiunt.

18. Ἴσως μὲν οὖν ἂν εἴποιεν ἀναιδῶς, μὴ Υἱοῦ, ἀλλὰ Λόγου εἶναι τὴν φωνὴν ταύτην. Ἀλλ' ἐν τοῖς ἀνωτέρω λεχθεῖσι δῆλον ἐγένετο (13), ὅτι Υἱός ἐστιν ὁ λέγων. Ὁ γὰρ λέγων ἐνταῦθα, Οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, δείκνυται οὐκ ἄλλος εἶναι ἢ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Φησὶ (14) γὰρ ἐν τοῖς ἔμπροσθεν ὁ αὐτὸς (15) Ἰωάννης· Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ B μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα. Εἰ ὁ λέγων, Οὐ γὰρ (16) ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω αὐτὸν, αὐτός ἐστιν ὁ λέγων, Ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με· ὁ δὲ ἐλθὼν (17) σῶσαι τὸν κόσμον, καὶ μὴ κρῖναι αὐτὸν, ὁ μονογενὴς ἐστιν Υἱὸς τοῦ Θεοῦ· δῆλον ὅτι ὁ αὐτὸς Υἱὸς ἐστιν ὁ λέγων, Ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. Καὶ γὰρ ὁ λέγων, Ὁ πιστεύων εἰς ἐμὲ, καὶ, Ἐάν τίς μου ἀκούσῃ (18) τῶν ῥημάτων, ἐγὼ οὐ κρίνω αὐτὸν, αὐτός ἐστιν ὁ Υἱὸς, περὶ οὗ ταῦτά φησιν (19), Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πι- C στεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Καὶ πάλιν, Καὶ αὕτη (20) ἐστὶν ἡ κρίσις τοῦ μὴ πιστεύοντος εἰς τὸν Υἱὸν, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον. καὶ οὐκ ἐπίστευσαν αὐτῷ, δηλονότι τῷ Υἱῷ (21). Αὐτὸς γὰρ ἂν εἴη τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον τὸν ἐρχόμενον εἰς τὸν κόσμον· καὶ ὅσον χρόνον ἐπὶ γῆς (22) ὑπῆρχε κατὰ τὴν ἐνανθρώπησιν, φῶς εἰς τὸν κόσμον ἦν, ὡς ἔφη αὐτός· Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ἐγὼ γὰρ φῶς, φησὶν (23), εἰς τὸν κόσμον ἐλήλυθα.

18. Verum fortassis eo impudentiæ devenient, ut contendant has voces non Filii sed Verbi esse. At ex supradictis perspicuum est ea Filii esse verba. Qui enim hic dicit, *Non veni ut judicem, sed ut salvum faciam mundum*, alius certe non est quam unigenitus Dei Filius. Sic enim antea loquitur idem Joannes : *Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum dederit, ut omnis qui credit in eum non pereat, sed habeat vitam æternam. Non enim misit Deus Filium in mundum, ut judicet mundum, sed ut salvetur mundus per ipsum. Qui credit in eum, non judicatur : qui autem non credit, jam judicatus est, quia non credidit in nomen unigeniti Filii Dei. Hoc est autem judicium, quia lux venit in mundum, et dilexerunt homines magis tenebras quam lucem : erant enim eorum mala opera* [69]. Itaque si ille qui dicit, *Non enim veni ut judicem mundum, sed ut salvum faciam* eum, ipse est qui etiam dicit, *Qui videt me, videt eum qui misit me :* si item ille, qui venit ut mundum salvum **500** faciat, non judicet, Unigenitus est Dei Filius; utique manifestum est ipsum esse Filium qui dicit, *Qui videt me, videt eum qui misit me.* Etenim is qui dicit, *Qui credit in me*, et, *Si quis audierit verba mea, ego non judico eum*, ipse est Filius de quo hæc dicit, *Qui credit in eum, non judicatur : qui autem non credidit, jam judicatus est, quia non credidit in nomen unigeniti Filii Dei;* et rursus, *Hoc est judicium ejus qui non credit in Filium, quia lux venit in mundum, nec crediderunt ei* [70], nempe Filio. *Lux* enim certe ipse est, *quæ illuminat omnem hominem venientem in mundum* [71]; qui quidem quandiu secundum humanam naturam in terris mansit, lux erat in mundo, ut ipse ait : *Dum lucem habetis, credite in lucem, ut filii lucis sitis. — Ego enim lux*, inquit, *in mundum veni* [72].

19. Καὶ τούτου τοίνυν δειχθέντος, δῆλον ὅτι Υἱός ἐστιν ὁ Λόγος. Εἰ δὲ ὁ Υἱός ἐστι τὸ φῶς τὸ εἰς τὸν κόσμον ἐληλυθὸς, ἀναντιῤῥήτως διὰ τοῦ Υἱοῦ ὁ κόσμος

19. Quibus ita probatis perspicuum sane est Filium esse ipsum Verbum. Porro si Filius lux est, quæ venit in mundum; sine ulla controversia se-

[68] Joan. xv, 22. [69] Joan. III, 16-19. [70] ibid. 19. [71] Joan. I, 9. [72] Joan. XII, 36, 46.

(13) Reg. Seg. Basil. et Anglic. γενήσεται. Cæteri et editi ἐλέγετο.

(14) Sic Regius et Seguerianus, Alii vero et editi, ἔφη.

(15) Regius Seguerianus Basiliensis et Anglicanus addunt ὁ αὐτός, quod abest ab aliis et editis.

(16) Sic Regius et Seguerianus. At in aliis et editis deest γάρ.

(17) Hæc verba, ὁ δὲ ἐλθών, etc., ad πέμψαντά με inclusive, desunt in Gobl. et Felckm. 1. Ibid. pro ὁ μονογενὴς ἐστιν, Basil. Anglican. et editio Commeliniana habent, ὁμογενὴς ἐστιν. Mox Seguerianus, δηλονότι.

(18 Reg. Seg. Basil. et Anglic., ἀκούσῃ. Cæteri et epiti, ἀκούσηται.

(19) Reg. Seg. Basil. et Anglican. ταῦτά φησιν. D Alii et editi, ταῦτα ἔφη.

(20) Sic Reg. Seg. Basil. et Anglican. In aliis et editis καί deest Ibid. Basil. αὐτή.

(21) Reg. Seg. Basil. et Anglic. ὁ Υἱός. Ibidem Basil. et Anglic. δῆλον, ὅτι. Mox Regius et Seguerianus τὸν ἐρχόμενον. In aliis et editis τόν deest.

(22) Basiliensis et Anglicanus ἐπὶ τῆς γῆς. Mox iidem et Regius ac Seguerianus, ὡς φησιν. Ibidem Regius et Seguerianus, ὡς τὸ φῶς ἔχετε. Item ibidem iidem Reg. Seg. Basil. et Anglic. πιστεύετε εἰς τὸ φῶς. Editi et alii, πιστεύετε εἰς αὐτό·

(23) Regius et Seguerianus φησίν addunt : alii et editi omittunt. Paulo post Seguerianus Basil. δειχθέντος, ὅτι Υἱός ἐστιν ὁ λέγων. Anglicanus omittit quoque δῆλον.

quitur ut per Filium factus fuerit mundus. Sic enim evangelista initio Evangelii ita de Joanne Baptista loquitur : *Non erat ille lux, sed ut testimonium perhiberet de lumine* [73]. Nempe, ut antea diximus, ipse Christus *lux vera* est, *quæ illuminat omnem hominem venientem in mundum* [74]. Namque si in mundo ipse erat, et mundus per eum factus est : necesse igitur est ipsum Dei Verbum esse, per quod omnia facta fuisse idem testatur. Vel enim duos mundos admittere cogentur, ut unus per Filium, et alius per Verbum factus sit : vel si unus est mundus, et una creata natura, sequitur et unum et eumdem Filium ac Verbum ante omnem creatam naturam exstitisse, quippe quæ per ipsum facta fuerit. Quocirca, si quemadmodum per Verbum, ita et per Filium omnia facta sunt, nihil contrarium esse apparebit, sed potius idem omnino erit dicere, *In principio erat Verbum*, et, In principio erat Filius. Sed si, eo quod non dixerit Joannes, In principio erat Filius, negant Filio convenire quæ Verbi propria sunt, similiter igitur Verbo non conveniunt quæ propria sunt Filii. Atqui demonstratum est ad Filium hæc pertinere verba, *Ego et Pater unum sumus* [75], ipsumque esse, *qui est in sinu Patris* [76] ; has similiter voces ejus esse, *qui videt me, videt eum qui misit me* [77] : Verbo item et Filio commune esse quod dicitur, mundum nempe per ipsum factum esse : ex quibus evidens sit Filium ante mundum exstitisse, siquidem necesse est opificem ante opera esse. Deinde ex illorum sententia sequitur id quod ad Philippum dictum est, non ad Verbum, sed ad Filium pertinere. Nam, ut narrat evangelista, dixit Jesus : *Tanto tempore vobiscum sum, nec cognovisti me, Philippe? Qui vidit me, vidit Patrem. Et quomodo tu dicis, Ostende nobis Patrem? Non credis, quia ego in Patre et Pater in me est? Verba, quæ ego loquor vobis, a me ipso non loquor : Pater autem qui in me manet,* **501** *ipse facit opera. Credite mihi quod ego in Patre sum, et Pater in me. Alioquin propter opera ipsa credite mihi. Amen, amen dico vobis, qui credit in me, opera quæ ego facio et ipse faciet, et majora his faciet, quia ego ad Patrem vado. Et quodcunque petieritis in nomine meo, hoc faciam, ut glorificetur Pater in Filio* [78]. Itaque si Pater in Filio glorificatur, Filius sine dubio fuerit qui ait : *Ego in Patre, et Pater in me est*, et, *Qui me vidit,*

A ἐγένετο. Ἐν γὰρ τῇ ἀρχῇ τοῦ Εὐαγγελίου περὶ
Βαπτιστοῦ λέγων Ἰωάννου (24) ὁ Εὐαγγελιστὴς φη
Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ
τοῦ φωτός. Ἦν γὰρ, ὡς προέφημεν, τὸ φῶς α
ὁ Χριστὸς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθ
πον τὸν ἐρχόμενον εἰς τὸν κόσμον (25). Εἰ γὰ
τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, ἀν
οὖν αὐτὸν εἶναι τὸν Λόγον τοῦ Θεοῦ, περὶ οὗ καὶ
τα δι' αὐτοῦ γεγενῆσθαι ἔφησεν. Ἢ γὰρ δύο κόσ
ἀναγκασθήσονται λέγειν, ἵν' ὁ μὲν δι' Υἱοῦ, ὁ δὲ
τοῦ Λόγου εἴη γεγονώς· ἢ, εἰ εἷς ἐστιν ὁ κόσμος
μία ἡ κτίσις, ἀκόλουθον καὶ (26) ἕνα καὶ τὸν α
Υἱὸν καὶ Λόγον πρὸ πάσης κτίσεως· δι' αὐτοῦ
γέγονεν. Οὐκοῦν εἰ ὡς (27) διὰ τοῦ Λόγου, οὕτω
διὰ Υἱοῦ τὰ πάντα γέγονεν, οὐδὲν ἐναντίον φανήσ
B ἀλλὰ καὶ ταὐτὸν εἴη ἂν εἰπεῖν, ὡς, Ἐν ἀρχῇ
Λόγος, Ἐν ἀρχῇ ἦν ὁ Υἱός. Εἰ δὲ, ὅτι μὴ εἶπεν ὁ
ἄννης, Ἐν ἀρχῇ ἦν ὁ Υἱὸς, οὐχ ἁρμόζειν φή
τῷ Υἱῷ τὰ τοῦ Λόγου, ὥρα καὶ τὰ τοῦ Υἱοῦ μὴ
μόζειν τῷ Λόγῳ. Τοῦ δὲ Υἱοῦ ἐδείχθη τὸ, Ἐγὼ
ὁ Πατὴρ ἕν ἐσμεν, καὶ τὸ (28), ὁ ὢν ἐν τοῖς
ποις τοῦ Πατρὸς, ὑπάρχειν αὐτόν· καὶ τὸ, Ὁ
ρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με· κοινὸν μ
πρός τε τὸν Λόγον καὶ τὸν Υἱὸν τὸν κόσμον δ
τοῦ γεγενῆσθαι· ὡς ἐκ τούτου δείκνυσθαι πρὸ
κόσμου εἶναι τὸν Υἱόν. Ἀνάγκη γὰρ τὸν δημιο
πρὸ τῶν γινομένων (29) εἶναι. Καὶ τὸ πρὸς Φίλ
δὲ λεγόμενον οὐ τοῦ Λόγου κατ' αὐτοὺς ἂν εἴη
τοῦ Υἱοῦ. Εἶπε γὰρ, φησὶν, ὁ Ἰησοῦς (30)· Τ
τον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς
Φίλιππε ; Ἢ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.
C πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν Πατέρα (31)
πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴ
ἐμοί ἐστι ; Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμ
τοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ, ὁ ἐν ἐμοὶ μένων,
τὸς (32) ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ
τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ μὴ, δι
ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν, ἀμὴν λέγω ὑ
ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κ
νος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι
πρὸς τὸν Πατέρα πορεύομαι. Καὶ ὅ τι ἂν αἰτή
ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξ
ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Οὐκοῦν εἰ ὁ Πατὴρ δοξάζετ
τῷ Υἱῷ, ὁ Υἱὸς ἂν εἴη ὁ λέγων· Ἐγὼ ἐν τῷ Π
καὶ ὁ Πατὴρ ἐν ἐμοί· αὐτὸς καὶ τὸ, Ὁ ἐμὲ ἑ
κὼς, ἑώρακε τὸν Πατέρα. Αὐτὸς γὰρ ὁ ταῦτα λ

[73] Joan. I, 8. [74] ibid. 9. [75] Joan. X, 30. [76] Joan. I, 18. [77] Joan. XII, 45. [78] Joan. XIV, 9-13.

(24) Sic Reg. Seguer. Basil. et Anglican. ; sed duo ultimi Ἰωάννης pro Ἰωάννου habent. At cæteri et et editi, ὡς ὁ Ἰωάννης ἔφη περὶ Βαπτιστοῦ· Οὐκ ἦν, etc.

(25) Sic Regius et Seguerianus. In aliis et editis τόν deest Ibidem Reg. Seguer. Basil. et Anglican. κόσμον. Ἐν γὰρ τῷ κόσμῳ, etc. Sic item Gobl. sed γάρ omisso.

(26) Gobl. et Felckm. 1 καί omittunt.

(27) Ὡς abest ab Anglicano.

(28) Τό abest ab Anglicano. Mox Reg. Seg. et Basil. addunt ὑπάρχειν αὐτ omittunt·

D (29) Reg. Seg. et Gobl. γινομένων. Cæteri et ti, γενομένων.

(30) Sic Reg. Seg. Basil et Anglic. ; sed duo timi, pro Ἰησοῦς, habent Ἰωάννης. Cæteri et e Τοσοῦτον γὰρ, ἔφη, χρόνον.

(31) Editio Cormeliniana et aliquot mss. τὸν τέρα, καὶ τὰ ἑξῆς. Εἰ μὲν οὖν τὸν ἄνθρωπον, omissis intermediis quæ in Reg. Seg. Basil. et glic exstant. Sed in Seg. post ἵνα δοξασθῇ ὁ Πα ἐν τῷ Υἱῷ, desunt quæ sequuntur ante Εἰ μὲν τὸν ἄνθρωπον.

(32) Basil. et Anglic. ὁ et αὐτός, omittunt ut αὐτά infra post τὰ ἔργα.

Υἱὸν ἑαυτὸν δείκνυσιν ἐπάγων, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ.

20. Εἰ μὲν οὖν τὸν ἄνθρωπον, ὃν ἐφόρεσεν ὁ Λόγος, αὐτὸν εἶναι λέγουσι τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, καὶ μὴ τὸν Λόγον Υἱόν· ὁ ἄνθρωπος ἂν εἴη ἀκολούθως ὁ ἐν τῷ Πατρὶ, ἐν ᾧ καὶ ὁ Πατὴρ ἐν αὐτῷ (33)· καὶ ὁ ἄνθρωπος ἂν εἴη, ὁ ἐν ὢν αὐτὸς καὶ ὁ Πατὴρ, καὶ ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς, καὶ τὸ φῶς τὸ ἀληθινόν. Ἀναγκασθήσονται δὲ καὶ δι' αὐτοῦ τοῦ ἀνθρώπου εἰπεῖν τὸν κόσμον γεγενῆσθαι, καὶ τὸν ἄνθρωπον εἶναι τὸν ἐλθόντα μὴ κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι αὐτόν· αὐτὸν δὲ εἶναι καὶ πρὶν Ἀβραὰμ γενέσθαι. Ἰησοῦς γὰρ, φησὶν (34), εἶπεν αὐτοῖς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. Καὶ πῶς οὐκ ἄτοπον κατ' αὐτοὺς τὸν ἐκ σπέρματος Ἀβραὰμ μετὰ δύο καὶ τεσσαράκοντα γενεὰς γενόμενον (35) λέγειν, πρὶν Ἀβραὰμ γενέσθαι, ὑπάρχειν; Πῶς δὲ οὐκ ἄτοπον, εἰ ἡ (36) σὰρξ, ἣν ἐφόρεσεν ὁ Λόγος, αὕτη ἐστὶν ὁ Υἱὸς, λέγειν τὴν ἐκ Μαρίας σάρκα ταύτην εἶναι, δι' ἧς ὁ κόσμος ἐγένετο; Πῶς δὲ φήσουσι καὶ τὸ, Ἐν τῷ κόσμῳ ἦν; Τὸ γὰρ πρὸ τῆς κατὰ σάρκα γενέσεως τοῦ Υἱοῦ σημαίνων ὁ εὐαγγελιστὴς, ἐπήγαγε τέγων, Ἐν τῷ κόσμῳ ἦν. Πῶς δὲ εἰ μὴ ὁ Λόγος Υἱός ἐστιν, ἀλλ' ὁ ἄνθρωπος Υἱὸς, δύναται τὸν κόσμον σῶσαι, εἰς ὢν καὶ αὐτὸς τοῦ κόσμου; Εἰ δὲ ἀναισχυντοῖεν ἐπὶ τούτοις, ποῦ ἔσται ὁ Λόγος, τοῦ ἀνθρώπου ὄντος ἐν τῷ Πατρί; Πόστος (37) δὲ ἔσται ὁ Λόγος πρὸς τὸν Πατέρα, τοῦ ἀνθρώπου καὶ τοῦ Πατρὸς ἓν ὄντων; Εἰ δὲ ὁ ἄνθρωπος μονογενής ἐστι, πόστος ἔσται ὁ Λόγος; Ἢ γὰρ δεύτερον εἶναι αὐτὸν λέξειέ τις· ἢ εἰ (38) ὑπὲρ τὸ Μονογενές ἐστιν, αὐτὸς ἂν εἴη ὁ Πατήρ. Ὥσπερ γὰρ εἷς ἐστιν ὁ Πατὴρ, οὕτως ἓν καὶ τὸ ἐξ αὐτοῦ Μονογενές. Τί δὲ καὶ πλέον ὁ Λόγος ἔχει τοῦ ἀνθρώπου, εἴ γε οὐχ ὁ Λόγος Υἱός ἐστι; Διὰ μὲν γὰρ Υἱοῦ καὶ τοῦ Λόγου ὁ κόσμος γεγενῆσθαι γέγραπται, καὶ κοινόν ἐστι τῷ τε Λόγῳ καὶ τῷ Υἱῷ τὸ δημιουργεῖν τὸν κόσμον· τὸ δὲ ὁρᾷν τὸν Πατέρα οὐκ ἔτι ἐν τῷ Λόγῳ γέγραπται, ἀλλ' ἐν νῷ Υἱῷ· καὶ τὸ σώζειν τὸν κόσμον οὐκέτι διὰ τοῦ Λόγου ἐλέχθη, ἀλλὰ διὰ τοῦ μονογενοῦς Υἱοῦ. Εἶπε γὰρ, φησὶν, ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Καὶ τὸν Πατέρα δὲ οὐχ ὁ Λόγος γέγραπται γινώσκειν, ἀλλ' ὁ Υἱός· ὁρᾷν (39) δὲ τὸν Πατέρα οὐχ ὁ Λόγος εἴρηται, ἀλλ' ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός.

21. Τί δὲ πλέον εἰς σωτηρίαν ἡμῶν ὁ Λόγος συμβάλλεται μᾶλλον τοῦ Υἱοῦ, εἴ γε κατ' αὐτοὺς ἄλλος ἐστὶν ὁ Υἱὸς, καὶ ἄλλος ὁ Λόγος; Πιστεύειν γὰρ ἡμᾶς οὐκ εἰς τὸν Λόγον, ἀλλ' εἰς τὸν Υἱὸν πρόσταξίς ἐστι.

A *vidit Patrem.* Qui enim hæc loquitur, seipsum Filium esse probat, cum addit, *ut glorificetur Pater in Filio.*

20. Si igitur contendunt hominem, quem gestavit Verbum, Filium Dei unigenitum esse, non autem Verbum : sequitur ut homo sit ille qui in Patre est, et in quo Pater est : homo item ille fuerit qui unum ipse et Pater est, quique in sinu est Patris, et lux vera est. Hinc fateri cogentur mundum per hominnm factum esse, et hominem eum esse qui venit non ut judicaret, sed ut mundum salvum faceret : ipsum denique esse prius quam Abraham fieret. *Jesus* enim, inquit, *dixit illis : Amen, amen dico vobis, antequam Abraham fieret, ego sum* [79]. An non vero perabsurdum dictu est eum exsistere, antequam fieret Abraham, quem ex semine Abrahæ post quadraginta duas ætates natum esse volunt? B Si item caro, quam Verbum gestavit, Filius est : an non vehementer repugnat contendere hanc ipsam carnem, quam ex Maria accepit, esse per quam mundus factus est? Quid vero de his verbis dicturi sunt, *In mundo erat?* Namque evangelista, ut significaret exstitisse Filium, priusquam secundum carnem nasceretur, hæc subjecit verba, *In mundo erat* [80]. Porro si non Verbum est Filius, sed homo est Filius, quomodo mundum possit servare, cum ipse quoque sit ex mundo? Quod si nec his rationibus, eorum comprimetur impudentia, respondeant ubinam futurum sit Verbum, si homo est in Patre? Quotum autem Verbum erit cum Patre, cum homo et Pater unum sint? Quod si homo unigenitus est; quotum, quæso, erit Verbum? Vel enim secundum C esse respondebit aliquis : vel si supra Unigenitum est, ipse certe Pater fuerit. Quemadmodum enim unus est Pater, ita Unigenitus ex eo natus, unus est. Quid præterea Verbum homine amplius habet, si Verbum Filius non sit? Mundum quidem per Filium et Verbum factum esse scriptum est, communeque est Verbo et Filio mundum creare : at Patrem non a Verbo sed a Filio videri declarat Scriptura; nec item mundus per Verbum, sed per unigenitum Filium salvus fieri dicitur. Namque, inquit, *Dixit Jesus : Tanto tempore vobiscum sum, et non cognovisti me, Philippe? Qui vidit me, vidit Patrem* [81]. Nec etiam a Verbo, sed a Filio Patrem cognosci legimus : uti nec Verbum videre Patrem dicitur, sed Unigenitus Filius qui est in sinu D Patris.

21. Ecquid porro Verbum ad nostram salutem amplius possit conferre quam Filius, si nempe, ut arbitrantur, alius est Filius, et aliud Verbum? Nos enim non in Verbum, sed in Filium credere jube-

[79] Joan. VIII, 58. [80] Joan. I, 10. [81] Joan. XIV, 9.

(33) Sic mss. omnes. Editio Commeliniana, ὁ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν αὐτῷ.

(34) Sic Reg. Seg. Basil. et Anglican. At alii et editi, Ἀμὴν γὰρ, ἔφη ὁ Ἰησοῦς, λέγω, etc.

(35) Basiliensis et Anglicanus, γενόμενον. Regius et Seguerianus, λεγόμενον. Alii editique utrumque omittunt.

(36) Sic Regius et Seguerianus, ut et Nannius legit. Alii et editi, εἴη, mendose.

(37) Goblerianus hic et mox, πόσος.

(38) Sic Reg. Seg. Basil. et Anglic. At in aliis et editis deest εἰ.

(39) Basiliensis et Anglicanus, καὶ ὁρᾷν.

mur, ut Joannes his verbis declarat : *Qui credit in Filium, habet vitam æternam : qui autem Filio non credit, non videbit vitam* [83]. Insuper sanctum baptisma in quo totius nostræ fidei posita est constitutio, non in Verbum, sed in Patrem et Filium et sanctum Spiritum datur. Quapropter **502** si secundum illos aliud est Verbum, et alius Filius, nec Verbum est Filius : nihil sane ad Verbum baptisma pertinet.Quomodo igitur Verbum secundum illos una est cum Patre,cum in baptismi donatione una cum eo non sit ? At forte responsuri sunt Verbum in Patris nomine contineri. Quidni ergo et Spiritus? An vero extra Patrem exsistit Spiritus? Deinde, si Verbum non est Filius,homo igitur post Patrem nominandus erit,et Spiritus post hominem nec jam unitas ex illorum sententia in trinitatem dilatabitur,sed in quaternitatem,nempe in Patrem, Verbum, Filium, et Spiritum sanctum. Verum hic eos pudor in aliud cogit confugere deverticulum. Aiunt igitur non hominem seorsum, quem gestavit Dominus, sed utrumque, Verbum scilicet et hominem, esse Filium : ambo enim simul conjuncti, ut inquiunt;Filius appellantur. Quis igitur amborum, causa alterius est ? Uter utrum effecit Filium ? Vel, ut planius loquar, num Verbum Filius est propter carnem ? an vero caro propter Verbum Filius dicitur ? Anne potius neutrum alteri causa est cur Filius appelletur, sed solus amborum congressus ? Quod si Verbum propter carnem, Filium esse responderint, certe carnem, Filium esse necesse est: quo ex responso omnia illa absurda consequentur quæ ex illorum superius dictum est oriri sententia, qui hominem Filium esse affirmant. Si vero propter Verbum caro Filius dicitur, igitur Verbum etiam ante carnem Filius erat.Nam qui fieri potest ut alios ille filios reddat, qui ipse filius non est, præsertim patre exsistente ? Profecto, si sibi ipse filios efficit, Pater dicendus est : si Patri, ipse sit quoque Filius, vel potius ipse verus sit Filius necesse omnino est, propter quem scilicet alii filii efficiuntur.

22. Cæteroquin, si ille non sit Filius, et nos filii sumus,utrique non illius sed nostri Pater erit Deus. Qui ergo id sibi tanquam proprium his verbis vindicat, *Pater meus* [84], et *Ego ex Patre* [84] ? Si enim communis omnium Pater est, non ejus solius est Pater, neque solus ille ex Patre exivit. Interdum autem nostrum etiam Patrem dici docet, ob suam scilicet cum nostra carne communionem.Ideo enim Verbum caro factum est, ut, quoniam Verbum est Filius, propter Filium in nobis habitantem noster quoque Pater appellaretur. Nam, inquit, *misit Spi-*

A Φησὶ γὰρ ὁ Ἰωάννης (40)· Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωήν. Καὶ τὸ ἅγιον δὲ βάπτισμα, ἐν ᾧ πάσης πίστεως ἡμῖν ἡ σύστασις ὁρμεῖ, οὐκ εἰς Λόγον, ἀλλ' εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα δίδοται. Εἴπερ οὖν κατ' αὐτοὺς ἄλλος ἐστὶν ὁ Λόγος, καὶ ἄλλος ὁ Υἱὸς, καὶ οὐκ ἔστιν Υἱὸς ὁ Λόγος, οὐδὲν πρὸς τὸν Λόγον τὸ βάπτισμα. Πῶς οὖν σύνεστιν ὁ Λόγος κατ' αὐτοὺς τῷ Πατρὶ, οὐ συνὼν αὐτῷ ἐν τῇ τοῦ βαπτίσματος δόσει ; Ἀλλ' ἴσως ἂν εἴποιεν. Ἐν τῷ τοῦ Πατρὸς ὀνόματι περιέχεται καὶ ὁ Λόγος. Διὰ τί (41) οὖν οὐχὶ καὶ τὸ Πνεῦμα ; Ἢ ἐκτὸς τοῦ Πατρὸς τὸ Πνεῦμα ; Καὶ ἄνθρωπος μὲν, εἴπερ οὐκ ἔστιν Υἱὸς ὁ Λόγος, μετὰ τὸν Πατέρα ὀνομάζεται, τὸ δὲ Πνεῦμα μετὰ τὸν ἄνθρωπον· οὐκ ἔτι δὲ οὐδὲ εἰς τριάδα κατ' αὐτοὺς ἡ μονὰς πλατύνεται, ἀλλ' εἰς τετράδα, Πατέρα, καὶ Λόγον (42), καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον. Ἐν τούτοις δὴ αἰσχυνόμενοι, εἰς ἕτερον καταφεύγουσι, καί φασι μὴ τὸν ἄνθρωπον καθ' ἑαυτὸν, ὃν ἐφόρεσεν ὁ Κύριος, ἀλλὰ τὸ συναμφότερον, τόν τε Λόγον καὶ τὸν ἄνθρωπον, εἶναι Υἱόν· συνημμένα γὰρ ἀμφότερα Υἱὸς, ὡς αὐτοὶ λέγουσιν, ὀνομάζεται. Τί τοίνυν τίνος αἴτιον, καὶ πότερος πότερον Υἱὸν κατεσκεύασεν; Ἵ, ἵνα λευκότερον εἴποιμι, ἄρα (43) διὰ τὴν σάρκα ὁ Λόγος Υἱός; ἢ διὰ τὸν Λόγον ἡ σὰρξ Υἱὸς λέγεται ; Ἢ οὐδ' ὁπότερον τούτων, ἀλλ' ἡ (44) ἀμφοῖν σύνοδος ; Εἰ μὲν οὖν ὁ Λόγος διὰ τὴν σάρκα, ἀνάγκη τὴν σάρκα εἶναι Υἱὸν, καὶ ἀκολουθεῖ τὰ ἄτοπα, ὅσα προείρηται ἐκ τοῦ λέγειν τὸν ἄνθρωπον Υἱόν· εἰ δὲ διὰ τὸν Λόγον ἡ σὰρξ Υἱὸς λέγεται, καὶ πρὸ τῆς σαρκὸς πάντων ὁ Λόγος ὢν Υἱὸς ἦν. B Πῶς γὰρ οἷόν τε υἱοποιεῖν τινα ἑτέρους, μὴ ὄντα αὐτὸν υἱὸν, ὄντος μάλιστα πατρός ; Εἰ μὲν οὖν ἑαυτῷ υἱοποιεῖ, Πατὴρ αὐτὸς ἂν εἴη· εἰ δὲ τῷ *Πατρὶ*, ἀνάγκη αὐτὸν εἶναι Υἱὸν, μᾶλλον δὲ αὐτὸν εἶναι τὸν Υἱὸν (45), δι' ὃν καὶ οἱ ἄλλοι υἱοποιοῦνται.

22. Ἐπεὶ εἰ, μὴ ὄντος αὐτοῦ Υἱοῦ, ἡμεῖς υἱοὶ ἐσμεν, ἡμῶν ἂν εἴη ὁ Θεὸς Πατὴρ, καὶ οὐκ αὐτοῦ. Πῶς οὖν ἰδιοποιεῖται μᾶλλον λέγων, Ὁ Πατήρ μου, καὶ, Ἐγὼ ἐκ τοῦ Πατρός ; Εἰ γὰρ κοινὸς πάντων Πατὴρ, οὐ μόνου αὐτοῦ Πατὴρ, οὐδὲ μόνος αὐτὸς ἐξῆλθεν ἐκ τοῦ Πατρός. Λέγει δέ ποτε καὶ ἡμῶν αὐτὸν λέγεσθαι Πατέρα, διὰ τὸ αὐτὸν κεκοινωνηκέναι τῇ ἡμετέρᾳ σαρκί. Διὰ τοῦτο γὰρ γέγονεν ὁ Λόγος σὰρξ, ἵν', ἐπειδὴ ὁ Λόγος ἐστὶν Υἱὸς, διὰ τὸν ἐνοικοῦντα ἐν ἡμῖν Υἱὸν λέγηται (46) καὶ ἡμῶν Πατήρ. D Ἀπέστειλε γὰρ, φησὶ, τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐ-

[83] Joan. III, 36. [84] Joan. v, 17. [84] Joan. XVI, 28.

(40) Sic Reg. Seg. et Basil. Alii autem et editi ὁ omittunt.

(41) Sic Reg. Seg. Basil. Anglic. et Gobl. At editio Commeliniana, Διότι.

(42) Regius, Seguerianus, Basiliensis et Anglicanus recte addunt καὶ Λόγον, quod alii et editi omittunt.

(43) Basiliensis et Goblerianus, ἄρα. Cæteri et editio Commeliniana, ἄρα.

(44) Sic Regius et Seguerianus. In aliis et editis ἡ deest.

(45) Regius et Seguerianus addunt, μᾶλλον δὲ αὐτὸν εἶναι τὸν Υἱόν, quæ cæteri et editi omittunt.

(46) Sic Reg. Seg. Basil. et Anglican. At alii et editi, λέγεται.

τοῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον, Ἀββᾶ, ὁ Πατήρ. Οὐκοῦν ὁ ἐν ἡμῖν Υἱὸς, τὸν ἴδιον Πατέρα ἐπικαλούμενος, καὶ ἡμῶν αὐτῶν ποιεῖ Πατέρα λέγεσθαι. Ἀμέλει ὧν οὐκ ἔστιν εἰς τὰς καρδίας ὁ Υἱὸς, τούτων οὐδὲ Πατὴρ ὁ Θεὸς ἂν λεχθείη, Εἴπερ οὖν διὰ τὸν Λόγον ὁ ἄνθρωπος λέγεται Υἱὸς, ἀνάγκη πᾶσα, λεγομένων καὶ πρὸ τῆς ἐνανθρωπήσεως τῶν παλαιῶν υἱῶν, εἶναι καὶ πρὸ τῆς ἐπιδημίας τὸν Λόγον Υἱόν. Υἱοὺς γὰρ, φησὶν (47) ἐγέννησα· καὶ ἐπὶ Νῶε· Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ· καὶ ἐν τῇ Ὠδῇ· Οὐκ αὐτὸς οὗτός σου Πατήρ; Οὐκοῦν ἦν καὶ ὁ ἀληθῶς Υἱὸς, δι' ὃν κἀκεῖνοι υἱοί. Εἰ δὲ κατ' ἐκείνους πάλιν οὐδ' ὁπότερον τούτων Υἱὸς, ἀλλὰ διὰ τὴν ἀμφονῖν σύνοδον, ἀνάγκη μηδ' ὁπότερον εἶναι Υἱόν φημι δή, μήτε τὸν Λόγον, μήτε τὸν ἄνθρωπον, ἀλλά τινα αἰτίαν, δι' ἣν καὶ συνήφθησαν· καὶ οὕτω δὲ (48) προηγήσεται ἡ αἰτία τῆς συνάψεως ἥτις Υἱὸν ποιεῖ. Οὐκοῦν καὶ κατὰ (49) τοῦτο πρὸ τῆς σαρκὸς προῆν ὁ Υἱός. Τούτων δὴ λεγομένων, εἰς ἕτερον καταφεύξονται, λέγοντες μὴ τὸν ἄνθρωπον εἶναι Υἱὸν, μηδὲ τὸ συναμφότερον, ἀλλὰ τὸν Λόγον ἐν ἀρχῇ μὲν εἶναι Λόγον ἁπλῶς· ὅτε δὲ ἐνηνθρώπησε, τότε ὠνομάσθαι Υἱόν. πρὸ γὰρ τῆς ἐπιφανείας μὴ εἶναι Υἱὸν, ἀλλὰ Λόγον μόνον, καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὐκ ὢν πρότερον σὰρξ, οὕτως ὁ Λόγος Υἱὸς γέγονεν, οὐκ ὢν πρότερον Υἱός. Ταῦτα μὲν ἐκείνων τὰ φλυαρήματα· ἔχει δὲ τὸν ἔλεγχον ἐναργῆ (50).

A *ritum Filii sui in corda nostra clamantem, Abba, Pater* [85]. Itaque Filius, qui in nobis est proprium suum Patrem invocans, nostrum etiam Patrem a nobis appellari concedit. Verumtamen in quorum cordibus Filius non est, nec etiam Deus eorum Pater dici potest. Igitur, si homo propter Verbum Filius dicitur, cum veteres, antequam Verbum humanam assumpsisset naturam, filii sint appellati, omnino necesse est Verbum etiam ante suum adventum Filium fuisse. Hinc illa Scripturæ verba, *Filios genui* [86]; et in historia Noe: *Videntes Filii Dei* [87]; et in Cantico: *Nunquid non ipse est Pater tuus* [88]? Erat ergo et verus Filius, propter quem illi filii dicuntur. Quod si secundum illos neutrum horum est Filius, sed amborum congressu constituitur, necesse omnino est neutrum esse Filium; B id est, nec Verbum nec hominem Filium esse, sed quamdam causam propter quam copulati sunt: ac proinde causa illa quæ Filium efficit, copulatione prior erit. Ergo ex hoc item responso sequitur Filium ante **503** carnem exstitisse. Verum his ita demonstratis, aliud quærunt effugium: nempe aiunt non hominem Filium esse, neque utrumque simul, sed Verbum, quod quidem in priucipio fuit duntaxat Verbum; cum autem homo factus est, tunc Filius est nominatus. Nam antequam advenisset, inquiunt, non erat Filius, sed tantummodo Verbum: ac proinde ut Verbum caro factum est, cum antea caro non esset, ita Verbum Filius factum est, cum prius Filius non esset. Hæ illorum sunt ineptiæ, quas refutare haud est difficile.

23. Εἰ γὰρ ὅλως ἐνανθρωπήσας γέγονεν Υἱὸς, ἡ ἐνανθρώπησις αἰτία. Καὶ εἰ ὁ ἄνθρωπος αἴτιος τοῦ εἶναι αὐτὸν Υἱὸν, ἢ τὸ συναμφότερον, καὶ (51) τὰ αὐτὰ ἄτοπα ἀπαντήσει. Ἔπειτα, εἰ πρῶτον Λόγος, καὶ ὕστερον Υἱὸς, φανήσεται ὕστερον ἐγνωκὼς τὸν Πατέρα, καὶ οὐ πρότερον. Οὐ γὰρ ᾗ (52) Λόγος γινώσκει, ἀλλ' ᾗ Υἱός. Οὐδεὶς γὰρ γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός. Ἀπαντήσει δὲ καὶ τοῦτο, ὅτι ὕστερον ἐν κόλποις τοῦ Πατρὸς γέγονε, καὶ ὕστερον αὐτὸς καὶ ὁ Πατὴρ ἕν γεγόνασι, καὶ ὕστερον, τὸ, Ὃ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ταῦτα γὰρ πάτα ἐπὶ Υἱοῦ ἐλέχθη. Ἐκ δὴ τούτων ἀναγκασθήσονται εἰπεῖν· Οὐδὲν ἦν ὁ Λόγος, ἀλλ' ὄνομα μόνον, Οὔτε γὰρ ἐν ἡμῖν μετὰ τοῦ Πατρὸς, οὔτε ὁ (53) τὸν Λόγον ἑωρακὼς ἔβλεπε τὸν Πατέρα, οὔτε ὅλως τινὶ ἐγνώσθη ὁ Πατήρ· διὰ γὰρ Υἱοῦ γινώσκεται ὁ Πατήρ· οὕτω γὰρ καὶ γέγραπται, Καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ. Μήπω δὲ ὄντος τοῦ Λόγου Υἱοῦ, οὐδέπω τις ἐγίνωσκε τὸν Πατέρα, Πῶς οὖν Μωσεῖ, πῶς τοῖς πατράσιν ὤφθη; Αὐτὸς γὰρ ἐν ταῖς Βασιλείαις φησίν. Ἀποκαλυφθεὶς ἀπεκαλύφθην πρὸς πάντας τοὺς πατέρας ὑμῶν. Εἰ δὲ ἀπεκαλύφθη Θεὸς, δῆ-

C 23. Nam si Verbum, humana accepta natura, Filius est factus: igitur naturæ humanæ assumptio causa ejus rei est. Quapropter si homo causa est cur Verbum sit Filius, vel utrumque (54): eadem certe absurda occurent. Deinde, si prius Verbum est, et posterius Filius, sequitur ut Patrem posterius, non prius **cognoverit**. Nec enim eum novit quatenus Verbum est, sed quatenus Filius. *Nemo* enim *novit Patrem, nisi Filius* [89]. Sequitur item nonnisi posterius contigisse ut in sinu Patris fuerit, ipseque et Pater unum facti sint, eveneritque id quod dixit: *Qui vidit me, vidit Patrem* [90]. Nam hæc omnia de Filio dicta sunt. Insuper ex his cogentur fateri Verbum nihil fuisse præter merum nomen. Neque enim in nobis cum Patre erat, nec qui Verbum videbat, Patrem videbat, nec cuiquam omnino D notus erat Pater: quippe qui per Filium cognoscatur: sic enim scriptum est, *Et cui Filius revelaverit* [91]. Unde cum Verbum nondum esset Filius, nondum quoque Pater cognoscebatur. Quomodo igitur Moysi et patribus apparuit? Ipse enim in libris Regnorum ita loquitur: *Revelatus sum omnibus*

[85] Galat. IV, 6. [86] Isa. I, 2. [87] Gen. VI, 2. [88] Deuter. XXXII, 6. [89] Matth. XI, 27. [90] Joan. XIV, 9. [91] Matth. XI, 27.

(47) Φησὶν abest a codice Regio et Seguerianο, Basiliensi et Anglicano.

(48) Regius et Seguerianus δέ addunt, quod alii et editi omittunt.

(49) Regius et Seguerianus, καὶ κατά. In aliis et editis καί deest.

(50) Anglicanus, ἐν ἀρχῇ.

(51) Basiliensis et Anglicanus καί omittunt.

(52) Regius et Seguer. hic et mox, ἤ pro ᾗ.

(53) Sic Reg. Seguer. Basil. et Gobler. At alii et editi ὁ omittunt.

(54) Id est, vel si Verbum et homo, sive conjunctio Verbi cum homine, causa est cur Verbum sit Filius.

patribus vestris [92]. Proinde si revelatus est Deus, certe Filius revelavit, ut ipse testatur, *Et cui Filius revelaverit.* Itaque impium et stultum dictu est, aliud esse Verbum et alium esse Filium. Nec vero abs re erit inquirere undenam hujusmodi hauserint opinionem. Aiunt igitur,cum in Veteri Testamento nulla Filii sed solius Vorbi fiat mentio, idcirco se opinari Filium Verbo juniorem esse, quippe cum nihil de ipso dictum sit in Veteri Testamento, sed tantum in Novo. Hæc sunt quæ illi proferunt, sed impie. Nam primo Testamenta dividere, ita ut unum cum alio non cohæreat, Manichæorum atque Judæorum est, quorum nimirum alii Veteri, alii Novo Testamento adversantur. Deinde si, ut putant ea quæ in Veteri exstant Testamento, tempore antecedunt, ea autem, quæ in Novo Testamento continentur, recentiora sunt, velintque ex divinis Litteris tempora æstimari, necesse sane est ista esse recentiora, nempe, *Ego et Pater unum sumus* [93], *Unigenitus* [94], *Qui vidit me, vidit Patrem* [95]. Non enim ex Veteri Testamento, sed ex Novo hæc testimonia proferuntur.

24. Atqui non ita est sed etiam revera in Veteri Testamento multa de Filio occurrunt, ut in psalmo secundo : *Filius meus es tu, ego hodie genui te* [96]; et in nono inscriptio, *In finem pro occultis Filii, psalmus David* [97] : et in quadragesimo quarto, *In finem pro iis qui commutabuntur, filiis Core, ad intellectum, canticum pro Dilecto* [98] : et apud Isaiam, *Cantabo dilecto canticum Dilecti vineæ meæ.* **504** *Vinea facta est Dilecto* [99]. Quis autem Dilectus est præter Filium unigenitum? ut in psalmo centesimo nono habetur, *Ex utero ante luciferum genuit te* [1], de quo postea dicendi locus erit; et in Proverbiis, *Ante omnes colles gignit me* [2] : et apud Danielem, *Et species quarti, similis Filio Dei* [3], pluraque alia. Si ergo ex Veteri Testamento petitur antiquitas, fatendum utique est antiquum Filium esse, cum multis in locis Veteris Testamenti commemoretur. Ita est, inquiunt, sed ista prophetice dicta sunt : ergo et illa pariter de Verbo prophetice memorata sunt. Nec enim unum prophetice est dictum, aliud vero non prophetice. Nam si hæc verba, *Filius meus es tu*, futurum aliquid significent; idem etiam de illis verbis dicendum est, *Verbo Domini cœli firmati*

A λον ὅτι (55) ἦν ὁ ἀποκαλύπτων Υἱός, ὡς αὐτός φησι, Καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ. Ἀσεβὲς μὲν οὖν καὶ ἀνόητον τὸ λέγειν ἄλλον εἶναι τὸν Λόγον, καὶ ἄλλον εἶναι (56) τὸν Υἱόν. Πόθεν δὲ ἄρα τὴν τοιαύτην ὑπονοιαν ἐσχήκασιν, ἐρέσθαι καλόν. Φασὶ δή, διὰ τὸ μὴ εἰρῆσθαι ἐν τῇ Παλαιᾷ περὶ Υἱοῦ, ἀλλὰ περὶ Λόγου, καὶ (57) διὰ τοῦτο νεώτερον ὑπονοεῖν τοῦ Λόγου τὸν Υἱὸν διαβεβαιοῦνται, ὅτι μὴ ἐν τῇ Παλαιᾷ, ἀλλ' ἐν τῇ Καινῇ μόνῃ περὶ αὐτοῦ (58) ἐλέχθη. Ταῦτ' ἐκεῖνοι ἀσεβῶς φθέγγονται. Πρῶτον μὲν γὰρ διαιρεῖν τὰς Διαθήκας καὶ μὴ τὴν ἑτέραν τῆς ἑτέρας ἔχεσθαι (59), Μανιχαίων καὶ Ἰουδαίων τὸ ἐπιτήδευμα, τῶν μὲν τῇ Παλαιᾷ, τῶν δὲ τῇ Νέᾳ ἀντιλεγόντων· ἔπειτα κατ' αὐτοὺς, εἰ τὰ ἐν τῇ Παλαιᾷ κείμενα προάγει τῷ χρόνῳ, τὰ δὲ ἐν τῇ Νέᾳ νεώτερά ἐστι, καὶ ἐν τῶν

B γραμμάτων οἱ χρόνοι κρίνονται· ἀνάγκη πάλιν νεώτερα εἶναι τὸ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· τό τε, Μονογενής· καὶ τὸ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· οὐ γὰρ ἐκ τῆς Παλαιᾶς, ἀλλ' ἐκ τῆς Καινῆς ταῦτα μαρτυρεῖται.

24. Οὐ μὴν δὲ, ἀλλ' ἀληθῶς καὶ ἐν τῇ (60) Παλαιᾷ περὶ Υἱοῦ πολλὰ λέγεται· οἷον ἐν τῷ δευτέρῳ ψαλμῷ τὸ, Υἱός μου εἶ σὺ (61), ἐμὲ σήμερον γεγέννηκά σε· καὶ ἐν τῷ ἐννάτῳ ἡ ἐπιγραφὴ, Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ Υἱοῦ, ψαλμὸς τῷ Δαυίδ· καὶ ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ, Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ Ἀγαπητοῦ· καὶ ἐν τῷ Ἡσαΐᾳ, Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ

C Ἀγαπητοῦ τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ. Τὸ δὲ Ἀγαπητὸς τίς ἂν εἴη ἢ Υἱὸς μονογενής; ὡς καὶ ἐν τῷ· ἑκατοστῷ ἐννάτῳ, Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, περὶ οὗ ὕστερον λεχθήσεται· καὶ ἐν Παροιμίαις δὲ (62), Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με· καὶ ἐν τῷ Δανιὴλ, Καὶ (63) ἡ ὅρασις τοῦ τετάρτου ὁμοία Υἱῷ Θεοῦ, καὶ ἄλλα πλείονα. Εἰ τοίνυν ἐκ τῆς Παλαιᾶς ἡ ἀρχαιότης, ἀρχαῖος ἂν εἴη καὶ ὁ Υἱὸς, ὃ ἐν τῇ Παλαιᾷ (64) ἐν πολλοῖς σαφηνιζόμενος. Ἀλλὰ ναὶ, φασὶ, κεῖται μέν, προφητικῶς δὲ ἔστω· οὐκοῦν καὶ περὶ τοῦ Λόγου προφητικῶς εἰρῆσθαι λεχθείη ἂν. Οὐ γὰρ τὸ μὲν, τὸ δέ (65). Εἰ γάρ τὸ, Υἱός μου εἶ σὺ, ἐπὶ μέλλοντος, δῆλον ὅτι καὶ τὸ, Τῷ Λόγῳ Κυ-

[92] I Reg. VIII, 27. [93] Joan. X, 30. [94] Joan. I, 18. [95] Joan. XIV, 9. [96] Psal. II, 7. [97] Psal. IX, 1 [98] Psal, XLIV, 1. [99] Isa. V, 1. [1] Psal. CIX, 3. [2] Prov. VIII, 25. [3] Dan. III, 92.

(55) Goblerian., δηλονότι. Mox Anglican. ᾧ ἂν ὁ Υἱός. D

(56) Reg. et Seguer. addunt εἶναι, quod abest ab aliis et editis. Mox Reg. et Seguer. ἐρέσθαι. Cæteri et editi, ἔρεσθαι.

(57) Sic Reg. Seguer., Basil. et Anglic. In aliis et editis deest καί.

(58) Sic Reg. Seguer. Basil. et Anglic. At alii et editi omittunt περὶ αὐτοῦ. Mox Gobler. ἐκεῖνοι οἱ ἀσεβεῖς. Anglic. ibidem, διαιρεῖν τὴν Διαθήκην.

(59) Sic in Regio emendatum est. Alii et editi, διέχεσθαι, ut et prius exstabat in Regio.

(60) Sic Reg. Seguer. Gobler. et Felck. 1. At alii et editi, ἀλλ' ἀληθῶς δὲ ἐν τῇ.

(61) Reg. et Seguer. τὸ, Υἱός μου. In aliis et editis deest τό. Mox Reg. Seguer. Basil. et Anglic. καὶ ἐν τῷ ἐννάτῳ ἡ ἐπιγραφή. Cæteri et editi, καὶ ἡ ἐπιγραφὴ τοῦ ἐννάτου ψαλμοῦ.

(62) Reg. Seguer. Basil. et Anglic. addunt καί, quod ab aliis et editis abest. Ibid. Reg. et Seguer. δέ omittunt, habentque, πάντων βουνῶν.

(63) Sic Regius et Seguer. In aliis et editis deest καί.

(64) Regius et Seguer. ὁ Υἱὸς, ἐν τῇ.

(65) Οὐ post τὸ δέ subintelligendum. Id est : *Nec enim istud prophetice est dictum; illud autem non prophetice. Nam si*, etc.

A ὅτι « Ἡμεῖς πάντες ἓν Πνεῦμα ἐποτίσθημεν. » Τὸ δὲ Πνεῦμα ποτιζόμενοι, τὸν Χριστὸν πίνομεν· « Ἔπινον » γὰρ « ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. » Καὶ πάλιν τοῦ Χριστοῦ ὄντος ἀληθινοῦ Υἱοῦ, ἡμεῖς τὸ Πνεῦμα λαμβάνοντες, υἱοποιούμεθα· « Οὐ γὰρ ἐλάβετε, » φησί, « Πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας. » Υἱοποιούμενοι δὲ τῷ Πνεύματι, δῆλον, ὅτι (63) ἐν τῷ Χριστῷ χρηματίζομεν τέκνα Θεοῦ· Ὅσοι » γὰρ « ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. » Εἶτα τοῦ Πατρὸς, ὡς ὁ Παῦλος εἶπε, μόνου σοφοῦ ὄντος, ὁ Υἱός (64) ἐστιν ἡ σοφία αὐτοῦ. « Χριστὸς » γὰρ « Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. » Τοῦ δὲ Υἱοῦ ὄντος, ὁ τῆς σοφίας, ἡμεῖς Πνεῦμα σοφίας λαμβάνοντες, τὸν Υἱὸν ἔχομεν, καὶ ἐν αὐτῷ σοφοὶ γινόμεθα. Οὕτω γὰρ καὶ (65) γέγραπται ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ πέμπτῳ ψαλμῷ· « Κύριος λύει πεπεδημένους· Κύριος σοφοῖ τυφλούς. » Καὶ τοῦ Πνεύματος δὲ (66) διδομένου εἰς ἡμᾶς (« Λάβετε γὰρ Πνεῦμα ἅγιον, » ἔλεγεν ὁ Σωτὴρ), ὁ Θεὸς ἐν ἡμῖν ἐστιν· οὕτω γὰρ ὁ Ἰωάννης ἔγραψεν · « Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν. » Τοῦ δὲ Θεοῦ ὄντος ἐν ἡμῖν, ἔστι καὶ ὁ Υἱὸς ἐν ἡμῖν, λέγοντος αὐτοῦ τοῦ Υἱοῦ· « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. » Ἔπειτα ζωῆς οὔσης τοῦ Υἱοῦ, « Ἐγὼ » γὰρ, φησὶν, « εἰμὶ ἡ ζωὴ, » ζωοποιεῖσθαι λεγόμεθα ἐν τῷ Πνεύματι· « Ὁ » γὰρ « ἐγείρας, φησὶ, « Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ B σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν. » Ζωοποιουμένων δὲ ἡμῶν ἐν τῷ Πνεύματι, ζῆν αὐτὸς ὁ Χριστὸς ἐν ἡμῖν λέγεται. « Χριστῷ » γὰρ, φησὶ, « συνεσταύρωμαι (67). Ζῶ δὲ οὐκέτι ἐγὼ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Καὶ πάλιν ὥσπερ ὁ Υἱὸς, ἅπερ ἐποίει ἔργα, ἔλεγε τὸν Πατέρα ἐργάζεσθαι· « Ὁ Πατὴρ » γὰρ, φησὶν, « ὁ μένων ἐν ἐμοὶ, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ (68) πιστεύετέ μοι. » Οὕτως, ἅπερ ἐν δυνάμει Πνεύματος εἰργάζετο ὁ Παῦλος, ἔλεγε τοῦ Χριστοῦ εἶναι τὰ ἔργα· « Οὐ γὰρ τολμήσω τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν ἐν (69) λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος ἁγίου. »

D 20. Τοιαύτης δὲ συστοιχίας καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ Τριάδι (70) οὔσης, τίς ἂν διέλοι ἢ τὸν Υἱὸν

[10] I Cor. XII, 13. [11] I Cor. X, 4. [12] Rom. VIII, 15. [13] Joan. I, 12. [14] I Cor. I, 24. [15] Psal. CXLV, 7. [16] Joan. XX, 22. [17] I Joan. IV, 12, 13. [18] Joan. XIV, 23. [19] ibid. 6. [20] Rom. VIII, 11. [21] Galat. II, 19, 20. [22] Joan. XIV, 10, 12. [23] Rom. XV, 18, 19.

(63) Sic Regius primus, Seg. Anglicanus. Alii et editi, δηλονότι.

(64) Sic Regius primus, Seg. Cæteri et editi hic vocem Θεοῦ addunt. Mox Seg. omittit δύναμις καὶ Θεοῦ.

(65) Sic Reg. 1 et 2, Seg. Basil. Anglican. Editi et alii καί adjiciunt. Ibid. sic habent Gobl. et Felc. primus, οὕτω γάρ φησι Δαβίδ· Κύριος, etc.

(66) Δέ hic habent Regius primus, Seg. Alii et editi omittunt. Paulo post Gobl. et Felckm. 1, οὕτω γὰρ καὶ Ἰωάννης γράφει· Ἐὰν γὰρ ἀγαπῶμεν. etc.

(67) Reg. 2, συσταυροῦμαι.

(68) Sic Reg. 2 et Græcus Scripturæ textus. Regius primus. Seguerian. et editi. αὐτοῦ. Ibid. Regius primus Seg., paulo ante, post ἔργα, addunt item. αὐτοῦ.

(69) Ἐν abest a Regio primo. Segueriano.

(70) Regius primus, Seg., habent ἐν τῇ ἁγίᾳ Τριά-

ἀπὸ τοῦ Πατρὸς, ἢ τὸ Πνεῦμα ἀπὸ τοῦ Υἱοῦ, ἢ αὐ- A
τοῦ τοῦ Πατρός ; ἢ τίς οὕτω τολμηρὸς, ὡς εἰπεῖν
ἀνόμοιον καὶ ἑτερουσίου τὴν Τριάδα πρὸς ἑαυτὴν, ἢ
ἀλλοτριοούσιον τοῦ Πατρὸς τὸν Υἱὸν, ἢ ξένον τὸ
Πνεῦμα τοῦ Υἱοῦ ; Πῶς δὲ ταῦτά ἐστιν ; ἄν τις πά-
λιν ἐρωτήσειε ζητῶν· πῶς τοῦ Πνεύματος ὄντος ἐν
ἡμῖν, λέγεται ὁ Υἱὸς εἶναι ἐν ἡμῖν, τοῦ τε Υἱοῦ ὄντος
ἐν ἡμῖν, λέγεται ὁ Πατὴρ εἶναι ἐν ἡμῖν ; ἢ πῶς
ὅλως (71) Τριάδος οὔσης, ἐν ἑνὶ σημαίνεται ἡ Τριάς ;
ἢ πῶς τοῦ ἑνὸς ὄντος ἐν ἡμῖν, ἡ Τριὰς ἐν ἡμῖν λέ-
γεται ; διελέτω πρῶτον αὐτὸς τὸ ἀπαύγασμα τοῦ φω-
τὸς (72), ἢ τὴν σοφίαν τοῦ σοφοῦ· ἢ εἰπάτω, πῶς ἐστι
ταῦτα. Εἰ δὲ μὴ τοῦτο δύναται, πολλῷ πλέον περὶ
Θεοῦ τοιαῦτα ζητεῖν μαινομένων ἐστὶ τὸ τόλμημα·
ἡ γὰρ θεότης οὐκ ἐν ἀποδείξει λόγων, ὥσπερ εἴρη-
ται, παραδίδοται, ἀλλ' ἐν πίστει καὶ εὐσεβεῖ λογισμῷ B
μετ' εὐλαβείας. Εἰ γὰρ καὶ τὰ περὶ τοῦ σωτηριώ-
δους σταυροῦ, « οὐκ ἐν σοφίᾳ λόγων, ἀλλ' ἐν ἀποδεί-
ξει πνεύματος καὶ δυνάμεως, » ἐκήρυττεν ὁ Παῦλος,
« καὶ ἀῤῥήτων δὲ ῥημάτων (73) ἤκουσεν » ἐν τῷ παρα-
δείσῳ, « ἃ μὴ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· » περὶ αὐτῆς
τῆς ἁγίας Τριάδος τίς ἐξειπεῖν δύναται ; Ὅμως δ'
οὖν τὴν τοιαύτην ἀπορίαν δυνήσεταί τις θεραπεύειν
προηγουμένως μὲν τῇ πίστει, ἔπειτα δὲ καὶ ἐκ τῶν
προειρημένων, φημὶ δὴ (74), τῆς εἰκόνος καὶ τοῦ
ἀπαυγάσματος, καὶ πηγῆς, καὶ ποταμοῦ, καὶ ὑπο-
στάσεως, καὶ χαρακτῆρος. Ὥσπερ γὰρ ἐν ἰδίᾳ εἰ-
κόνι ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πνεύματι (75), οὕτω καὶ ὁ
Πατὴρ ἐν τῷ Υἱῷ. Καὶ γὰρ τὸ ἀδύνατον τῆς διὰ λό-
γων ἑρμηνείας, καὶ τοῦ καταλαβεῖν τὰ τοιαῦτα πα-
ραμυθουμένη ἡ θεία Γραφὴ, τοιαῦτα καὶ τὰ παρα-
δείγματα δέδωκεν (76) ἡμῖν, ἵν' οὕτω διὰ τὴν ἀπι- C
στίαν τῶν τολμηρῶν λέγειν ἁπλούστερον, καὶ λέγειν
ἀκινδύνως, καὶ μετὰ συγγνώμης νοεῖν ἐξῇ (77), καὶ
πιστεύειν ἕνα εἶναι τὸν ἁγιασμὸν, τὸν ἐκ Πατρὸς δι'
Υἱοῦ ἐν Πνεύματι ἁγίῳ γινόμενον. Καὶ γὰρ ὥσπερ
μονογενὴς ὁ Υἱός ἐστιν· οὕτω καὶ **τὸ Πνεῦμα παρὰ**

Spiritum a Filio aut ab ipso Patre separare audeat? vel quis eo temeritatis deveniet,ut dissimilis et diversæ naturæ Trinitatem esse, aliamque a Patre substantiam Filium habere, ac denique Spiritum Filio externum esse contendat? Si quis vero rursus sciscitetur quonam modo hæc esse possint, ut scilicet cum Spiritus in nobis est,Filius in nobis esse dicatur ; et similiter cum Filius in nobis est, Pater in nobis esse itidem dicatur ; vel quomodo,cum sit Trinitas,in uno tamen significetur Trinitas ; quomodo item cum unus in nobis est,Trinitas in nobis esse dici queat : quisquis,inquam, ita interrogaverit,vel prius ipse splendorem a luce et sapientiam a sapiente dividat,vel quomodo hæc sint edisserat, Quod si præstare non valeat, multo magis hæc de Deo inquirere summæ temeritatis et insaniæ esse fatendum est. Siquidem divinitas, uti dictum est, non argumentis traditur, sed fide necnon ratione cum pietate conjuncta. Nam si quæ ad salutarem crucem pertinent, « non in sapientia verbi, sed in ostensione spiritus et virtutis » prædicavit Paulus[24], « et audivit arcana verba » in paradiso, « quæ non licet homini loqui [25] : » quis de sancta Trinitate disserere poterit? Verumtamen hujusmodi hæsitatio cum præsertim fide sanari poterit, tum etiam prædictis exemplis imaginis, splendoris, fontis, fluvii, substantiæ, et figuræ. Quemadmodum enim Filius in Spiritu tanquam in propria imagine est : ita et Pater in Filio. Scilicet divina Scriptura, ut nostram infirmitatem levaret, per quam nobis res tantas haud licet comprehendere et sermone explicare, nobis ista exempla subministravit, ut hoc modo propter petulantium hominum infidelitatem simplicius et extra periculum de his loqui possemus,liceretque sine culpa resistas arduas intelligere, **535** ac denique credere unam esse sanctificationem ex Patre per Filium in Spiritu sancto pro-

[24] I Cor. I, 17; II, 4. [25] II Cor. XII, 4.

δι. Alii et editi vocem ἁγίᾳ omittunt. Mox ibid. Regius primus, Seg. Gobl. et Felckm. primus habent ut hic exstat. Basil., Τίς ἂν διελοίη λοιπὸν τὸν Υἱόν, etc. Anglicanus, Τίς ἂν διελ, cum spatio vacuo, ἢ τὸν Υἱόν, etc. Alii et editi, Τίς ἂν εἴη λοιπὸν τον Υἱὸν ἀπὸ τοῦ Πατρὸς, ἢ τὸ Πνεῦμα ἀπὸ τοῦ Υἱοῦ, ἢ αὐτοῦ τοῦ Πατρὸς χωρίζων ; Gobl. et Felckm. primus ibid., ἢ ἀπὸ τοῦ Πατρός.

(71) Sic Regius primus, Seg. Basil. Editi et alii, οὕτως. Sed utrumque abest a Reg. 2.

(72) Sic Regius primus, Seg. Gobl. et Felckm. primus, Basil.. qui et infra habent εἰπάτω, et δύναται. Editi vero et alii sic habent : ἡ Τριὰς λέγεται ; ἢ διελέτωσαν πρῶτον αὐτοὶ τοῦ ἀπαυγάσματος τὸ φῶς, et infra, εἰπάτωσαν et δύνανται. Tamen Basil. Gobl. et Felckm. primus, pro αὐτός, habent αὐτό, et Seg., pro τοῦτο ante δύναται, habet ταῦτα.

(73) Anglicanus, ἀῤῥητα δὲ ῥήματα. Hic item Gobl. et Felckm. primus δὲ omittunt. Paulo post Regius primus, Seg. Basil. Gobl. et Felckm. primus habent, περὶ αὐτῆς τῆς ἁγίας Τριάδος τίς ἐξειπεῖν δύναται ; Cæteri et editi, πῶς περὶ αὐτῆς τῆς ἁγίας Τριάδος τις ἐξειπεῖν δυνήσεται ; In Goblerian. Felckman. primus et Basil. vox ἁγίας deest. Item Gobl. et Felckm. primus, δυνήσεται. Anglic. autem cum Regio primo, Seg. Basil., δύναται. Mox Regius primus, Seg. Gobl. et Felckm. primus, θεραπεύειν. Alii et editi, θεραπεῦσαι.

(74) Regius primus, Seg., φημὶ δέ, etc.

(75) Sic Reg. primus, Seg. Alii vero et editi, Πατρὶ, sed mendose, ut evidens est. Nec enim Pater sed Spiritus sanctus imago est Filii, ut ipse Filius imago est Patris, idque passim docet sanctus Athanasius. D

(76) Sic Regius primus, Seg. Anglicanus. Iidem Regius primus, Seg., ibid., δέδωκεν. Item iidem et Basil. mox, ἵν' οὕτως. Alii et editi articul. τά et ἵν' omittunt, habentque ἔδωκεν.

(77) Sic Regius primus, Anglicanus. At Basil. et Felckm. 2, ἐξ ἧς. Utrumque abest a Gobl. et Felc. primus. Editi vero et alii, ἐξῆς. Paulo post Regius primus, Seg., habent ἐκ Πατρὸς δι' Υἱοῦ. Editi et alii, ἐκ Πατρὸς καὶ Υἱοῦ. Item iidem et Basil. ibid. γινόμενον. Alii et editi, γενόμενον. Mox item Seg. Gobl. et Felckm. primus habent μονογενὴς ὁ Υἱός. Alii et editi, γέννημα μονογενὲς ὁ Υἱός.

ductam. Nam quemadmodum unigenitus est Filius : sic et Spiritus, qui a Filio datur et mittitur, unus item est,non multi, neque ex multis unus, sed solus ipse Spiritus est. Quia enim unus est Filius qui et vivens est Verbum : unam quoque esse necesse est perfectam et plenam, sanctificantem et illuminantem, viventem ejus efficaciam et donum quod ex Patre procedere dicitur, quia ex Verbo, quod ex Patre esse conceditur, effulget, et ab eodem mittitur,ac datur.Filium quidem a Patre mitti verissimum est, ut ipse his Verbis testatur : « Sic Deus dilexit mundum,ut Filium suum unigenitum mitteret [26]. » Sic etiam Filius Spiritum mittit. « Si » enim, inquit, « ego abiero, mittam Paracletum [27]. » Filius similiter Patrem honorat, ut ipse ait : « Ego te clarificavi [28]. » Spiritus item Filium honorat, ut idem Filius dixit : « Ille me clarificabit [29]. » Filius præterea dicit : « Quæ audivi a Patre, hæc loquor in mundo [30]. » Spiritus autem ex Filio quoque accipit. « De meo, » inquit, « accipiet et annuntiabit vobis [31].» Rursus, Filius in nomine Patris venit.Ita etiam « Spiritus sanctus, » inquit Filius, « quem mittet Pater in nomine meo [32]. »

21.Cum igitur eumdem ordinem eamdemque naturam habeat Spiritus erga Filium, qualem Filius erga Patrem, qua, quæso, ratione is qui Spiritum sanctum rem creatam esse contendit, non idem necessario de Filio sentiet? Nam si Filii Spiritus res est creata, consequens est ut et Verbum Patris rem creatam esse fateantur. Hæc nempe opinati Ariani in Caiphæ Judaismum delapsi sunt. Si porro hi qui de Spiritu hæc audent dicere, Arii sententiam tueri nolint, ejus ergo verba quoque fugiant, nec impii sint in Spiritum sanctum Nam ut Filius, qui in Patre est, in quo etiam est Pater, non est res creata, sed Patris substantiæ proprius est, quod et vos asseveratis : ita et Spiritum sanctum,qui in Filio est, et in quo Filius est, inter res creatas collocare, aut a Verbo dividere,atque ita imperfectam Trinitatem reddere nefas omnino fuerit.Sed satis sit hactenus Tropicorum impietatem ex ignorantia ortam coarguisse, quo videlicet prophetæ et Apostoli verba explicaremus,quorum illi sensum adulterantes,seipsos in errorem induxerunt. Jam vero scorsim inspicia-

A τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἓν ἐστι (78) καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἓν, ἀλλὰ μόνον αὐτὸ Πνεῦμα. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ (79), τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζῶσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν, ἥτις ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς ὁμολογουμένου ἐκλάμπει, καὶ ἀποστέλλεται, καὶ δίδοται. Ἀμέλει ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται· « Οὕτω » γὰρ, φησὶν, « ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέστειλεν (80). » Ὁ δὲ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει· « Ἐὰν » γὰρ, φησὶν, « ἐγὼ ἀπέλθω, ἀποστελῶ τὸν Παράκλητον. » Καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει, λέγων· « Πάτερ, ἐγώ σε ἐδόξασα· » τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν· « Ἐκεῖνος » γὰρ, φησὶν, « ἐμὲ δοξάσει. » Καὶ ὁ μὲν Υἱός φησιν· « Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον· » τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει· « Ἐκ τοῦ ἐμοῦ » γὰρ « λήψεται (81) καὶ ἀναγγελεῖ ὑμῖν, » φησί. Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, » φησὶν ὁ Υἱὸς (82), « ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. »

B

21. Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν (83), οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει ; Εἰ γάρ ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα, ἀκόλουθον ἂν εἴη (84) λέγειν αὐτοὺς καὶ τὸν Λόγον τοῦ Πατρὸς εἶναι κτίσμα. Τοιαῦτα γὰρ οἱ Ἀρειανοὶ φαντασθέντες, εἰς τὸν κατὰ Καϊάφαν Ἰουδαϊσμὸν πεπτώκασιν. Εἰ δὲ τὰ Ἀρείου μὴ προσποιοῦνται φρονεῖν (85) οἱ περὶ τοῦ Πνεύματος τοιαῦτα λέγοντες, φευγέτωσαν καὶ τὰ ἐκείνου ῥήματα, καὶ μὴ ἀσεβείτωσαν εἰς τὸ Πνεῦμα. Ὥσπερ γὰρ ὁ Υἱὸς, ὁ (86) ἐν τῷ Πατρὶ ὢν, ἐν ᾧ καὶ ὁ Πατήρ ἐστιν, οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιος τῆς τοῦ Πατρὸς οὐσίας (τοῦτο γὰρ καὶ ὑμεῖς προσποιεῖσθε λέγειν)· οὕτως καὶ τὸ Πνεῦμα τὸ ἐν τῷ Υἱῷ, ἐν ᾧ καὶ ὁ Υἱός ἐστιν, οὐ θέμις τοῖς κτίσμασι συντάσσειν, οὐδὲ διαιρεῖν αὐτὸ ἀπὸ τοῦ Λόγου, καὶ ἀτελῆ τὴν Τριάδα κατασκευάζειν. Τῶν μὲν οὖν ῥητῶν τοῦ τε προφητικοῦ καὶ τοῦ ἀποστολικοῦ χάριν, ὧν τὴν διάνοιαν παραποιοῦντες, ἠπάτησαν ἑαυτοὺς, ἀρκεῖ διὰ τούτων διελέγξαι τὴν ἐκ τῆς ἀμαθίας τῶν τροπικῶν δυσφη-

C

[26] Joan. III, 16. [27] Joan. XVI, 7. [28] Joan. XVII, 4. [29] Joan. XVI, 14. [30] Joan. VIII, 26. [31] Joan. XVI, 14. [32] Joan. XIV, 26.

(78) Verbum ἐστι restituimus ex Regio primo, Seg. Ibid. iidem et Reg. 2, Basil., αὐτὸ Πνεῦμα. Alii et editi, αὐτὸ τὸ Πνεῦμα.

(79) Τοῦ Υἱοῦ, deest in Regio primo, Seg. Paulo post iidem et Basil. Gobl. et Felckm. primus habent, ζῶσαν. Editi et alii, ζωὴν, οὖσαν. Τε item particul. post ἥτις ab aliis et editis addita, ab iisdem abest.

(80) Sic Regius primus, Seguer. Basil. Gobl. et Felckm. primus. Editi et alii ἔδωκεν.

(81) Regius primus, Seg. omittunt ἐκ τοῦ ἐμοῦ λήψεται, qui iidem ibidem, Ἀναγγελεῖ γὰρ, φησὶν, ὑμῖν.

(82) Sic Regius primus, Seguer. Basil. Gobl. et Felckm. primus. Cæteri et editi ὁ Υἱὸς omittunt.

D

(83) Regius secundus, Πατρός, et mox πρὸς τὸ Πνεῦμα.

(84) Regius primus, Seg. Basil. Anglicanus εἴη habent : alii et editi omittunt.

(85) Sic Regius primus, Seg. Gobl. et Felckm. primus, qui tamen Gobl. et Felckm. primus φωνεῖν pro φρονεῖν habent. Alii vero et editi sic habent : Οἱ μὲν τὰ Ἀρείου μὲν προσποιούμενοι μὴ φρονεῖν, περὶ δὲ τοῦ Πατρὸς τὰ αὐτὰ λέγοντες, etc. Regius 2, pro Πατρός, bene habet, Πνεύματος. Anglican. item et Regius 2, pro τὰ αὐτὰ, habent τοιαῦτα. Ibid. Regius primus, Seg., et infra, ῥήματα.

(86) Sic Regius primus, Seg. In aliis autem et editis articul. ὁ deest.

μίαν (87)· Ἴδωμεν δὲ λοιπὸν καὶ αὐτὰ καθ' αὐτὰ τὰ ἐν ταῖς θείαις Γραφαῖς περὶ τοῦ Πνεύματος τοῦ ἁγίου λεγόμενα, καὶ ὡς δόκιμοι τραπεζῖται διακρίνωμεν, εἰ ἴδιόν τι πρὸς τὰ κτίσματα ἔχει νὸ Πνεῦμα, ἢ ἴδιον τοῦ Θεοῦ ἐστιν, ἵνα ἢ κτίσμα αὐτὸ εἴπωμεν, ἢ ἄλλο μὲν τῶν κτισμάτων, ἴδιον δὲ καὶ ἓν (88) τῆς ἐν Τριάδι θεότητος. Τάχα κἂν οὕτως ἐντραπῶσι, μαθόντες, ὅσον ἀπᾴδει τῶν θείων λογίων τὰ ἐφευρεθέντα παρ' αὐτῶν τῆς βλασφημίας ῥήματα.

22. Τὰ κτίσματα τοίνυν ἐξ οὐκ ὄντων γέγονεν, ἀρχὴν ἔχοντα τοῦ γίνεσθαι· ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς. Ἐκ δὲ τοῦ Θεοῦ λέγεται τὸ Πνεῦμα τὸ ἅγιον· « Οὐδεὶς » γὰρ, φησὶν, « οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τοῦ ἐν αὐτῷ· οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ (89) Θεοῦ. » Ποία τοίνυν ἐκ τῶν προειρημένων συγγένεια τῷ Πνεύματι πρὸς τὰ κτίσματα; Τὰ μὲν γὰρ κτίσματα οὐκ ἦν· ὁ δὲ Θεὸς ὢν ἐστιν, ἐξ οὗ καὶ τὸ Πνεῦμα. Τὸ δὲ ἐκ τοῦ Θεοῦ οὐκ ἂν εἴη ἐκ τοῦ μὴ ὄντος, οὐδὲ κτίσμα, ἵνα μὴ κατ' ἐκείνους καὶ ὁ (90) ἐξ οὗ ἐστι τὸ Πνεῦμα, κτίσμα εἶναι νομισθῇ. Τίς οὖν τῶν τοιούτων ἀφρόνων ἀνέξεται, λεγόντων καὶ αὐτῶν ἐν καρδίᾳ μὴ εἶναι Θεόν; Καὶ γὰρ εἰ (91) ὥσπερ οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ Πνεῦμα τὸ ἐν αὐτῷ, οὕτως καὶ τὰ τοῦ Θεοῦ εἰ μὴ τὸ ἐν αὐτῷ Πνεῦμα· πῶς οὐ δύσφημον ἂν εἴη λέγειν κτίσμα τὸ ἐν τῷ Θεῷ Πνεῦμα, τὸ καὶ τὰ βάθη τοῦ Θεοῦ ἐρευνῶν; Μαθήσεται γὰρ ἐκ τούτων εἰπεῖν ὁ τοιοῦτος τὸ μὲν τοῦ ἀνθρώπου πνεῦμα ἔξωθεν αὐτοῦ τοῦ ἀνθρώπου εἶναι, τὸν δὲ ἐν τῷ Πατρὶ Λόγον (92) εἶναι κτίσμα. Πάλιν τε Πνεῦμα ἁγιωσύνης καὶ ἀνακαινώσεώς (93) ἐστί τε καὶ λέγεται τὸ Πνεῦμα· γράφει γὰρ ὁ Παῦλος· « Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. » Καὶ πάλιν φησίν· « Ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν· » ὅτε καὶ πρὸς Τίτον

A mus quænam in divinis Scripturis de Spiritu sancto dicta fuerint, ac velut probi mensarii discernamus, num proprium aliquid habeat Spiritus cum rebus creatis, vel an proprius sit Dei, ut eum vel rem creatam, vel alium a rebus creatis, propriumque divinitatis Trinitatis et unum ex ea esse dicamus. Forsan enim hoc pacto erubescent illi, ubi didicerint, quantum impietatis verba quæ commenti sunt, a divinis oraculis discrepent.

22. Itaque res creatæ ex nulla re factæ sunt, habentque exsistendi principium. Siquidem in principio fecit Deus cœlum et terram et omnia quæ in eis sunt [33]. At Spiritus sanctus ex Deo esse dicitur. « Nemo » enim, inquit, « scit quæ sunt hominis, nisi spiritus **536** hominis, qui in ipso est : ita et quæ B Dei sunt nemo cognovit, nisi Spiritus Dei. Nos autem non spiritum mundi accepimus, sed Spiritum qui ex Deo est [34]. » Quænam igitur cognatio Spiritus cum rebus creatis ex his esse videtur? Etenim res creatæ non erant : at Deus is est qui est, ex quo et ipse Spiritus est. Quod autem ex Deo est, non potest esse ex nihilo, neque res creata, ne secundum eos ille quoque ex quo Spiritus sanctus est, res creata esse putetur. Quis ergo hujusmodi insipientes ferre possit, qui et ipsi in corde suo dicunt non esse Deum [35]? Nam si quemadmodum nemo novit quæ sunt hominis, nisi spiritus hominis qui in ipso est, ita et quæ sunt Dei nemo novit nisi Spiritus qui in ipso est : an non summæ impietatis fuerit dicere rem creatam esse Spiritum qui in Deo est, et qui profunda Dei scrutatur? Nam qui ea mente est, fateri utique cogetur spiritum hominis extra hominem C esse, et Verbum quod est in Patre, rem item creatam esse. Præterea, Spiritus et est et dicitur Spiritus sanctitatis et renovationis. Scribit siquidem Paulus : « Qui prædestinatus est Filius Dei in virtute secundum Spiritum sanctitatis ex resurrectione mortuorum [36] (94) Jesus Christus Dominus noster. » Et iterum dicit : « Sed sanctificati estis, sed justificati estis in nomine Domini nostri Jesu Christi et

[33] Gen. I, 1. [34] I Cor. II, 11, 12. [35] Psal. XIII, 1. [36] Rom. I, 4.

(87) Regius primus, τροπικὴν δυσφημίαν. Mox Regius primus, Seg. Basil., αὐτὰ καθ' αὐτὰ τὰ ἐν ταῖς, etc. Anglicanus, Regius 2 et Ottobon., τὰ αὐτὰ καθ' ἑαυτὰ τά, etc. Editi et cæteri, αὐτὰ τὰ ἐν ταῖς. Paulo post Gobl. et Felckm. primus, διακρινόμενοι pro διακρίνωμεν.

(88) Sic Regius primus, Seg. Gobl. et Felc. 1, ἓν item legitur in Basil. Cæteri vero et editi, ἴδιον καὶ ἐν τῇ ἀγεννήτῳ (Regius 2. ἀγενήτῳ) Τριάδι τῆς θεότητος.

(89) Sic Reg. 1 et 2, Seg. Gobl. et Felckm. primus, sed Gobl. et Felckm. primus articul. τοῦ omittunt. In aliis et editione Commel. non habetur ἐκ τοῦ. Ibid. Regius primus, Seg. Gobl. et Felckmanni primus. Ποία νῦν. Paulo post Regius 2 sic habet, ὁ δὲ Θεὸς ὢν ἐστιν, ἐξ οὐκ ὄντων τὰ πάντα παραγαγών. Ὧν ἐστι, φημὶ, ἐξ οὗ καί, etc.

(90) Ὁ abest a Regio primo et Seg.

(91) Sic Regius primus, Seg. Gobl. et Felckm. primus. Cæteri et editi εἰ abjiciunt. Mox iidem et Reg. 2, Basil., habent ut hic exstat. Alii et editi omittunt οὕτως καὶ τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ ἐν αὐτῷ Πνεῦμα. Ibid. Regius primus, Seg. Basil. Anglican. particulam οὖν abjiciunt, quam alii et editi post vocem πῶς addunt. Item ibid., pro οὐ δύσφημον, Regius primus, οὐκ ἄνουν. Abest quoque ab Anglican. ἂν εἴη.

D

(92) Sic Regius primus, Seg. Alii autem et editi hic post Λόγον addunt καὶ τὸ Πνεῦμα. Ibid. Regius primus, Seg. et Reg. 2 mox, κτίσμα. Alii autem et editi, κτίσματα.

(93) Gobl. et Felckm. 1, Seg., hic et infra, ἀνακαινισεως.

(94) In Vulgata habetur, *Jesu Christi Domini nostri* : quæ quo referenda sint, varia est auctorum sententia. Plerique tamen hæc verba Ἰησοῦ Χριστοῦ, etc., ad illa referri volunt v. 3. περὶ τοῦ Υἱοῦ. Sed hic non posse commode referri nisi ad hæc verba, τοῦ ὁρισθέντος Υἱοῦ, cuivis perspicuum est.

in Spiritu Dei nostri [37]. » Hæc quoque ad Titum scribit : « Cum autem benignitas et humanitas apparuit Salvatoris nostri Dei, non ex operibus justitiæ, quæ fecimus nos, sed secundum suam misericordiam salvos nos fecit per lavacrum regenerationis et renovationis Spiritus sancti, quem effudit in nos abunde per Jesum Christum Salvatorem nostrum, ut justificati gratia ipsius, hæredes simus secundum spem vitæ æternæ [38]. » At quod res creatas spectat, ipsæ sanctæ efficiuntur et renovantur : « Emittes » enim « Spiritum tuum et creabuntur, et renovabis faciem terræ [39]. » Et Paulus : « Impossibile est enim eos qui semel sunt illuminati, gustaverunt etiam donum cœleste et participes facti sunt Spiritus sancti [40]. »

23. Itaque qui non ab alio sanctus efficitur, neque sanctimoniæ fit particeps, sed ipse alios participes reddit, in quo et res universæ creatæ, sanctæ efficiuntur; qui, inquam, fieri potest ut is locum inter res omnes habeat, vel proprius illorum sit qui ipsius fiunt participes? Nam qui hæc ita esse pugnaverint, eos etiam concedere necesse sit Filium per quem res omnes factæ sunt, unam tamen illarum esse. Spiritus item vivificus dicitur : Qui suscitavit, » inquit, « Christum a mortuis, vivificabit et mortalia corpora vestra per inhabitantem ejus Spiritum in vobis [41]. » Et Dominus quidem ipsa est vita et « auctor vitæ, » ut ait Petrus [42]. Idem tamen Dominus ait : « Aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam [43]. Hoc autem dixit de Spiritu quem accepturi erant credentes in eum [44]. » Res autem creatæ, uti dictum est, vitam per ipsum accipiunt. Qui **537** igitur vitæ non fit particeps, sed ipse alios participes facit, et vitam rebus creatis impertit, qualem, quæso, cognationem cum rebus factis habere potest? Aut qua tandem ratione inter res creatas censendus sit, cum ipsæ in illo vitam a Verbo accipiant? Unctio quoque Spiritus dicitur, et est item sigillum; unde Joannes scribit : « Et vos unctionem quam accepistis ab eo manet in vobis. Et non necesse habetis, ut aliquis doceat vos : sed sicut unctio ejus, » nempe ejus Spiritus, « docet vos de omnibus [45]. » Et apud Isaiam prophetam legitur : « Spiritus Domini super me, cujus causa unxit me [46]. » Paulus etiam ait : « In quo et

A γράφων ἔλεγεν· « Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν (95) ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα, δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι (96) κατ' ἐλπίδα γενηθῶμεν ζωῆς αἰωνίου. » Τὰ δὲ κτίσματα ἁγιαζόμενά ἐστι καὶ ἀνακαινιζόμενα. « Ἐξαποστελεῖς » γὰρ « τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Καὶ ὁ Παῦλος δέ φησιν· « Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου. »

B 23. Τὸ τοίνυν μὴ ἁγιαζόμενον παρ' ἑτέρου, μηδὲ μετέχον (97) ἁγιασμοῦ, ἀλλ' αὐτὸ μεθεκτὸν ὄν, ἐν ᾧ καὶ τὰ κτίσματα πάντα ἁγιάζεται, πῶς ἂν εἴη ἓν τῶν πάντων, ἴδιον τῶν μετεχόντων αὐτοῦ ; Ἀνάγκη γὰρ τοῖς τοῦτο λέγουσιν εἰπεῖν καὶ τὸν Υἱὸν, δι' οὗ τὰ πάντα γέγονεν ἕνα τῶν πάντων εἶναι. Πνεῦμα ζωοποιὸν (98) λέγεται· « Ὁ ἐγείρας » γὰρ, φησὶν, « Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν. » Καὶ ὁ μὲν Κύριός ἐστιν ἡ αὐτοζωὴ, καὶ « ἀρχηγὸς τῆς ζωῆς, » ὡς εἶπεν ὁ Πέτρος· ἔλεγε δὲ αὐτὸς (99) ὁ Κύριος· » Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Τὰ δὲ κτίσματα, ὡς (1) εἴρηται, ζωοποιούμενά ἐστι δι' C αὐτοῦ. Τὸ δὲ μὴ μετέχον ζωῆς, ἀλλ' αὐτὸ μετεχόμενον καὶ ζωοποιοῦν τὰ κτίσματα, ποίαν ἔχει συγγένειαν πρὸς τὰ γενητά ; Ἢ πῶς ὅλως ἂν εἴη τῶν κτισμάτων, ἅπερ ἐν ἐκείνῳ παρὰ τοῦ Λόγου ζωοποιεῖται ; Χρίσμα λέγεται τὸ Πνεῦμα, καὶ ἔστι σφραγίς. Ὁ μὲν γὰρ Ἰωάννης γράφει· « Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ, μένει ἐν ὑμῖν. Καὶ οὐ χρείαν ἔχετε, ἵνα τίς διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα, » τὸ Πνεῦμα αὐτοῦ, « διδάσκει ὑμᾶς περὶ πάντων (2). » Ἐν δὲ τῷ προφήτῃ Ἡσαΐᾳ γέγραπται· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. » Ὁ δὲ Παῦλός φησιν· « Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. » Τὰ δὲ κτίσματα (3) τούτῳ σφραγίζεται καὶ χρίεται, καὶ

[37] I Cor. VI, 11. [38] Tit. III, 4. [39] Psal. CIII, 30. [40] Hebr. VI, 4. [41] Rom. VIII, 11. [42] Act. III, 15. [43] Joan. IV, 14. [44] Joan. VII, 39. [45] I Joan. II, 27. [46] Isa. LXI, 1.

(95) Regius primus, Seg. Basil. Gobl. et Felckm. primus, ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν, etc. Anglicanus, ἐξ ἔργων τῶν ἐκ δικαιοσύνης ὧν, etc. Editi vero et cæteri, ἐξ ἔργων δικαιοσύνης ἃ ἐποιήσαμεν.

(96) Vox κληρονόμοι abest a Regio primo, Seg. Ibid. Seg., γεννηθῶμεν. Item mox Regius primus, τὰ ἁγιαζόμενα. Cæteri et editi τά omittunt. Mox item hæc verba, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, desunt in Reg. 2, Felckm. 2 et editione Commeliniana.

(97) Sic Regius primus et Anglicanus. At Gobl. *et Felckm. primus*, μετέχων. Alii vero et editi, μέτοχον. Regius primus, Seg., mox, ἁγιάζονται.

(98) Reg. 2, Felckm. 2 et editi, ζωοποιοῦν. Mox Regius primus, Seg., vocem Ἰησοῦν **omittunt.**

(99) Sic Regius primus. Seg. Basil. **Alii et editi,** αὐτοῖς.

(1) Regius primus, Seg. Gobl. **et Felckm.** primus, ὥσπερ. Item Regius primus, **Seg., post** εἴρηται, addunt καί.

(2) Sic Regius primus, Seg. **Basil. Anglicanus.** In aliis autem et editis hæc ἀλλ' ὡς **usque ad** περὶ πάντων desunt. Basiliens. ibid. **habet ἀλλὰ** τοῦ αὐτοῦ, etc.

(3) Sic Regius primus, **Seguer. Basil. Gobl. et**

περὶ πάντων διδάσκεται. Εἰ δὲ τὸ Πνεῦμα χρίσμα καὶ σφραγὶς ἐστιν ἐν ᾧ χρίει καὶ σφραγίζει πάντα ὁ Λόγος ποία ὁμοιότης ἢ ἰδιότης τοῦ χρίσματος καὶ τῆς ἀφραγῖδος πρὸς τὰ χριόμενα καὶ σφραγιζόμενα ; Οὐκοῦν καὶ κατὰ τοῦτο οὐκ ἄν εἴη τῶν πάντων αὐτό (4). Οὐ γὰρ ἂν εἴη ἡ σφραγὶς ἐκ τῶν σφραγιζομένων, οὐδὲ τὸ χρίσμα ἐκ τῶν χρεομένων· ἀλλ' ἴδιόν ἐστι τοῦτο τοῦ χρίοντος καὶ σφραγίζοντος Λόγου. Τὸ μὲν γὰρ χρίσμα τὴν εὐωδίαν καὶ πνοὴν τοῦ χρίοντος ἔχει. καὶ οἱ χριόμενοι τούτου μεταλαμβάνοντες λέγουσι· « Χριστοῦ εὐωδία ἐσμέν· » ἡ δὲ σφραγὶς τὴν μορφὴν (5) Χριστοῦ τοῦ σφραγίζοντος ἔχει, καὶ ταύτης οἱ σφραγιζόμενοι μετέχουσι, μορφούμενοι κατ' αὐτὴν, λέγοντος τοῦ Ἀποστόλου· « Τεκνία μου, οὓς πάλιν ὠδίνω (6), ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Οὕτω δὲ σφραγιζόμενοι, εἰκότως καὶ κοινωνοὶ θείας φύσεως γινόμεθα, ὡς εἶπεν ὁ Πέτρος, καὶ οὕτω μετέχει πᾶσα ἡ κτίσις τοῦ Λόγου ἐν τῷ Πνεύματι.

A credentes signati estis in diem redemptionis [47]. » At res creatæ illo signantur et unguntur, ac de omnibus docentur. Si igitur Spiritus unctio sive unguentum et sigillum est, in quo omnia ungit et signat Verbum : quænam similitudo aut convenientia unguenti et sigilli esse potest cum his rebus quæ unguntur et signantur? Nequit proinde fieri ut ipse inter res omnes numeretur. Nec enim aliquis ex his qui signantur, sigillum ipse dicendus sit : nec similiter aliquis ex his qui unguntur, unguentum idem erit. Sed id proprium est ungentis et signantis Verbi. Unguentum quidem ungentis suavitatem et odorem retinet, cujus participes facti qui unguntur, dicunt : « Christi bonus odor sumus [48]. » Sigillum vero signantis Christi effigiem servat, cujus qui signantur B participes effecti, ad eam conformantur, ut ait Apostolus : « Filioli mei, quos iterum parturio, donec formetur Christus in vobis [49]. » Hoc autem modo signati, convenienter divinæ naturæ consortes reddimur, uti docet Petrus [50] : atque ita universæ res creatæ Verbi in Spiritu fiunt participes.

24. Καὶ διὰ τοῦ Πνεύματος λεγόμεθα πάντες μέτοχοι τοῦ Θεοῦ· « Οὐκ οἴδατε, γάρ φησιν, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ὑμῖν οἰκεῖ ; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει φθερεῖ τοῦτον ὁ Θεός. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. » Εἰ κτίσμα δὲ ἦν τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἄν τις ἐν αὐτῷ μετουσία τοῦ Θεοῦ γένοιτο ἡμῖν (7)· ἀλλ' ἦ ἄρα κτίσματι μὲν συνηπτόμεθα, ἀλλότριοι δὲ τῆς θείας φύσεως ἐγινόμεθα, ὡς κατὰ μηδὲν αὐτῆς (8) μετέχοντες. Νῦν δὲ, ὅτε λεγόμεθα μέτοχοι Χριστοῦ καὶ μέτοχοι Θεοῦ, δείκνυται τὸ ἐν ἡμῖν χρίσμα καὶ ἡ σφραγὶς μὴ οὖσα τῆς τῶν γενητῶν φύσεως, ἀλλὰ τῆς (9) τοῦ Υἱοῦ, διὰ τοῦ ἐν αὐτῷ Πνεύματος συνάπτοντος ἡμᾶς τῷ Πατρί. Τοῦτο γὰρ ὁ Ἰωάννης, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, διδάσκων ἔγραψεν· « Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν τῷ Θεῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ αὐτὸς ἔδωκεν ἡμῖν. » Εἰ δὲ τῇ τοῦ Πνεύματος μετουσίᾳ γινόμεθα κοινωνοὶ θείας φύσεως, μαίνοιτ' ἄν τις λέγων τὸ Πνεῦμα τῆς κτιστῆς φύσεως, καὶ μὴ

24. Omnes similiter per Spiritum Dei participes dicimur. « Nescitis, inquit, quia templum Dei estis, et Spiritus Dei habitat in vobis? Si quis templum Dei violaverit, disperdet illum Deus. Templum enim Dei sanctum est, quod estis vos [51]. » Sed si Spiritus sanctus res creata esset, nulla sane Dei communicatio nobis in ipso esset ; sed rei creatæ conjungeremur, et divinæ naturæ alieni essemus, utpote nulla in parte ejus facti participes. Nunc vero cum Christi et Dei participes dicamur, utique constat unguentum et sigC illum, quod in nobis est, non ad rerum factarum, sed ad Filii naturam pertinere, qui nos per Spiritum, qui in ipso est, Patri conjungit. Idipsum nos Joannes, uti supra dictum est, his verbis docet : « In hoc cognoscimus quia in Deo manemus, et ipse in nobis; quoniam de Spiritu suo dedit nobis [52]. » Si porro Spiritus communicatione divinæ naturæ consortes efficimur, nemo certe nisi insanus dixerit Spiritum non Dei, sed creatæ esse naturæ. Nec enim alia de causa hi in quibus ille est, dii efficiuntur. Quod si

[47] Ephes. I, 13. [48] II Cor. II, 15. [49] Galat. IV, 19. [50] II Petr. I, 4. [51] I Cor. III, 16, 17. [52] Joan. IV, 13.

Felckm. primus. Cæteri et editi, Εἰ δὲ τὰ μὲν κτίσματα, etc. Paulo post Regius primus Seg. Gobl. et Felckm. primus, Ottobon. Εἰ δὲ τὸ Πνεῦμα χρίσμα καί, etc. Alii et editi, Τὸ δὲ Πνεῦμα καὶ χρίσμα καί, etc. Regius 2 tamen et Anglicanus, καί ante χρίσμα omittunt. Mox Regius primus Seg. πάντα ὁ Λόγος. Editi et alii, ὁ Λόγος τὰ πάντα.

(4) Regius 2, Felckm. 2 et editi, αὐτός. Mox Regius primus, Seg.. ἡ σφραγίς, etc., ut hic exstat. In aliis ἡ ante σφραγὶς et ἐκ post χρίσμα deest ; præterea Regius 2 et Felckm. 2, Ottobon. et editio Commeliniana omittunt, οὐδὲ τὸ χρίσμα ἐκ τῶν χριομένων.

(5) Felckm. 2 vocem μορφὴν omittit, et pro ἔχει habet ἐστί.

(6) Regius, 2, ὥδινον. Ibid. Regius primus, Seg. Basil., μέχρις οὗ.

(7) Regius primus, Seg. Gobl. et Felckm. 1, μετουσία τοῦ Υἱοῦ ἐλίνετο ἐν ὑμῖν. Gobl. et Felckm. primus, ἡμῖν. Mox μέν seq. deest in Seg. Ibidem Anglicanus, ἀλλ' ἦ ἄρα, etc. Alii et editi ἀλλ' εἰ ἄρα. D

(8) Regius, primus Seg., αὐτοῦ Mox Regius, primus, Seg. Basil. Gobl. et Felckm. primus, ὅτε. Cæteri et editi ὁπότε.

(9) Sic Regius primus, Seg. Bas. Anglican. Alii et editi articul. τῆς omittunt. Ibid. Regius primus, Seg. Basil., pro ἐν αὐτῷ, habent ἐν αὐτῇ. Item Regius primus, Seg. vocem Πνεύματος abjiciunt. Mox iidem et Regius 2, Basil· Anglicanus, ἡμᾶς τῷ Πατρί. Ottobon., τῷ Πνεύματι. Alii et editi, ἡμᾶς Πατρί. Iidem, Anglican. excepto, articul. ὁ ante Ἰωάννης habent. Regius primus, Seg. εἴρηται omittunt, et habent : ἔγραφε. Gobl. et Felckm. primus sic habent : Ἰωάννης γράφει· Ἐντούτῳ, etc. Paulo post Reg. 1 et 2, Seg. Basil. Gobl. et Felckm. 1, αὐτὸς ἐν ἡμῖν. Editi et alii. ὁ Θεὸς ἐν ἡμῖν.

deos efficit, dubium non est, quin ejus natura Dei sit. Quod item centesimo tertio psalmo habetur, clarius adhuc argumentum ad hancce hæresim evertendam nobis suppeditat, ut jam monuimus : « Auferes spiritum eorum, **538** et deficient, et in pulverem suum revertentur. Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ [53]. » Et Paulus hæc Tito scribit : « Per lavacrum regenerationis et renovationis Spiritus sancti, quem effudit in nos abunde per Jesum Christum [54]. » Si igitur Pater omnia per Verbum in Spiritu creat et renovat : quæ similitudo aut cognatio creantis cum rebus creatis? Vel qui omnino fieri queat ut ille res sit creata in quo omnia creantur? Sane cum impia hac sententia illa cohæret quæ Filii divinitatem impugnat, ita ut qui Spiritum rem creatam esse contenderint, eosdem fateri necesse sit Verbum, per quod omnia creantur, rem quoque creatam esse. Addam Spiritum imaginem Filii et dici et esse. Nam, « Quos præscivit et prædestinavit conformes fieri imaginis Filii sui [55]. » Itaque cum ipsi fateantur Filium rem creatam non esse, nec etiam ejus imago res creata censenda est. Qualis enim fuerit imago, talem necesse est eum esse cujus imago fuerit. Unde quemadmodum jure merito ac convenienter Verbum res creata esse negatur, quia est imago Patris : ita qui Spiritum inter res creatas collocare non dubitaverit, non potest quin Filium cum iisdem annumeret : ac proinde ad ipsum Patrem refertur quidquid impie de hujus imagine senserit dixeritve.

25. Itaque manifestum est Spiritum alium omnino esse a rebus creatis, eumque ostendimus proprium Filii esse, non autem a Deo alienum. Namque quod ad hancce acutam illorum interrogationem spectat : Si Spiritus ex Deo est, quare non ipse quoque Filius dicitur? Hanc, inquam, quæstiunculam audacem et temerariam esse supra jam ostensum est; sed idem nihilominus rursus ostendere non gravabimur. Tametsi enim Spiritus in Scripturis Filius non dicitur, sed Spiritus Dei, tamen in ipso Deo, et ex ipso Deo esse dictus est, uti scripsit Aposto-

A τῆς τοῦ Θεοῦ Διὰ τοῦτο γὰρ καὶ ἐν οἷς γίνεται, οὗτοι θεοποιοῦνται (10)· εἰ δὲ θεοποιεῖ, οὐκ ἀμφίβολον, ὅτι ἡ τούτου φύσις Θεοῦ ἐστι. Καὶ ἔτι δὲ (11) φανερώτερον εἰς ἀναίρεσιν τῆς αἱρέσεως ταύτης ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ ἄδεται, ὡς ἔμπροσθεν εἴπομεν· « Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ὁ δὲ Παῦλος γράφει Τίτῳ (12)· « Διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ. » Εἰ δὲ ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ (13) κινίζει τὰ πάντα, καὶ ἀνακαινίζει· ποία ὁμοιότης ἢ συγγένεια τῷ κτίζοντι πρὸς τὰ κτίσματα ; Ἢ ὅλως πῶς ἂν εἴη, ἐν ᾧ κτίζεται τὰ πάντα, κτίσμα ; Ἀκολουθεῖ γὰρ τῇ τοιαύτῃ δυσφημίᾳ καὶ ἡ εἰς τὸν Υἱὸν βλασφημία (14)· ὥστε τοὺς λέγοντας τὸ Πνεῦμα κτίσμα εἰπεῖν, ὅτι καὶ ὁ Λόγος, δι' οὗ τὰ πάντα κτίζεται, κτίσμα ἐστίν. Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα· « Οὓς » γὰρ « προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ (15). » Οὐκοῦν τοῦ Υἱοῦ καὶ κατ' ἐκείνους B ὁμολογουμένου μὴ εἶναι κτίσματος, οὐκ ἂν εἴη οὐδὲ ἡ τούτου εἰκὼν κτίσμα. Ὁποία γὰρ ἂν εἴη ἡ εἰκών, τοιοῦτον ἀνάγκη καὶ τὸν, οὗ ἐστιν ἡ εἰκών, εἶναι. Ὅθεν εἰκότως καὶ πρεπόντως ὁ Λόγος ὁμολογεῖται μὴ ὢν κτίσμα, εἰκὼν τοῦ Πατρὸς ὑπάρχων· ὁ ἄρα τοῖς κτίσμασι συναριθμῶν τὸ Πνεῦμα (16) πάντως που καὶ τὸν Υἱὸν ἐν τούτοις συναριθμήσει, δυσφημῶν ἐν τούτῳ καὶ τὸν Πατέρα διὰ τὴν εἰς τὴν εἰκόνα τούτου (17) δυσφημίαν.

C 25. Ἄλλο ἄρα τῶν κτισμάτων ἐστὶ τὸ Πνεῦμα, καὶ δίδεικται μᾶλλον ἴδιον εἶναι τοῦ Υἱοῦ, καὶ οὐ ξένον τοῦ Θεοῦ. Καὶ γὰρ κἀκεῖνο τὸ σοφὸν αὐτῶν ἐρώτημα· Εἰ ἐκ τοῦ Θεοῦ ἐστι τὸ Πνεῦμα, διὰ τί μὴ λέγεναι καὶ αὐτὸ Υἱός (18) ; Δέδεικται μὲν ἐν τοῖς ἔμπροσθεν ἤδη προπετὲς καὶ τολμηρὸν, δείκνυται δὲ καὶ νῦν οὐδὲν ἧττον. Εἰ γὰρ καὶ μὴ **Υἱὸς ἀλλαχοῦ** ἐν ταῖς Γραφαῖς, ἀλλὰ Πνεῦμα τοῦ **Θεοῦ** (19), **ἐν αὐτῷ** τῷ Θεῷ καὶ ἐξ αὐτοῦ τοῦ Θεοῦ εἴρηται, ὡς ὁ Ἀπόστολος ἔγραψεν. Εἰ δὲ ὁ Υἱὸς, ἐπειδὴ ἐκ τοῦ Πατρός ἐστιν, ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστιν (20), ἀνάγκη

[53] Psal. CIII, 29, 30. [54] Tit. III, 5. [55] Rom. VIII, 29.

(10) **Ita** Regius, primus, Seg. Basil. Gobl. et **Felckm.** primus. Sic autem Anglicanus habet καὶ ἐν ἀνθρώποις γίνεται, καὶ ἐν οἷς γίνεται, οὗτοι θεοποιοῦνται. Cæteri et editio Commel., καὶ ἐν ἀνθρώποις γίνεται, καὶ δι' αὐτοῦ θεοποιοῦνται.

(11) Δὲ deest in Reg. 2, Felckman. 2 et edit. Commel. Mox Gobl. et Felckm. primus, ἐν τῷ ψαλμῷ ἄδεται· Ἀνατελεῖς, etc.

(12) Regius primus, Seg., ἔγραφε. Gobl. et Felc. primus, καὶ Παῦλος Τίτῳ. Mox Seg. Gobl. et Felc. primus, ἀνακαινίσεως. Paulo post, πλουσίως abest a Gobler. et Felckm. primo.

(13) Regius primus, Seg., ἁγίῳ omittunt.

(14) Sic Regius primus, Seg. Alii et editi ἡ tollunt. Regius secundus, ἡ τοιαύτη δυσφημία καὶ εἰς τὸν Υἱόν.

(15) Sic Regius primus, Seg. Basil. Gobler. et *Felckm. primus.* Cæteri et editio Commelin. ἔγνω.

Paulo post καί ante κατ' ἐκείνους **habent Regius** primus. Seg., **omittunt vero alii et editi.** D

(16) Ὁ post κτίσμασιν **habent Regius 2, Felck** primus et editio Commel.

(17) Regius primus Seg. Basil., τούτου. Alii vero et editi, αὐτοῦ. Mox Regius primus, Seg. Basil. Gobl. et Felckm. primus : Ἄλλο ἄρα τῶν κτισμάτων. Cæteri et editi, Ἄρα οὖν οὐ τῶν κτισμάτων.

(18) Sic Regius primus, Seguer. Alii et editi, αὐτός.

(19) Sic Regius primus, Seg. In aliis et editis τοῦ deest.

(20) Sic Regius primus, Seg. Gobl. Felckm. primus et Basil. At Anglicanus, ἐκ τοῦ Θεοῦ καὶ Πατρός ἐστιν. Ottobon. Ὁ δὲ Υἱος ἐπειδὴ ἐκ τοῦ Θεοῦ ἐστιν. Cæteri et editio Commeliniana. ἐκ τοῦ Θεοῦ ἐστιν.

τὸ Πνεῦμα, ἐκ τοῦ Θεοῦ λεγόμενον, ἴδιον εἶναι κατ' A οὐσίαν τοῦ Υἱοῦ· Ἀμέλει τοῦ Κυρίου ὄντος Υἱοῦ, αὐτὸ τὸ (21) Πνεῦμα εἴρηται Πνεῦμα υἱοθεσίας. Καὶ πάλιν τοῦ Υἱοῦ ὄντος σοφίας καὶ ἀληθείας, γέγραπται τὸ Πνεῦμα εἶναι Πνεῦμα σοφίας καὶ ἀληθείας. Πάλιν τε ὁ μὲν Υἱὸς ἐστι δύναμις Θεοῦ, καὶ Κύριος τῆς δόξης· τὸ δὲ Πνεῦμα λέγεται Πνεῦμα δυνάμεως (22), καὶ Πνεῦμα τῆς δόξης, οὕτως ἐφ' ἑκάστου τῆς Γραφῆς λεγούσης· τοῦ μὲν Παύλου γράφοντος Κορινθίοις· « Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν· » καὶ ἐν ἑτέροις· « Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας· » καὶ αὖθις· « Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν (23), κράζον· Ἀββᾶ, ὁ Πατήρ. » Ὁ δὲ Πέτρος ἔγραφεν· « Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται. » Ὁ δὲ Κύριος εἰρηκε Πνεῦμα τῆς ἀληθείας καὶ Παράκλητον εἶναι τὸ Πνεῦμα· ἐξ οὗ δείκνυται τελείαν εἶναι ἐν τούτῳ τὴν Τριάδα (24). Ἐν τούτῳ γ' οὖν ὁ Λόγος τὴν κτίσιν δοξάζει, θεοποιῶν δὲ καὶ υἱοποιῶν προσάγει τῷ Πατρί. Τὸ δὲ συνάπτον τῷ Λόγῳ τὴν κτίσιν οὐκ ἂν εἴη αὐτὸ τῶν κτισμάτων· καὶ τὸ υἱοποιοῦν δὲ τὴν κτίσιν, οὐκ ἂν εἴη ξένον τοῦ Υἱοῦ· εἰπεῖ ζητεῖν ἕτερον ἀνάγκη Πνεῦμα, ἵνα καὶ τοῦτο ἐν ἐκείνῳ συναφθῇ τῷ Λόγῳ (25). Ἀλλ' ἄτοπον τοῦτο. Οὐκ ἄρα τῶν γενητῶν ἐστι τὸ Πνεῦμα, ἀλλ' ἴδιον τῆς τοῦ Πατρὸς θεότητος, ἐν ᾧ καὶ τὰ γενητὰ ὁ Λόγος θεοποιεῖ. Ἐν ᾧ δὲ θεοποιεῖται ἡ κτίσις, οὐκ ἂν εἴη ἐκτὸς αὐτὸ τῆς τοῦ Πατρὸς θεότητος.

lus [56]. Porro si Filius quia est ex Patre, proprius idcirco ejusdem substantiæ est; necesse est similiter Spiritum qui ex Deo esse dicitur, proprium quoque Filii esse secundum substantiam. Certe quemadmodum Dominus est Filius, ita ipse Spiritus spiritus adoptionis dictus est. Ut item Filius est sapientia et veritas; sic etiam scriptum est Spiritum esse spiritum sapientiæ [57] et veritatis [58]. Filius est etiam virtus Dei [59] et Dominus gloriæ [60]. Similiter Spiritus dicitur Spiritus virtutis et Spiritus gloriæ, de quibus singulis sic loquitur Scriptura, nempe ubi Paulus ad Corinthios scribit: « Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent [61]; » et alibi: « Non enim accepistis spiritum servitutis iterum in timore, sed accepistis Spiritum adoptionis [62]; » et iterum: « Misit Deus Spiritum Filii sui in corda vestra, clamantem: Abba, Pater [63]. » Petrus item scribit: « Si exprobramini in nomine Christi, beati, quoniam gloriæ et virtutis et Dei Spiritus super vos requievit [64]. » Ipse autem Dominus Spiritum veritatis Spiritum et Paracletum esse aperte testatur [65]. Ex quibus patet perfectam in illo esse Trinitatem. **539** In illo itaque Verbum res creatas glorificat, hominesque deos et filios efficiens Patri adducit. Atqui is qui res creatas cum Verbo conjungit, ipse certe res creata esse non potest. Qui item res creatas filios efficit, non potest a Filio alienus esse. Alioquin alium Spiritum quærere necesse esset, ut iste in illo cum Verbo conjungi posset. Verum id perabsurdum est. Quapropter fatendum est non ex rebus factis esse Spiritum, sed divinitatis Patris proprium esse, in quo et ipsum Verbum res factas divinæ naturæ consortes reddit. Atqui is in quo natura creata divinitatis fit particeps, extra Patris divinitatem ipse esse non potest.

B

26. Ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα, καὶ C ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι καὶ ἐκ τούτου (26) πάλιν συνιδεῖν. Ἄτρεπτον καὶ ἀναλλοίωτόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον· « Ἅγιον, γάρ φησι, Πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων. » Καὶ ὁ μὲν Πέτρος φησίν· « Ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου (27) Πνεύματος· » καὶ πάλιν ἐν τῇ Σοφίᾳ· « Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι· » καὶ

26. Cæterum ex his quoque percipere licet Spiritum rebus creatis superiorem aliumque a rebus factis esse. Nempe immutabilis et varietatis expers est Spiritus sanctus: « Spiritus sanctus, inquit, disciplinæ fugiet dolum, et auferet se a cogitationibus quæ sunt sine intellectu [66]. » Et Petrus ait: « In incorruptibilitate quieti et modesti Spiritus [67]. » Et iterum in Sapientia legitur: « Tuus enim incorruptus Spiritus est in omnibus [68]. » Item si « nemo

[56] I Cor. II, 12. [57] Isa. XI, 2. [58] Joan. XV, 26. [59] I Cor. I, 24. [60] I Cor. II, 8. [61] ibid. [62] Rom. VIII, 15. [63] Galat. IV, 6. [64] I Petr. IV, 14. [65] Joan. XIV, 16. [66] Sap. I, 5. [67] I Petr. III, 4. [68] Sap. XII, 1.

(21) Sic Regius primus, Seg. Gobl. et Felckm. primus. Cæteri et editi τό abjiciunt.

(22) In editione Commel. et Felckm. 2, pro δυνάμεως, legitur Θεοῦ.

(23) Regii mss. et Seg., ἡμῶν. Paulo post Regius primus, Seg. Basil. habent ὀνειδίζεσθε ut et in Græco Scripturæ textu legitur. Editi et alii, ὀνειδιζόμεθα. Ibid. post δυνάμεως, Regius primus, Seg. addunt καὶ τὸ τοῦ Θεοῦ, quæ verba ab aliis et editis absunt. Item iidem ibid. habent ὑμᾶς· alii et editi· ἡμᾶς.

(24) Sic Reg. 1 et 2, Seg. Anglic. Basil. Gobl. et Felckm. primus. Editi vero et alii omittunt ἐν τούτῳ. Mox Reg. 2, δοξάζων. Idem et Seg. δέ seq. omittunt. Basil. Anglic. Gobl. et Felckm. primus sic habent: δοξάζει θεοποιῶν· καὶ υἱοποιῶν δέ, etc. Ibid. pro συνάπτον, in Anglic. Reg. 1 et Felckm. 2, Ottobon. legitur συνδοξάζον. Reg. 2, mendose habet συνδοξάζων.

(25) Regius 2, Ottobon., ἐν Χριστῷ συνάψῃ τῷ Θεῷ. Mox ante τῶν γενητῶν, Anglic. Felckm. 2 et editi ἓν addunt: Regius 2 post γενητῶν. Paulo post hæc sequentia desunt in Reg. 2, Felckm. 2 et editis, ἐν ᾧ καὶ τὰ γενητὰ ὁ Λόγος θεοποιεῖ.

(26) Sic Regius primus, Seg. Basiliens, Gobl. et Felckm. primus. Alii vero et editi, ἐκ τούτων. Paulo post iidem mss. Regius primus, Seg. Basil. Gobl. et Felckm. primus, ut et Græcus Scripturæ textus, habent, παιδείας. Alii et editi, σοφίας.

(27) Anglic. Basil. Reg. 2, Felckm. 2, et editi hic addunt καὶ ἡσυχίῳ, quod ab aliis et Seg. ac Scripturæ textu abest; seq. πάλιν deest in Gobl. et Felckm. primo.

cognovit quæ sunt Dei, nisi Spiritus Dei, qui est in ipso [69]; » non est autem apud Deum, ut docet Jacobus, « transmutatio nec vicissitudinis obumbratio [70] : » jure ac merito Spiritus sanctus, qui in Deo est, immutabilis et incorruptus omnisque vicissitudinis expers esse censendus est. At rerum factarum et creatarum natura mutabilis est, utpote quæ sit extra Dei substantiam, et e nihilo exstiterit. Siquidem « omnis homo, inquit, mendax [71]. » Et, « omnes peccaverunt et egent gloria Dei [72]. Angelos vero qui non servaverunt suum principatum, sed dereliquerunt suum domicilium, in judicium magni diei, vinculis æternitatis sub caligine reservavit [73]. » Et apud Job : « Si sanctis angelis suis non fidit, sed contra angelos pravum quid cogitavit [74]; stellæ vero non sunt mundæ in conspectu ejus [75]. » Paulus autem scribit : « Nescitis quoniam angelos judicabimus? quanto magis sæcularia [76]? Quin etiam audivimus diabolum, qui in medio cherubim stabat, et signaculum similitudinis erat, e cœlo quasi fulgur cecidisse [77]. Si porro ea est rerum creatarum natura, et hæc de angelis scripta sunt; si contra Spiritus idem semper et omnis mutationis expers est, qui et Filii immutabilitatis particeps, cum ipso semper immutabilis manet : quænam, amabo, similitudo immutabilis cum mutabilibus? Hinc enim perspicuum est, neque rem creatam esse, neque ad angelorum, utpote qui mutabiles sint, naturam pertinere, sed Verbi imaginem et Patris proprium esse. Præterea Spiritus Domini universum orbem replevit. Ita enim David cecinit : « Quo ibo a Spiritu tuo [78]? » Et in Sapientia scriptum est : « Tuus enim incorruptus Spiritus est in omnibus [79]. » Atqui universæ res factæ in divisis locis exsistunt, verbi gratia, sol, luna et astra, in firmamento, et nubes in aere. In hominibus quoque nationum terminos constituit [80]. Angeli similiter in ministeria mittuntur : « Et venerunt angeli Dei ut assisterent coram Domino, » uti in Job legimus [81]. Et, « somniavit Jacob patriarcha. Et ecce scala innixa in terra, cujus cacumen 5.40 ad cœlum perveniebat : et angeli Dei ascendebant et descendebant per ipsam [82]. » Si igitur Spiritus omnia implet, et in Verbo præsens est in medio omnium; si contra angeli hac in re illi cedunt, atque illic tantum

εἰ « οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ (28), εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ. » οὐκ ἔστι δὲ παρὰ τῷ Θεῷ, ὡς εἶπεν ὁ Ἰάκωβος, « παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· » ἐν τῷ Θεῷ οὖν τὸ Πνεῦμα τὸ ἅγιον, εἰκότως ἂν εἴη ἄτρεπτον καὶ ἀπαράλλακτον καὶ ἄφθαρτον. Ἡ δὲ τῶν γενητῶν καὶ τῶν κτιστῶν φύσις ἐστὶ τρεπτή, ἅτε δὴ ἔξωθεν (29), οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα· « πᾶς » μὲν γὰρ « ἄνθρωπος, » φησί, « ψεύστης. » Καί, « πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Ἄγγέλους δὲ (30) τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. » Ἐν δὲ τῷ Ἰώβ· « Εἰ κατὰ ἁγίων ἀγγέλων (31) αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ· » ὁ δὲ Παῦλος γράφει· « Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; » Ἀλλὰ γὰρ καὶ ἠκούσαμεν, ὅτι ὁ διάβολος (32), ἐν μέσῳ τῶν χερουβὶμ ὢν, καὶ ἀποστράγισμα ὁμοιώσεως γενόμενος, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπή. Εἰ δὲ τὰ μὲν κτίσματα τοιαύτην ἔχει φύσιν (33), καὶ γέγραπται περὶ ἀγγέλων τοιαῦτα· τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καὶ ἀναλλοίωτον, καὶ τῆς τοῦ Υἱοῦ ἀτρεψίας ἐστί, μένον ἀεὶ σὸν αὐτῷ ἄτρεπτον· ποία ὁμοιότης τῷ ἀτρέπτῳ πρὸς τὰ τρεπόμενα; Δῆλον γὰρ ἂν εἴη, ὡς οὔτε κτίσμα ἐστὶν, οὔτε ὅλως τῆς τῶν ἀγγέλων οὐσίας ἐστὶ, διὰ τὸ ἐκείνους εἶναι τρεπτούς· ἀλλ' εἰκὼν τοῦ Λόγου, καὶ τοῦ Πατρὸς ἴδιόν ἐστι. Πάλιν τε τὸ μὲν Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. Οὕτω γὰρ καὶ ὁ Δαβὶδ ψάλλει· « Ἰδοὺ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; » Καὶ πάλιν ἐν τῇ Σοφίᾳ γέγραπται· « Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι. » Τὰ δὲ γενητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσὶν, ἥλιος μὲν, καὶ σελήνη, καὶ ἀστέρες ἐν τῷ στερεώματι, νεφέλαι δὲ ἐν τῷ ἀέρι· καὶ τοῖς ἀνθρώποις ἔστησεν ὅρια ἐθνῶν· οἵ τε ἄγγελοι ἀποστέλλονται εἰς διακονίας· « Καὶ ἦλθον οἱ ἄγγελοι παραστῆναι ἐνώπιον τοῦ Κυρίου, » ὡς ἐν τῷ Ἰώβ γέγραπται· καὶ, « ἐνυπνιάσθη δὲ Ἰακὼβ ὁ πατριάρχης· καὶ, ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. » Εἰ δὲ τὰ μὲν Πνεῦμα πάντα πληροῖ, καὶ ἐν ἑῷ Λόγῳ πάρεστιν ἐν μέσῳ πάντων (34), οἱ δὲ ἄγγελοι ἐλαττοῦνται

[69] I Cor. II, 11. [70] Jac. I, 17. [71] Psal. CXV, 11. [72] Rom. III, 23. [73] Jud. 6. [74] Job IV, 18. [75] Job XXV, 5. [76] I Cor. VI, 3. [77] Ezech. XXVIII, 12. [78] Psal. CXXXVIII, 7. [79] Sap. XII, 1. [80] Act. XVII, 26. [81] Job I, 6. [82] Genes. XXVIII, 12.

(28) Sic Regius primus, Seg. Gobl. et Felckm. primus. Alii vero et editi εἰ omittunt. Paulo post pro τροπῆς, Seg. habet τροπικῆς, Ottobon., πρωτοτροπῆς. Mox Regius primus, Seg. post ἐν τῷ Θεῷ omittunt τοίνυν quod in aliis et editis legitur.

(29) Felckm. 2 et edit. Commel. mendose, οὐδὲ δὴ ἔξωθεν.

(30) Sic Regius primus, Seg. Gobl. et Felckm. Alii vero et editi, ἀγγέλους τε. Mox pro ἑαυτῶν, Felckm. 2, et editi habent ἰδίαν.

(31) Regius 2, ἀγγέλων omittit. Basil. post πιστεύει habet. Felckm. 2 et editio Commel. sic habet : εἰ κατὰ ἁγίων αὐτοῦ οὐ πιστεύει, ἄστρα δέ, etc., intermediis omissis.

(32) Sic Regius primus, Seg. et Basil. At Gobl. et Felckm. primus, ἀλλὰ καὶ ὁ διάβολος Anglicanus et Regius 2, Ἀλλὰ γὰρ καὶ ὁ διάβολος. Alii et editi, Ἀλλὰ γὰρ ὁ διάβολος. Paulo post iidem, Regius primus, Seg. et Basil. habent ἐκ τοῦ οὐρανοῦ. Cæteri et editi, ἐκ τῶν οὐρανῶν.

(33) Regius primus et Seg., τρεπτὴν ἔχει τὴν φύσιν. Mox iidem et Basil. ac Anglicanus, τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καί, etc. Gobl et Felckm. primus, anonymus, τὸ δὲ Πνεῦμα τὸ ἅγιον αὐτό ἐστι καί, etc. Alii et editi, τὸ δὲ Πνεῦμα ἓν ἐστι καί, etc.

(34) Sic Regius primus, Seg. Basil. Goblerian. et Felckm. primus. Cæteri et editi, ἐστίν. Mox iidem mss. habent ἐλαττοῦνται τούτῳ. Cæteri et editi, ἐλάττους ὄντες ἐν τόπῳ εἰσί. Iidem item manuscripti codices particulam οὖν, quam alii et editi habent

τούτῳ, καὶ ἔνθα ἀποστέλλονται, ἐκεῖ πάρεισιν · οὐκ ἀμφίβολον οὖν, ὅτι οὔτε τῶν γενητῶν, οὔτε ὅλως ἄγγελός ἐστιν, ὡς ὑμεῖς λέγετε, τὸ Πνεῦμα, ἀλλ' ἄνω τῆς τῶν ἀγγέλων φύσεώς ἐστιν.

2. Nihil igitur nisi mortale et corruptum est in hac Arianorum sententia. At veritatis sermo, quem utique illos meditari decebat, hujusmodi est: Si fons, si lux, si Pater est Deus, nefas certe dictu est, vel fontem aridum, vel lucem sine splendore, vel Deum sine Verbo sive ratione esse; ne videlicet sapientiæ, rationis et splendoris expers credatur Deus. Itaque quia æternus est Pater, necesse est Filium esse quoque æternum. Quæcunque enim in Patre esse intellexerimus, non est dubitandum quin hæc eadem sint in Filio, cum ipse Dominus dicat: « Omnia quæcunque habet Pater, mea sunt [14], » et mea omnia Patris sunt. Itaque æternus est Pater: æternus item est Filius; siquidem per illum facta sunt sæcula [15]. Vere est Pater: vere quoque necessario est Filius, « qui est super omnia Deus benedictus in sæcula, Amen, » ut ait Paulus [16]. Non licet de Patre dicere, Fuit aliquando cum non esset: nefas similiter est de Filio dicere, Fuit aliquando cum non esset. Omnipotens est Pater: omnipotens etiam est Filius, 547 Joanne dicente: « Qui est, qui erat et qui venturus est, omnipo-

[12] Psal. xxiii, 2. [13] I Cor. xv, 32. [14] Joan. xvi, 15. [15] Hebr. i, 2. [16] Rom. ix, 5.

(3) Sic Regius et Seguerian. At alii et editi, διεδέξαντο.

(4) Gobler. et Felckm. 1, λέγειν. Mox hæc verba, ὥσπερ οὐ δυναμένου εἶσαι, absunt ab Anglican. et Ottob. D

(5) Regius ἀποθνήσκωμεν. Item ibidem Regius, Seguer. Goblerian. et Felckmanni 1, δηλονότι. Cæteri et editi, δῆλον ἂν εἴη, ὅτι. Mox Regius συμφθαρῇ. Alii editique, συμφθαρήσεται.

(6) Basiliens Felckm. 2 et editio Commel. ἀφεγγὴς omittunt. Ibidem ᾖ abest a Reg. et Seguer.

(7) Hæc verba, καὶ τὰ ἐμα πάντα τοῦ Πατρός ἐστι, quæ habent Reg. Seguerian. Anglican. Gobler. et Felc. 1, ac legit Nannius, desunt in aliis et editis. Paulo post καί abest a Reg et Seguerian.

(8) Hæc verba ὁ Πατήρ· ἀνάγκη καὶ ὁ Υἱὸς, ὁ ὤν, desunt in Regio et Seguer. Ibidem in Regio. Seguerianо, ac editis scribitur, ὧν ἐστι: sed mendum est, ut videtur, scribendumque, ὧν ἐστιν ὁ Πατήρ, ut exigit sensus. Mox Regius Seguerianus, Goblerianus et Felckmanni primus habent, ὡς εἶπεν ὁ Παῦλος. Alii et editi, ὡς εἶπεν ὁ Ἀπόστολος. Ibidem post θέμις Regius, Seguerian. Gobler. et Felckm. primus, οὖν omittunt: at alii et editi, addunt. Mox item Regius. Seguerian. Goblerian. et Felckm. 1, omittunt hæc verba, οὐδὲ ἐπὶ Υἱοῦ, quæ in aliis et editis habentur post, ἐπὶ Πατρός. Quæ sequuntur ibidem, ἀθέμιτον εἰπεῖν ἐπὶ Υἱοῦ, Ἦν ποτε, ὅτε οὐκ ἦν ex ms. Regio restituimus.

(9) Forte ἀνάγκη.

(10) Καί deest in Reg. Seguerian. Goblerian. et Felc. 1. Ibidem Gobleria:us, et Felckmanni primus λέγοντος τοῦ Ἰωάννου, Ὁ ὤν, etc. Alii mss., λέγοντος τοῦ Ἰωάννου, τάδε λέγει, Ὁ ὤν, etc. Editi λέγοντος τοῦ Ἰωάννου· τόδε λέγει, etc.

coguovit quæ sunt Dei, nisi Spiritus Dei, qui est in ipso [69]; » non est autem apud Deum, ut docet Jacobus, « transmutatio nec vicissitudinis obumbratio [70] : » jure ac merito Spiritus sanctus, qui in Deo est, immutabilis et incorruptus omnisque vicissitudinis expers esse censendus est. At rerum factarum et creatarum natura mutabilis est, utpote quæ sit extra Dei substantiam, et e nihilo exstiterit. Siquidem « omnis homo, inquit, mendax [71]. » Et, « omnes peccaverunt et egent gloria Dei [72]. Angelos vero qui non servaverunt suum principatum, sed dereliquerunt suum domicilium, in judicium magni diei, vinculis æternitatis sub caligine reservavit [73]. » Et apud Job : « Si sanctis angelis suis non fidit, sed contra angelos pravum quid cogitavit [74]; stellæ vero non sunt mundæ in conspectu ejus [75]. » Paulus autem scribit : « Nescitis quoniam angelos judicabimus? quanto magis sæcularia [76]? Quin etiam audivimus diabolum, qui in medio cherubim stabat, et signaculum similitudinis erat, e cœlo quasi fulgur cecidisse [77]. Si porro ea est rerum creatarum natura, et hæc de angelis scripta sunt; si contra Spiritus idem semper et omnis mutationis expers est, qui et Filii immutabilitatis particeps, cum ipso semper immutabilis manet : quænam, amabo, similitudo immutabilis cum mutabilibus? Hinc enim perspicuum est, neque rem creatam esse, neque ad angelorum, utpote qui mutabiles sint, naturam pertinere, sed Verbi imaginem et Patris proprium esse. Præterea Spiritus Domini universum orbem replevit. Ita enim David cecinit : « Quo ibo a Spiritu tuo [78]? » Et in Sapientia scriptum est : « Tuus enim incorruptus Spiritus est in omnibus [79]. » Atqui universæ res factæ in divisis locis exsistunt, verbi gratia, sol, luna et astra, in firmamento, et nubes in aere. In hominibus quoque nationum terminos constituit [80]. Angeli similiter in ministeria mittuntur : « Et venerunt angeli Dei ut assisterent coram Domino, » uti in Job legimus [81]. Et, « somniavit Jacob patriarcha. Et ecce scala innixa in terra, cujus cacumen **5 40** ad cœlum perveniebat : et angeli Dei ascendebant et descendebant per ipsam [82]. » Si igitur Spiritus omnia implet, et in Verbo præsens est in medio omnium; si contra angeli hac in re illi cedunt, atque illic tantum

A εἰ « οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ (28), εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ· » οὐκ ἔστι δὲ παρὰ τῷ Θεῷ, ὡς εἶπεν ὁ Ἰάκωβος, « παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· » ἐν τῷ Θεῷ ὂν τὸ Πνεῦμα τὸ ἅγιον, εἰκότως ἂν εἴη ἄτρεπτον καὶ ἀπαράλλακτον καὶ ἄφθαρτον. Ἡ δὲ τῶν γενητῶν καὶ τῶν κτιστῶν φύσις ἐστὶ τρεπτή, ἅτε δὴ ἔξωθεν (29) οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα· « πᾶς » μὲν γὰρ « ἄνθρωπος, » φησί, « ψεύστης. » Καί, « πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Ἀγγέλους δὲ (30) τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. » Ἐν δὲ τῷ Ἰώβ· « Εἰ κατὰ ἁγίων ἀγγέλων (31) αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ· » ὁ δὲ Παῦλος γράφει· « Οὐκ
B οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; » Ἀλλὰ γὰρ καὶ ἠκούσαμεν, ὅτι ὁ διάβολος (32), ἐν μέσῳ τῶν χερουβὶμ ὤν, καὶ ἀποσφράγισμα ὁμοιώσεως γενόμενος, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπή. Εἰ δὲ τὰ μὲν κτίσματα τοιαύτην ἔχει φύσιν (33), καὶ γέγραπται περὶ ἀγγέλων τοιαῦτα· τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καὶ ἀναλλοίωτον, καὶ τῆς τοῦ Υἱοῦ ἀτρεψίας ἐστί, μένον ἀεὶ σὺν αὐτῷ ἄτρεπτον· ποία ὁμοιότης τῷ ἀτρέπτῳ πρὸς τὰ τρεπόμενα; Δῆλον γὰρ ἂν εἴη, ὡς οὔτε κτίσμα ἐστὶν, οὔτε ὅλως τῆς τῶν ἀγγέλων οὐσίας ἐστί, διὰ τὸ ἐκείνους εἶναι τρεπτούς· ἀλλ' εἰκὼν τοῦ Λόγου, καὶ τοῦ Πατρὸς ἴδιόν ἐστι. Πάλιν τε τὸ μὲν Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. Οὕτω γὰρ καὶ ὁ Δαβὶδ ψάλλει· « Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; » Καὶ πάλιν ἐν τῇ
C Σοφίᾳ γέγραπται· « Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι. » Τὰ δὲ γενητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσὶν, ἥλιος μὲν, καὶ σελήνη, καὶ ἀστέρες ἐν τῷ στερεώματι, νεφέλαι δὲ ἐν τῷ ἀέρι· καὶ τοῖς ἀνθρώποις ἔστησεν ὅρια ἐθνῶν· οἵ τε ἄγγελοι ἀποστέλλονται εἰς διακονίας· « Καὶ ἦλθον οἱ ἄγγελοι παραστῆναι ἐνώπιον τοῦ Κυρίου, » ὡς ἐν τῷ Ἰὼβ γέγραπται· καὶ, « ἐνυπνιάσθη δὲ Ἰακὼβ ὁ πατριάρχης· καὶ, ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. » Εἰ δὲ τὸ μὲν Πνεῦμα πάντα πληροῖ, καὶ ἐν ἑῷ Λόγῳ πάρεστιν ἐν μέσῳ πάντων (34), οἱ δὲ ἄγγελοι ἐλαττοῦνται

[69] I Cor. II, 11. [70] Jac. I, 17. [71] Psal. CXV, 11. [72] Rom. III, 23. [73] Jud. 6. [74] Job IV, 18. [75] Job XXV, 5. [76] I Cor. VI, 3. [77] Ezech. XXVIII, 12. [78] Psal. CXXXVIII, 7. [79] Sap. XII, 1. [80] Act. XVII, 26. [81] Job I, 6. [82] Genes. XXVIII, 12.

(28) Sic Regius primus, Seg Gobl. et Felckm. primus. Alii vero et editi εἰ omittunt. Paulo post pro τροπῆς, Seg. habet τροπικὸς, Ottobon., προτροπῆς. Mox Regius primus, Seg. post ἐν τῷ Θεῷ omittunt τοίνυν quod in aliis et editis legitur.

(29) Felckm. 2 et edit Commel. mendose, οὐδὲ δὴ ἔξωθεν.

(30) Sic Regius primus, Seg. Gobl. et Felckm. Alii vero et editi, ἀγγέλους τε. Mox pro ἑαυτῶν, Felckm. 2, et editi habent ἰδίαν.

(31) Regius 2, ἀγγέλων omittit. Basil. post πιστεύει habet. Felckm. 2 et editio Commel. sic habet : εἰ κατὰ ἁγίων αὐτοῦ οὐ πιστεύει, ἄστρα δέ, etc., intermediis omissis

(32) Sic Regius primus, Seg. et Basil. At Gobl. et Felckm. primus, ἀλλὰ καὶ ὁ διάβολος Anglicanus et Regius 2, Ἀ λὰ γὰρ καὶ ὁ διάβολος. Alii et editi, Ἀλλὰ γὰρ ὁ διάβολος. Paulo post iidem, Regius primus, Seg. et Basil. habent ἐκ τοῦ οὐρανοῦ. Cæteri et editi, ἐκ τῶν οὐρανῶν.

(33) Regius primus et Seg., τρεπτὴν ἔχει τὴν φύσιν. Mox iidem et Basil. ac Anglicanus, τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καί, etc. Gobl et Felckm. primus, anonymus, τὸ δὲ Πνεῦμα τὸ ἅγιον αὐτό ἐστι καί, etc. Alii et editi, τὸ δὲ Πνεῦμα ἓν ἐστι καί, etc.

(34) Sic Regius primus, Seg. Basil. Goblerian. et Felckm. primus. Cæteri et editi, ἐστίν. Mox iidem mss. habent ἐλαττοῦνται τούτῳ. Cæteri et editi, ἐλάττους ὄντες ἐν τόπῳ εἰσί. Iidem item manuscripti codices particulam οὖν, quam alii et editi habent

τούτῳ, καὶ ἔνθα ἀποστέλλονται, ἐκεῖ πάρεισιν · οὐκ ἀμφίβολον οὖν, ὅτι οὔτε τῶν γενητῶν, οὔτε ὅλως ἄγγελός ἐστιν, ὡς ὑμεῖς λέγετε, τὸ Πνεῦμα, ἀλλ' ἄνω τῆς τῶν ἀγγέλων φύσεώς ἐστιν.

27. Πάλιν γὰρ καὶ ἐκ τούτων ἄν τις ἴδοι τὸ Πνεῦμα τὸ ἅγιον, ὡς μεθεκτόν ἐστι καὶ οὐ μετέχον (τὰ αὐτὰ γὰρ λέγειν οὐκ ὀκνητέον). « Ἀδύνατον γάρ, » φησὶ (35), « τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους Πνεύματος ἁγίου γενομένους (36), καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, » καὶ τὰ ἑξῆς. Οἱ δὲ ἄγγελοι, καὶ τὰ ἄλλα κτίσματα μετέχοντά ἐστιν αὐτοῦ τοῦ Πνεύματος· διὰ τοῦτο γὰρ ταῦτα μὲν καὶ ἐκπίπτειν οὗ μετέσχον δύναται (37)· τὸ δὲ Πνεῦμα ἀεὶ τὸ αὐτό ἐστιν· οὐ γὰρ (38) τῶν μετεχόντων ἐστὶν, ἀλλ' αὐτοῦ τὰ πάντα μετέχει. Εἰ δὲ τοῦτο μὲν ἀεὶ τὸ αὐτό ἐστι καὶ μεθεκτὸν, τὰ δὲ κτίσματα μετέχοντά ἐστιν αὐτοῦ· οὐκ ἂν εἴη τὸ Πνεῦμα τὸ ἅγιον οὔτε ἄγγελος, οὔτε ὅλως κτίσμα, ἀλλ' ἴδιον τοὺ Λόγου, παρ' οὗ διδόμενον μετέχεται παρὰ τῶν κτισμάτων· ἐπεὶ ὥρα λέγειν αὐτοὺς καὶ τὸν Υἱὸν κτίσμα, οὗ πάντες ἐν τῷ Πνεύματι μέτοχοι γεγόναμεν. Καὶ πάλιν ἕν ἐστι τὸ Πνεύμα τὸ ἅγιον· τὰ δὲ κτίσματα πολλά. Ἄγγελοι μὲν γὰρ χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες· φωστῆρες δὲ πολλοί, καὶ θρόνοι (39), καὶ κυριότητες, καὶ οὐρανοί, καὶ χερουβὶμ, καὶ σεραφὶμ, καὶ ἀρχάγγελοι πολλοί· καὶ ἁπλῶς οὐκ ἔστι τὰ κτίσματα ἓν, ἀλλὰ πάντα πολλὰ καὶ διάφορα. Εἰ δὲ τὸ μὲν Πνεῦμα τὸ ἅγιον ἕν ἐστι, τὰ δὲ κτίσματα πολλὰ, καὶ ἄγγελοι πολλοί· ποία ὁμοιότης τῷ Πνεύματι πρὸς τὰ γενητά ; Καὶ οὐκ ἄδηλον, ὅτι οὐκ ἔστι τῶν πολλῶν τὸ Πνεῦμα, ἀλλ' οὐδὲ ἄγγελος, ἀλλ' ἓν ὂν (40), μᾶλλον δὲ τοῦ Λόγου ἑνὸς ὄντος ἴδιον, καὶ τοῦ Θεοῦ ἑνὸς ὄντος ἴδιον καὶ ὁμοούσιόν ἐστι. Ταῦτα μὲν οὖν καὶ μόνα καθ' ἑαυτὰ λεγόμενα περὶ τοῦ ἁγίου Πνεύματος δείκνυσιν αὐτὸ μηδὲν κοινὸν μηδὲ ἴδιον ἔχειν τι τῇ φύσει καὶ **τῇ οὐσίᾳ πρὸς τὰ κτίσματα, ἀλλ' ἄλλο μὲν εἶναι τῶν** γενητῶν, ἴδιον δὲ καὶ οὐ ξένον τῆς τοῦ Υἱοῦ οὐσίας καὶ θεότητος, δι' ἣν καὶ τῆς ἁγίας Τριάδος ὂν, καταισχύνει τὴν ἐκείνων ἀναισθησίαν.

A adsunt quo mittuntur : dubium utique non est, quin Spiritus nec res facta nec angelus sit, uti contendere audetis, sed angelorum natura superior certe censendus est.

27. Enimvero rursus ex his quæ subjicimus Scripturæ verbis evidens fuerit Spiritum sanctum alios sui participes facere, non vero participem aliorum fieri (nam eadem repetere ne sit molestum). Nempe, « Impossibile est enim eos qui semel sunt illuminati, gustaverunt etiam donum cœleste et participes facti sunt Spiritus sancti, gustaveruntque bonum Dei verbum[83], » et cætera. At angeli et cæteræ res creatæ ipsius Spiritus fiunt participes. Hæc enim ipsa est ratio cur ab eo cujus sunt participes possint excidere. Spiritus vero idem profecto semper est, quippe qui non ex illis rebus sit quæ participes redduntur, sed potius cujus res omnes fiant participes. Jam vero si Spiritus idem semper est, aliosque sui participes facit : si contra res creatæ ejus fiunt participes, sane Spiritus sanctus, neque angelus, neque alia res creata, sed proprius Verbi esse existimandus est, cujus ab ipso Verbo dati res creatæ fiunt participes. Cæteroquin Filium quoque rem creatam dicere iisdem necesse esset, cujus nempe omnes in Spiritu participes facti sumus. Insuper, unus est Spiritus sanctus, multæ autem sunt res creatæ. Nam millia millium decies dena milia sunt angelorum : multa pariter sunt luminaria, multi throni, multæ dominationes, multi cœli, multi cherubim, seraphim et archangeli ac denique res creatæ non sunt quid unum, sed omnes multæ et diversæ sunt. Quod si igitur Spiritus sanctus unus est, si contra res creatæ multæ, et multi sunt angeli ; quænam similitudo Spiritus cum rebus factis? Constat proinde Spiritum non esse ex multis, neque etiam angelum, sed unum esse, **vel potius Verbi quod** unum est, Dei qui item unus est proprium et consubstantialem esse. Hæc certe vel sola, quæ de Spiritu sancto dicimus, si seorsim etiam considerentur, palam faciunt nihil illum commune aut proprium natura et substantia cum rebus creatis habere : sed vere alium eum esse a rebus factis, propriumque nec alienum Filii substantiæ et divinitatis esse, propter quam cum sit sanctæ Trinitatis, illos vel invitos pudore suffundit.

28 Ἴδωμεν δὲ ὅμως καὶ πρὸς τούτοις (41) καὶ αὐτὴν τὴν ἐξ ἀρχῆς παράδοσιν καὶ διδασκαλίαν καὶ πίστιν τῆς καθολικῆς Ἐκκλησίας, ἣν ὁ μὲν Κύριος ἔδωκεν, οἱ δὲ ἀπόστολοι ἐκήρυξαν, καὶ οἱ πατέρες

28. Verumtamen haud abs re fuerit veterem insuper traditionem, doctrinamque ac fidem catholicæ Ecclesiæ investigare, quam scilicet Dominus tradidit, apostoli prædicavere, et patres servavere. In ea

[83] Hebr. VI, 4.

post ἀμφίβολον omittunt : iidemque post οὔτε sequens addunt ὅλως, quæ vox ab aliis et editis abest.

(35) Sic Regius primus et Seg. In Gobl. et Felck. primo deest particula γάρ. Alii et editi pro φησί, habent ἐστί. Regius 2 et ἐστί et φησί omittit.

(36) Sic omnes manuscripti codices præter Regium 2 et Felckm. 2, qui habent γενηθέντας. Mox Reg. 1 et 2, Seg. Gobl. et Felck. primus habent Οἱ δὲ ἄγγελοι. Alii vero et editi, εἰ δὲ οἱ ἄγγελοι.

(37) Sic omnes manuscripti, quorum tamen tres, nempe Regius 2, Seg. et Felckm. 2 anonymus, οὐ sic mendose scribunt. Editi sic habent ταῦτα μὲν ἐκπίπτειν μετέχοντα δύναται. Regius quoque secundus μετέχοντα habet.

(38) Sic Regius primus, Seg. Anglican. Gobl. et Felckm. primus, quæ etiam vertit Nannius. Alii et editio Commel omittunt οὐ γάρ, etc., usque ad τὸ αὐτό ἐστι.

(39) Particul. καί hic et in sequent. deest in Gobler. et Felckm. primo, anonymo, ἁπλῶς ibid. abest a Regio 2 et Felck. 2, anonymo.

(40) Sic Regius, Seg. Bas. Gobl. et Felckm. primus. Iidem mox et Anglicanus habent ut hic extat, Alii et editi ὂν omittunt, et, τοῦ Θεοῦ ἑνὸς ὄντος ἴδιον καί.

(41) Καὶ πρὸς τούτοις desunt in Regio secundo, καί in Regio primo et Seg.

enim Ecclesia fundata est, a qua si quis exciderit, is nec esse nec amplius dici Christianus ulla ratione poterit. Itaque Trinitas sancta et perfecta est, quæ in Patre et Filio et Spiritu sancto agnoscitur, nihilque alienum vel extrinsecus admistum habet, neque ex creatore et re creata constat, sed tota **sui** creandi efficiendi vi prædita est : sibi quoque similis et individua est natura, unaque ejus est efficacia et actio. Nam Pater per Verbum in Spiritu sancto omnia facit, eoque modo sanctæ Trinitatis unitas servatur. Ita unus Deus in Ecclesia prædicatur, qui est « super omnia, et per omnia, et in omnibus [84]. » « Super omnia » quidem ut Pater, ut principium et fons : « per omnia » vero, nempe per Verbum : « in omnibus » denique, in Spiritu sancto. Porro Trinitas non nomine tenus et sola verborum specie est Trinitas, sed vere et reipsa exsistit Trinitas. Nam sicuti vere est Pater, ita et vere est ejus Verbum quod et ipsum super omnia est Deus. Nec item Spiritus sanctus non exsistit, sed utique vere est et existit. Nec his minus aliquid sentit catholica Ecclesia, ne hodiernos Judæos Caiphæ haud absimiles et Sabellium sequatur, nec his item plus aliquid comminiscitur, ne in multitudinem deorum gentilium devolvatur. Sed ut hanc esse fidem Ecclesiæ intelligant, eos discere operæ pretium est, quonam modo Dominus mittens apostolos, iisdem præceperit ut istud fundamentum in Ecclesia jacerent : « Euntes, inquit, docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [85]. » Profecti vero apostoli, ita sine dubio docuerunt, atque hæc ipsa prædicatio in universam Ecclesiam quæ sub cælo est, permanavit.

29. Cum igitur istud fidei fundamentum habeat Ecclesia, nobis iterum illi respondere ne graventur : Trinitasne est, an dualitas? Si **dualitas est : per me** licet, Spiritus rebus creatis adjungite. At si ita est, fides vestra jam non est in Deum unum, qui sit « super omnia, per omnia et in omnibus. » Nec enim « in omnibus » habebitis, si Spiritum a divinitate separetis et ab ea alienum faciatis. Vestra item initiatio, quam peragere arbitramini, si ita sentitis, non tota et integra fiet in divinitatis nomen : quippe cum rem creatam ipsi admisceatis, et veluti Ariani

A ἐφύλαξαν. Ἐν ταύτῃ γὰρ ἡ Ἐκκλησία τεθεμελίωται, καὶ ὁ ταύτης ἐκπίπτων οὔτ' ἂν εἴη, οὔτ' (42) ἂν ἔτι λέγοιτο Χριστιανός. Τριὰς τοίνυν ἁγία καὶ τελεία ἐστὶν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεολογουμένη, οὐδὲν ἀλλότριον ἢ ἔξωθεν ἐπιμιγνύμενον (43) ἔχουσα, οὐδὲ ἐκ δημιουργοῦ καὶ γενητοῦ συνισταμένη, ἀλλ' ὅλη τοῦ κτίζειν καὶ δημιουργεῖν οὖσα· ὁμοία δὲ ἑαυτῇ καὶ ἀδιαίρετός ἐστι τῇ φύσει, καὶ μία ταύτης ἡ ἐνέργεια. Ὁ γὰρ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ τὰ πάντα ποιεῖ· καὶ οὕτως ἡ ἑνότης τῆς ἁγίας Τριάδος σώζεται· καὶ οὕτως εἷς Θεὸς ἐν τῇ Ἐκκλησίᾳ κηρύττεται, « ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. » « Ἐπὶ πάντων » μὲν ὡς Πατήρ, ὡς ἀρχὴ, καὶ πηγή· « διὰ πάντων » δὲ διὰ τοῦ Λόγου· « ἐν πᾶσι » δὲ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Τριὰς δέ ἐστιν

B οὐχ ἕως ὀνόματος μόνον (44) καὶ φαντασίας λέξεως ἀλλὰ ἀληθείᾳ καὶ ὑπάρξει Τριάς. Ὥσπερ γὰρ ὁ ὢν ἐστιν ὁ Πατὴρ, οὕτως ὁ ὢν ἐστι (45) καὶ ἐπὶ πάντων Θεὸς ὁ τούτου Λόγος. Καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀνύπαρκτόν ἐστιν, ἀλλ' ὑπάρχει καὶ ὑφέστηκεν ἀληθῶς. Καὶ (46) οὔτε ἔλαττον τούτων φρονεῖ ἡ καθολικὴ Ἐκκλησία, ἵνα μὴ εἰς τοὺς νῦν κατὰ Καϊάφαν Ἰουδαίους καὶ εἰς Σαβέλλιον ἐμπέσῃ (47)· οὔτε πλεῖον ἐπινοεῖ, ἵνα μὴ εἰς τὴν Ἑλλήνων πολυθεότητα κυλισθῇ. Καὶ ὅτι αὕτη ἡ πίστις τῆς Ἐκκλησίας ἐστὶ, μαθέτωσαν πῶς ὁ μὲν Κύριος ἀποστέλλων τοὺς ἀποστόλους παρήγγειλε τοῦτον θεμέλιον τιθέναι τῇ Ἐκ-

C κλησίᾳ λέγων· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ (48) ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Οἱ δὲ ἀπόστολοι, πορευθέντες, οὕτως ἐδίδαξαν· καὶ τοῦτό ἐστιν εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν Ἐκκλησίαν τὸ κήρυγμα.

29. Οὐκοῦν τοῦτον ἐχούσης τῆς Ἐκκλησίας τὸν θεμέλιον τῆς πίστεως, εἰπάτωσαν πάλιν ἡμῖν ἐκεῖνοι καὶ ἀποκρινάσθωσαν· Τριάς ἐστιν, ἢ δυάς ; Εἰ μὲν οὖν δυάς ἐστι, συναριθμείσθω παρ' ὑμῶν (49) τοῖς κτίσμασι τὸ Πνεῦμα. Οὐκ ἔστι μὲν τὸ **τοιοῦτον ὑμῶν** φρόνημα εἰς ἕνα Θεὸν, τὸν « ἐπὶ πάντων, » καὶ « διὰ πάντων, » καὶ « ἐν πᾶσι. » Τὸ γὰρ, « ἐν πᾶσιν, » οὐκ ἔχετε, διαιροῦντες καὶ ἀποξενοῦντες (50) ἀπὸ τῆς Θεότητος τὸ Πνεῦμα· καὶ ἡ τελείωσις δὲ ὑμῶν, ἣν νομίζετε ποιεῖν, οὕτω φρονοῦντες, οὐκ ἔστιν ὁλόκληρος εἰς Θεότητα γινομένη. Ἐπιμίγνυται γὰρ τού-

[84] Ephes. IV, 6. [85] Matth. XXVIII, 19.

(42) Sic Regius primus et Seg. Cæteri et editi ἔτι omittunt.

(43) Regius secundus et Ottobon., ἐπισυνηγμένον.

(44) Sic Reg. 1 et 2, Seg. Basil. Gobl. et Felck. primus, Basil. tamen et Seg. habent μόνου. Alii et editi habent et μόνου et φαντασίᾳ.

(45) Sic Regius primus et Seg. qui ibid. ὁ ante ὢν omittunt. Ab aliis et editis καὶ abest.

(46) Sic Regius primus, Seg. Basil. Gobl. et Felckm. primus. Alii cum editis καὶ omittunt. Ibid. Reg. 1 et 2. Seg. Gobl. et Felckm. 1 habent τούτων. Ottobonus, τοῦτο. Alii vero et editi habent τι.

(47) Sic Regius primus, Seg. Basil. Goblerian. et D Felckm. primus, qui iidem infra **habent** κυλισθῇ. Editi et alii, περιπέσῃ, et infra, κατακυλισθαιῇ. Ibid. Regius primus et Seg. πλέον **habent : alii et editi,** πλεῖον. Regius secundus pro πολυθεότητα, **habet** πολυθείαν.

(48) Articulos τό et τοῦ ter **sequentes omittunt** Regius et Seg.

(49) Basil., παρ' ὑμῖν. **Mox idem et Regius** primus, Seg. Gobl. et Felckm. primus **habent** τὸ τοιοῦτον ὑμῶν, etc. Alii autem et editi, τοι οὕτω τὸ ὑμῶν, etc. Regius 2, ὑμέτερον pro ὑμῶν.

(50) Sic Regius primus. Seg. Basil. Goblerian. et Felckm. primus. At alii et editi, ἀποξενίζοντες. Paulo post iidem ὁλόκληρος **habent : alii et editi,** ὁλοκλήρως.

τῃ (51) κτίσμα· καὶ θεολογεῖτε καὶ ὑμεῖς, ὡς οἱ Ἀρειανοὶ καὶ Ἕλληνες, νὴν κτίριν μετὰ τοῦ κτίσαντος αὐτὴν Θεοῦ διὰ τοῦ ἰδίου Λόγου. Οὕτω δὲ διακείμενοι, ποίας ἐλπίδος ἐστέ; Ἢ τίς ὑμᾶς συνάψει τῷ Θεῷ (52), μὴ ἔχοντας τὸ Πνεῦμα αὐτοῦ τοῦ Θεοῦ, ἀλλὰ τὸ τῆς κτίσεως; Ποία δὲ ὑμῶν τόλμα καὶ ἀπροσεξία, ὅτι τὸν Πατέρα καὶ τὸν τούτου Λόγον εἰς τὰ κτίσματα κατάγετε (53), καὶ πάλιν τὸ κτίσμα συνεξισοῦτε τῷ Θεῷ; Τοῦτο γὰρ ποιεῖτε φανταζόμενοι περὶ τοῦ Πνεύματος ὡς κτίσματος, καὶ συντάσσοντες αὐτὸ εἰς Τριάδα. Τί δὲ καὶ τὸ μανιῶδες ὑμῶν, ὥστε φρονεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ, ὅτι μὴ πάντες ἄγγελοι, ἢ πάντα τὰ κτίσματα, ἀλλ' εἷς ἐκ τούτων συναριθμεῖται τῷ Θεῷ καὶ τῷ Λόγῳ αὐτοῦ; Ἔδει γὰρ καθ' ὑμᾶς, ἅπαξ ἀγγέλου καὶ κτίσματος ὄντος τοῦ Πνεύματος, καὶ συντασσομένου εἰς Τριάδα, μὴ ἕνα, ἀλλὰ καὶ (54) πάντας τοὺς κτισθέντας ἀγγέλους συντάσσεσθαι ταύτῃ· καὶ μηκέτι Τριάδα, ἀλλὰ πληθύν τινα θεότητος ἀναρίθμητον εἶναι· ἵνα καὶ ἡ ἐν τούτῳ πάλιν δοκοῦσα τελείωσις ὑμῶν γίνεσθαι, διαιρουμένη ὧδε κἀκεῖσε, ἀσέβαιος τῇ ποικιλίᾳ γένηται. Τοιαῦτα λὰρ τὰ τέλη ὑμῶν τε (55) καὶ τῶν Ἀρειανῶν λογιζομένων κατὰ τῆς θεότητος, καὶ τῇ κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν.

30. Τοιαῦτα μὲν οὖν ὑμῖν (56) ἄτοπα ἐκ τοῦ δυάδα λέγειν ἁπαντᾷ. Εἰ δὲ Τριάς ἐστιν, ὥσπερ οὖν καὶ ἔστι, δέδεικται δὲ ἀδιαίρετος οὖσα καὶ οὐκ ἀνόμοιος· ἀνάγκη μίαν ταύτης εἶναι τὴν ἁγιότητα, καὶ μίαν ταύτης τὴν ἀϊδιότητα, καὶ τὴν τῆς ἀτρεψίας φύσιν. Ὥσπηρ γὰρ ἡ ὡς αὐτὴν (57) παραδεδομένη πίστις μία ἐστὶ, καὶ αὕτη συνάπτει τῷ Θεῷ, ὁ δὲ ὑπεξαιρούμενός τι τῆς Τριάδος, καὶ ἐν μόνῳ τῷ τοῦ Πατρὸς ὀνόματι βαπτιζόμενος, ἢ ἐν μόνῳ τῷ ὀνόματι τοῦ Υἱοῦ, ἢ χωρίς γε τοῦ Πνεύματος ἐν Πατρὶ καὶ Υἱῷ, οὐδὲν (58) λαμβάνει, ἀλλὰ κενος καὶ ἀτελὴς αὐτός τε καὶ ὁ δοκῶν διδόναι διαμένει· ἐν τῇ **Τριάδι** γὰρ ἡ **τελείωσίς ἐστιν**· αὕτως ὁ διαιρῶν τὸν Υἱὸν ἀπὸ τοῦ **Πατρὸς**. ἢ τὸ Πνεῦμα κατάγων εἰς τὰ κτίσματα, οὔτε τὸν Υἱὸν ἔχει οὔτε τὸν Πατέρα, ἀλλ' ἔστιν ἄθεος καὶ ἀπίστου χείρων, καὶ πάντα μᾶλλον ἢ Χριστιανός· καὶ δικαίως γε (59). Καθάπερ γὰρ ἓν ἐστι τὸ βάπτισμα ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι διδόμενον, καὶ μία πίστις ἐστὶν εἰς αὐτὴν, ὡς εἶπεν ὁ Ἀπόστολος.

ac gentiles, rem creatam una cum Deo, qui eam per proprium Verbum creavit, conjungatis. Quæ autem vobis ita sentientibus spes esse possit? Vel quis vos cum Deo conjunget, qui non ipsius Dei, sed rei creatæ spiritum habetis? Quæ tandem vestra est temeritas et inconsiderantia, qui Patrem et ejus Verbum ad res usque creatas deprimitis, rursusque rem creatam Deo exæquatis? Id siquidem agitis, cum de Spiritu non secus ac de re creata cogitatis, et illum nihilominus in Trinitate collocare non veremini. Quis tantus ille vester furor, ut tam iniqua de Deo sentiatis, qui scilicet non omnes res creatas vel omnes angelos, sed unum duntaxat ex illis, Deo ejusque Verbo annumeretis? Postquam enim semel Spiritum rem creatam esse censuistis, eique locum in Trinitate assignastis, non unum certe sed omnes creatos angelos in illa quoque collocare oportuit, nec amplius Trinitatem esse, sed innumerabilem quamdam divinitatis multitudinem: ut et vestra initiatio quæ in ea fieri videtur, huc et illuc distracta, instabilis **542** tanta diversitate redderetur. Namque ejusmodi sunt vestra et Arianorum mysteria, qui tam impia adversus divinitatem comminiscimini, et rebus creatis potius quam Deo omnium creatori servitis.

30. En ergo quæ vobis absurda ex dualitate occurrunt. Quod si Trinitas sit, uti reipsa est, quæ quidem, ut ostendemus, individua nec dissimilis est, necesse est unam ejus esse sanctitatem, unam æternitatem, immutabilemque naturam. Ut enim fides quam ejus nomine accepimus una est, et nos cum Deo conjungit: ut item qui aliquid de Trinitate detrahit, et in solo Patris vel Filii nomine baptizatur, aut sine Spiritu, in Patre et Filio, nihil accipit, sed vacuus nec initiatus ipse et is qui dare videtur, manet; siquidem initiatio nonnisi in Trinitate sita est: ita qui Filium a Patre dividit, vel Spiritum ad res usque creatas deprimit, nec Filium nec Patrem habet, sed est impius et infideli deterior, quidvisque potius quam Christianus merito ac jure putandus est. Quemadmodum enim unum est baptisma quod in Patre et Filio et Spiritu sancto datur: ut una similiter fides est in eamdem Trinitatem, quemadmodum docet Apostolus [86]: ita sancta Trinitas, quæ ea-

[86] Ephes. IV, 5.

(51) Sic Regius primus Seg. Gobl. et Felckm. primus. Alii autem et editi, αὐτῇ.

(52) Sic Regius primus, Seg. Gobl. et Felckm. primus. Editi vero et alii articul. τῷ omittunt, qui et iidem mox habent αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ. At Regius primus, Seg. Gobl. et Felckm. primus habent ut hic exstat.

(53) Sic Regius primus, Seg. Basil. Goblerian. et Felckm. primus. Cæteri vero cum editis, κατηγάγετε. Mox Reg. 2 συνεξισοῦται.

(54) Regius primus, Seg. Gobl. et Felkm. primus, anonymus, particulam καί hic addunt et paulo post ταύτῃ habent: alii vero et editi partic. καί omittunt, et pro ταύτῃ habent τῇ θεότητι.

(55) Sic Regius primus et Seg. Editi vero et alii particul. τε omittunt.

(56) In Seg. Gobl. et Felckm. primo, vox ὑμῖν abest· iidem et Regius primus post τοιαῦτα particulam μέν addunt, quæ ab aliis, et editis abest.

(57) Regius primus, Seg, Gobl. et Felckm. 1 ἡ εἰς ταύτην (Gobl. et Felckm. primus, αὐτήν) παραδιδομένη φύσις. Regius 2 et Ottobon. sic habent, ἡ εἰς αὐτὴν παραδεδομένη, πίστις συνάπτει τῷ **Θεῷ**. Ibid. Regius primus, Seg. Gobl. et Felckm. primus, anonymus. habent ὑπεξαιρούμενος. Alii vero et editi, ὑφαιρούμενος. Mox pro καί Regius 2 ἢ habet.

(58) Gobl. et Felckm. primus οὐδὲν omittunt.

(59) Regius primus, Seg. Gobl. et Felckm. 1, εἰκότως. Paulo post pro διδόμενον, Basil. habet διαδιδόμενον, et Regius, 2 τελειούμενον.

dem in seipsa est, et secum ipsa conjuncta est, nihil in se rerum factarum habet; hæcque Trinitatis unitas individua est, unaque in eadem fides est. Quod si uti vos, Tropici, commenti estis, non ita se res habet, sed, ut somniastis, Spiritus sanctus res creata a vobis dicitur : jam non una est fides vestra, non unum baptisma, sed duo : unum scilicet in Patrem et Filium, aliud in angelum qui res creata est; nihilque jam vobis firmum, nihil verum superfuerit. Quæ enim communio inter rem factam et ejus effectorem? Vel quæ societas inter res inferiores creatas et Verbum a quo productæ sunt? Certe beatus Paulus, qui ista minime ignorabat, non ut vos, Trinitatem dividit, sed ejus unitatem luculenter docet cum de spiritualibus rebus ad Corinthios scribit et omnia ad unum Deum Patrem tanquam ad caput hoc pacto reducit : « Divisiones vero gratiarum sunt, idem autem Spiritus : et divisiones ministrationum sunt, idem autem Dominus : et divisiones operationum sunt, idem vero Deus, qui operatur omnia in omnibus [87]. » Quæ enim Spiritus singulis distribuit, ea a Patre per Verbum dantur. Nam omnia quæ Patris sunt, item Filii : unde ea quæ a Filio in Spiritu dantur, vera sunt Patris munera. Similiter cum Spiritus in nobis est, Verbum, a quo illum accipimus, in nobis etiam est, et in Verbo est quoque Pater, atque ita fit istud : « Veniemus ego et Pater, et mansionem apud eum faciemus [88], » uti jam dictum est. Ubi enim lux est, illic et splendor quoque est : ubi item splendor est, ibi similiter et ejus efficientia et splendida est gratia. Quod idem Paulus in secunda Epistola ad Corinthios his verbis docet : « Gratia Domini nostri Jesu Christi, et charitas Dei, et communicatio sancti Spiritus sit cum omnibus vobis [89]. » Gratia **543** enim et donum quod in Trinitate datur, datur a Patre per Filium in Spiritu sancto. Nam quemadmodum ex Patre per Filium datur gratia, ita in nobis fieri non potest doni communicatio nisi in Spiritu sancto. Hujus siquidem participes effecti, Patris charitatem, Filii gratiam et ipsius Spiritus communicationem habemus.

31. Ex his igitur una Trinitatis efficientia esse ostenditur. Nec enim diversa et divisa dari a singulis significat Apostolus, sed ea quæ dantur, in Tri-

A οὕτως ἡ ἁγία Τριάς, ἡ αὐτὴ οὖσα ἑαυτῇ (60) καὶ ἡνωμένη πρὸς ἑαυτήν, οὐδὲν ἔχει ἐν ἑαυτῇ τῶν γενητῶν· καὶ αὕτη τῆς Τριάδος ἡ ἀδιαίρετος ἑνότης (61), καὶ μία ἡ εἰς ταύτην πίστις ἐστίν. Εἰ δὲ κατὰ τὴν ὑμῶν τῶν Τροπικῶν ἐπεξεύρεσιν οὐχ οὕτως ἐστὶν, ἀγλ' ἐνυπνιάσθητε κτίσμα (62) λέγειν τὸ Πνεῦμα τὸ ἅγιον· οὐκέτι μία πίστις ἐστὶν ὑμῶν, οὐδὲ ἓν βάπτισμα, ἀλλὰ δύο· ἓν μὲν εἰς Πατέρα καὶ Υἱόν· ἕτερον δὲ εἰς ἄγγελον κτίσμα ὄντα· καὶ οὐδὲν λοιπὸν ὑμῶν ἀσφαλὲς οὐδὲ ἀληθές. Ποία γὰρ κοινωνία γενητῷ καὶ δημιουργῷ; Ἢ ποία ἑνότης τοῖς κάτω κτίσμασι καὶ τῷ ταῦτα δημιουργήσαντι Λόγῳ; Τοῦτο εἰδὼς ὁ μακάριος Παῦλος, οὐ διαιρεῖ τὴν Τριάδα, ὥσπερ ὑμεῖς, ἀλλὰ τὴν ἑνότητα ταύτης διδάσκων ἔγραψε Κορινθίοις περὶ τῶν πνευματικῶν, καὶ τὰ πάντα εἰς ἕνα Θεὸν τὸν Πατέρα ἀνακεφαλαιοῖ

B λέγων· « Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος (63)· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. » Ἃ γὰρ τὸ Πνεῦμα ἑκάστῳ διαιρεῖ, ταῦτα παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται. Πάντα γὰρ τὰ τοῦ Πατρὸς, τοῦ Υἱοῦ ἐστι· διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα. Καὶ τοῦ Πνεύματος δὲ ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδοὺς ἐστιν ἐν ἡμῖν (64), καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ, καὶ οὕτως ἐστὶ τὸ, « Ἐλευσόμεθα ἐγὼ καὶ

C ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ (65) τὸ ἀπαύγασμα· καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις. Καὶ τοῦτο πάλιν διδάσκων ὁ Παῦλος ἔλραφεν αὖθις (66) Κορινθίοις καὶ ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ λέγων· « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν. » Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ἐκ τοῦ Πατρὸς ἐστι δι' Υἱοῦ (67) ἡ διδομένη χαρίς, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν.

31. Μία ἄρα καὶ ἐκ τούτων ἡ τῆς Τριάδος ἐνεργεια δείκνυται. Οὐ γὰρ ὡς παρ' ἑκάστου διάφορα καὶ διηρημένα τὰ διδόμενα σημαίνει ὁ Ἀπόστολος· ἀλλ'

[87] I Cor. XII, 4-6. [88] Joan. XIV, 23. [89] II Cor. XIII, 13.

(60) Sic Regius primus, Seg. Gobl. et Felckm. primus. Cæteri vero et editi, ἡ ἁγία Τριὰς ἐν αὐτῇ οὖσα, καί, etc.

(61) Gobl et Felckm. primus, ἕνωσις. Mox Regius primus et Seg., ταύτην. Alii et editi, αὐτήν.

(62) Ex mss. Reg. 1 et 2, necnon Seg. vocem κτίσμα in aliis et editis omissam restituimus.

(63) Reg. 1, Seg, Anglic. Gobl. et Felckm. 1, καὶ ὁ αὐτὸς Κύριος.

(64) Sic Regius primus, Seg. Gobl. et Felckm. primus· Editi autem et alii, Καὶ τοῦ Πνεύματος δὲ ὄντος ἐν ἡμῖν, καὶ ἐν τούτῳ αὐτῷ ἐστιν ὁ Πατήρ, omissis quæ intermedia sunt. Ibid. art. ὁ ante Πατήρ Basil. ms et editi omittunt.

D (65) Sic Reg. et Seg. Editi vero et alii καί omittunt.

(66) Sic Regius, Seg. Gobl. et Felckm. primus. Attamen hi duo ultimi omittunt, πάλιν, αὖθις et καί. Alii et editi, Ἀπόστολος διδάσκων ἔγραψεν. Regius 2, ἔγραφεν. Ibid. Basil. Felckm. 2 et editio Commel. vocem ἡμῶν omittunt. Gobl et Felckm. primus, anonymus, post Θεοῦ addunt. καὶ Πατρὸς, et post Πνεύματος, εἴη.

(67) Sic Regius primus et secundus, Basil. Gobl. et Felc. primus anonymus. Alii autem et editi ἐπὶ δὲ Υἱοῦ.

ὅτι τὰ διδόμενα (68) ἐν Τριάδι δίδοται, καὶ τὰ πάντα ἐξ ἑνὸς Θεοῦ ἐστι. Τὸ τοίνυν μὴ ὂν κτίσμα, ἀλλ' ἡνωμένον τῷ Υἱῷ, ὡς ὁ Υἱὸς ἥνωται τῷ Πατρὶ, τὸ συνδοξαζόμενον Πατρὶ καὶ Υἱῷ, καὶ θεολογούμενον μετὰ τοῦ Λόγου, ἐνεργοῦν τε ἅπερ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ ἐργάζεται, πῶς ὁ λέγων κτίσμα οὐκ ἀντικρυς εἰς αὐτὸν τὸν Υἱὸν ἀσεβεῖ ; Οὐδὲν γάρ ἐστιν ὃ μὴ διὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι γίνεται καὶ ἐνεργεῖται. Τοῦτο καὶ ἐν Ψαλμοῖς ᾄδεται· « Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· » καὶ ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ψαλμῷ· « Ἀποστελεῖ (69) τὸν Λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. » Καὶ ἐδικαιώθημεν δὲ, ὡς εἶπεν ὁ Ἀπόστολος, « ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. » Ἀδιαίρετον γάρ ἐστι τοῦ Λόγου τὸ Πνεῦμα. Ἀμέλει λέγοντος τοῦ Κυρίου (70), « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, » συνεισέρχεται τὸ Πνεῦμα οὐκ ἄλλως ἢ ὡς ὁ Υἱὸς (71) ἐν ἡμῖν οἰκήσων, γράφοντος Ἐφεσίοις τοῦ Παύλου· « Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστόν » Τοῦ δὲ Υἱοῦ ἐν ἡμῖν ὄντος, ἔτι καὶ ὁ Πατὴρ, λέγοντος τοῦ Υἱοῦ· « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. » Διὸ καὶ, γινομένου τοῦ Λόγου ἐν τοῖς προφήταις, ἐν αὐτῷ τῷ Πνεύματι τῷ ἁγίῳ προφητεύουσι . Τῆς γοῦν Γραφῆς λεγούσης, « Καὶ (72) ἐγένετο Λόγος Κύριον » πρὸς τόνδε τὸν προφήτην, δείκνυται προφητεύων ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Ἐν μὲν γὰρ (73) τῷ Ζαχαρίᾳ γέγραπται· « Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις· » ὅτε καὶ μετ' ὀλίγα αἰτιώμενος τὸν λαὸν ἔλεγε· « Καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ, τοῦ μὴ εἰσακούειν τοὺς νόμους (74) μου καὶ τοὺς λόγους· οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν αὐτοῦ τῶν (75) ἔμπροσθεν· » ὁ δὲ Πέτρος ἐν ταῖς Πράξεσιν ἔλεγεν· « Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφὴν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ κοινῇ δὲ οἱ ἀπόστολοι ἑβόων οὕτως· « Δέσποτα, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ τοῦ πατρὸς ἡμῶν διὰ Πνεύματος ἁγίου στό-

A nitate dari, omniaque ex uno Deo esse. Ille igitur qui res creata non est, sed cum Filio non secus conjunctus est, ac ipse Filius cum Patre : qui item cum Patre et Filio honoratur, et cum verbo Deus agnoscitur, necnon ea ipsa agit quæ per Verbum Pater efficit ; qui res creata dici possit, nisi ab eo plane qui in Filium ipsum impius fuerit? Siquidem nihil prorsus est, quod non per Verbum fiat et agatur in Spiritu : quemadmodum etiam in Psalmis canitur : « Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum [90] ; » et in centesimo quadragesimo septimo psalmo : « Emittet Verbum suum, et liquefaciet ea ; flabit Spiritus ejus, et fluent aquæ [91]. » Et, ut ait Apostolus, « justificati sumus in nomine Domini nostri Jesu Christi et in Spiritu Dei nostri [92]. » Namque Spiritus a Verbo nequit dividi. Profecto cum Christus ait, « Veniemus ego et Pater [93], » una quoque intrat Spiritus non alio modo quam Filius in nobis habitaturus, ut Paulus ad Ephesios scribit : « Ut det vobis secundum divitias gloriæ suæ, virtute corroborari per Spiritum ejus in interiorem hominem, Christum habitare [94]. » Porro cum Filius in nobis est, Pater quoque simul est, ut Filius ipse ita testatur : « Ego in Patre, et Pater in me [95]. » Hinc cum Verbum in prophetis adest, illi in ipso Spiritu sancto vaticinantur. Unde cum Scriptura dicit, « Et factum est Verbum » ad talem prophetam, illum in Spiritu sancto vaticinari significat. Nam in Zacharia scriptum est : « Verumtamen verba mea et legitima mea suscipite, quæ ego mando in Spiritu meo servis meis prophetis [96]. » Paulo post etiam populum his verbis objurgat : « Et cor suum obstinatum statuerunt, ne audirent legem meam, et verba quæ misit Dominus omnipotens in Spiritu suo in manibus prophetarum ejus priorum [97]. » Petrus item in Actis ita loquitur : « Viri fratres, oportebat impleri Scripturam quam prædixit Spiritus sanctus [98]. » Simul vero sic clamabant apostoli : « Domine, qui fecisti cœlum et terram, et mare et omnia quæ in eis sunt, qui Spiritu santo per os patris nostri David, pueri 544 tui, dixisti [99]. » Paulus quoque cum Romæ versaretur, Judæis ad se venientibus fidenter aiebat : « Bene Spiritus sanctus locutus est per Isaiam prophetam

B

C

[90] Psal. XXXII, 6. [91] CXLVII, 18. [92] I Cor. VI, 11. [93] Joan. XIV, 23. [94] Ephes. V, 16. [95] Joan. XIV, 10. [96] Zach. I, 6. [97] Zach. VII, 12. [98] Act. I, 16. [99] Act. IV, 24, 25.

(68) Regius primus, Seguer. et Anglic. τὸ διδόμενον. Mox Regius primus, et Seguer. habent Θεοῦ ἐστι. Alii et editi, Θεοῦ εἰσι.

(69) Gobler. et Felc. 1, καὶ αὖθις· Ἀποστελεῖ τὸν Λόγον αὐτοῦ, etc. Regius item primus et secundus, Seguer. Basiliensis et Anglic. habent ἀποστελεῖ. Cæteri et editi, ἐξαποστελεῖ. Mox Regius primus, Seguer. Gobler. et Felc. 1, ῥυήσεται, ubi alii et ed. ῥυήσονται. Mox item Regius 2 et edit. Commel. omittunt Ἰησοῦ Χριστοῦ.

(70) Sic Reg. 1, Seguer. Gobler. et Felc. 1. At alii et editi, τοῦ Χριστοῦ.

(71) Art. ὁ ante Υἱός deest in Seguer. Ibidem, Reg. 1, Seguer. Anglic. Gobler. et Felc. 1, necnon catena ms. in Lucam, cujus meminit Felc. habent, οἰκήσει. Videtur tamen legendum, οἰκήσων, ut in

D aliis et editis exstat. Mox Reg. 1, Seguer. Gobler et Felc. 1, et catena ms. habent, δῷ. Reg. 2, δώσῃ. Editi vero et alii, δώῃ, ut et legitur in Græco Scripturæ textu. Ibid. Anglic. et Basil. habent κατὰ τὸ πλοῦτος, ut et legitur in ms. Alexandrino Novi Testamenti. Editi Oxon. 1675. Basil. præterea pro τῆς δόξης, habet, τῆς χάριτος.

(72) Καί abest a Gobler. et Felc. 1.

(73) Regius primus, et Seguer. γάρ hic addunt : alii et editi omittunt. Iidem Regius 1, et Seguer. paulo post omittunt, τοῖς δούλοις μου.

(74) Regius primus, et Seguer. ut et Græcus Scripturæ textus, τοῦ νόμου.

(75) Αὐτοῦ τῶν deest in Regio secundo, Basil. et Felc. 2, anon. Mox ἄνδρες ἀδελφοί omittunt Gobl. et Fel. 1, anon.

ad patres vestros [1]. » Et ad Timotheum hæc scribit: « Spiritus autem manifeste dicit, quia in novissimis temporibus discedent quidem a sana fide, attendentes spiritibus erroris [2]. » Quocirca cum Spiritus dicitur in aliquo esse. Verbum in ipso dans Spiritum intelligitur. Hinc cum impleretur prophetia, quæ dicit: « Effundam de Spiritu meo super omnem carnem [3], » Paulus ait, « Secundum subministrationem Spiritus Jesu Christi in me [4]. » Et ad Corinthios idem scribit: « An experimentum quæritis ejus qui in me loquitur Christus [5]? » Si porro Christus erat qui in eo loquebatur, manifestum est Christi fuisse Spiritum qui in illo loquebatur. Etenim cum Christus in Actis in ipso loqueretur, rursus ille dicebat: « et nunc ecce alligatus ego Spiritu, vado in Jerusalem, quæ in ea ventura sunt mihi ignorans, nisi quod Spiritus sanctus per civitates protestatur migi dicens, quoniam vincula et tribulationes me manent [6]. » Unde cum sancti dicunt, *Hæc dicit Dominus*, non aliter sane quam in Spiritu sancto loquuntur; et in Spiritu loquentes, in Christo hæc eadem loquuuntur. Quod si Agabus in Actis dicat, « Hæc dicit Spiritus sanctus [7], » non aliter item intelligendus est quam quod, cum ad ipsum factum fuisset Verbum, Spiritus suggerebat quæ in eo loqueretur, ut et quæ Paulo Jerosolymis ventura erant denuntiaret. Profecto cum Spiritus Paulo iterum protestaretur, ipse Christus in eo loquebatur; ita ut Spiritus testimonium sit quoque Verbi testimonium. Sic etiam cum Verbum in sanctam virginem Mariam advenit, simul quoque affuit Spiritus, et Verbum in Spiritu sibi ipsi

[1] Act. xxviii, 25. [2] 1 Tim. iv, 1. [3] Joel ii, 28. [4] Philipp. i, 19. [5] II Cor. xiii, 3. [6] Act. xx, *22, 23.* [7] Act. xxi, 11.

(76) Sic Reg. 1, Seguer. Basil. Gobler. Felc. 1, quibus consonant mss. codices Novi Testamenti Alexandrinus et Oxoniensis unus. Videtur tamen corruptus esse locus, transpositaque verba, ac omissa præpositio διά, forteque possit ita restitui: ὁ διὰ Πνεύματος ἁγίου διὰ στόματος τοῦ πατρὸς ἡμῶν Δαβίδ, etc. Mira autem hoc in loco est varietas mss. codicum Novi Testamenti, ut patet ex editione Oxoniensi 1675. Alii enim sic habent: ὁ Πνεύματι ἁγίῳ διὰ τοῦ πατρὸς ἡμῶν Δαβίδ, etc. Alii ὁ ἐν Πνεύματι ἁγίῳ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου, etc. Alii post παιδός σου habent, ἐν Πνεύματι ἁγίῳ. Cantabrigiensis, ὁ διὰ Πνεύματος ἁγίου διὰ τοῦ στόματος λαλήσας Δαβὶδ τοῦ παιδός σου. Vulgata versio habet ut hic vertimus. Ottobon. sic habet ἐν αὐτοῖς, ἡμῶν διὰ Πνεύματος ἁγίου στόματος Δαβὶδ παιδός σου. Cæterum alii mss. et editi hunc S. Athanasii locum sic exhibent: ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών. Aliam autem lectionem, licet paulum corrupta videatur, selegimus, cum quia plures et melioris notæ mss. codices eam habent; tum quia constat S. Athanasium nomen *S. Spiritus* hic non omisisse, cum hunc ipsum locum afferat ad probandum Deum in prophetis per Spiritum S. locutum fuisse. Reg. 1, Seguerian. et Basil. ante παιδός, art, τοῦ omittunt.

(77) Primus codex Regius et Seguerianus, μέν post ἐν habent: alii et editi minus bene post ὁ. Ibid. Goblerian. et Felc. 1, anon. προσελθοῦσι Ἰουδαίοις λέγων.

(78) Sic primus codex Regius, Seguerianus, Goblerianus. et Felc. 1. Alii vero et editi, γράφων.

A ματος (76) Δαβὶδ τοῦ παιδός σου εἰπών. » Καὶ ὁ Παῦλος, ἐν μὲν (77) τῇ Ῥώμῃ γένομενος, ἐπαρρήσιαζετο τοῖς ἐλθοῦσι πρὸς αὐτὸν Ἰουδαίοις· « Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν. » Τιμοθέῳ δὲ ἔγραφε λέγ· « Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς ὑγιαινούσης πίστεως, προσέχοντες πνεύμασι πλάνης (79). » Διὸ καὶ ὅταν λέγηται ἔν τισι τὸ Πνεῦμα γενέσθαι, νοεῖται ὁ Λόγος ἐν αὐτῷ διδοὺς τὸ Πνεῦμα. Τῆς γοῦν προφητείας πληρουμένης, « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » ὁ Παῦλος ἔλεγε (80)· « Κατὰ τὴν ἐπιχορηγίαν τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ εἰς ἐμέ· » καὶ πρὸς Κορινθίους δὲ ἔγραφεν· « Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Εἰ δὲ Χριστὸς ἦν ὁ λαλῶν

B ἐν αὐτῷ, δῆλον, ὅτι (81) Χριστοῦ ἦν τὸ Πνεῦμα τὸ λαλοῦν ἐν αὐτῷ· καὶ γὰρ τοῦ Χριστοῦ λαλοῦντος ἐν αὐτῷ ἐν ταῖς Πράξεσιν ἔλεγε πάλιν· « Καὶ νῦν ἰδοὺ δεδεμένος ἐγὼ (82) τῷ Πνεύματι, πορεύομαι εἰς Ἰερουσαλὴμ, τὰ ἐν αὐτῇ συνατήσοντά μοι (83) μὴ εἰδώς· πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ καὶ θλίψεις μένουσί με. » Ὅθεν, ἐὰν οἱ ἅγιοι λέγωσι· Τάδε λέγει Κύριος, οὐκ ἄλλως ἢ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ λαλοῦσι· καὶ ἐν τῷ Πνεύματι λαλοῦντες, ἐν Χριστῷ ταῦτα (84) λέγουσιν· ἐὰν δὲ καὶ ὁ Ἄγαβος ἐν ταῖς Πράξεσι λέγῃ· « Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· »

C οὐκ ἄλλως ἢ τοῦ Λόγου γενομένου πρὸς αὐτὸν, τὸ Πνεῦμα ἐχορήγει λαλεῖν ἐν αὐτῷ (85) καὶ διαμαρτύρασθαι τὰ μένοντα τὸν Παῦλον εἰς Ἰερουσαλήμ. Ἀμέλει, τοῦ Πνεύματος πάλιν διαμαρτυρουμένου τῷ Παύλῳ, ὁ αὐτὸς Χριστὸς ἐλάλει ἐν αὐτῷ *(86)*, ὡς

Ibidem Reg. 2, τὸ Πνεῦμα τὸ ἅγιον.

(79) Regius primus et Seguerianus, πλάνοις.

(80) Sic Regius primus, Seguerianus, Anglican. Goblerian. et Felc. 1, et quidem recte. Alii autem et editi, καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις. Ibid. Reg. 2, χορηγίαν. Mox iidem illi sex mss. sic habent: καὶ πρὸς Κορινθίους δὲ ἔγραφεν. Editi vero et alii, καὶ πάλιν πρὸς αὐτοὺς ὁ αὐτὸς ἔγραφεν. Ibidem Regius primus et Seguerianus habent ἢ δοκιμήν, ut et legisse videtur Vulgatæ Novi Testamenti versionis auctor, Alii et editi, εἰ δοκιμήν. Græcus vero Novi Testamenti textus, ἐπεὶ δοκιμήν, sine ulla mss. edit. Oxon. discrepantia.

(81) Sic Regius secundus, Seguerianus et Anglicanus. Cæteri et editi, δηλονότι.

D (82) Sic Regius primus, Seguerian. Anglic. et Felc. 1. At Reg. 2 et Basiliens., ἐγὼ omittunt. Alii et editi habent, δεδεμένος ἐν τῷ Πνεύματι.

(83) Regius primus, et Seguerian., συμπησόμενά μοι. Mox Reg. 2, ὅτι omittit. Paulo post Regius primus, et Seguer., διεμαρτύρατό μοι, ut et legitur in ms. codice Alexand. Novi Testamenti editionis Oxoniensis. Mox iidem Regius primus, et Seguer., ἐάν habent: alii et editi ἄν.

(84) Reg. 1, Goblerian. et Felc. 1, τὰ αὐτοῦ.

(85) Sic Seguerianus, Anglicanus, Goblerianus et Felck. 1. At Regius primus, ἐχορήγει λαλεῖν αὐτῷ. Regius secundus, ἐπιχορηγεῖ καὶ λαλεῖ αὐτῷ. Basil., ἀποχορηγεῖν καὶ λαλεῖν αὐτῷ. Alii et editi, ἀποχορηγεῖ καὶ λαλεῖν ἐν αὐτῷ. Paulo post Reg. 1 et Seguer., διαμαρτυρομένου τῷ Παύλῳ.

(86) Sic Reg. 1, et Seguer. qui et infra habent,

εἶναι τοῦ Λόγου τὴν ἐκ τοῦ Πνεύματος γινομένην διαμαρτυρίαν. Οὕτω καὶ ἐπὶ τὴν ἁγίαν Παρθένον Μαρίαν ἐπιδημοῦντος τοῦ Λόγου, συνεισήρχετο τὸ Πνεῦμα, καὶ Λόγος ἐν τῷ Πνεύματι ἔπλαττε καὶ ἥρμοζεν ἑαυτῷ τὸ σῶμα, συνάψαι θέλων καὶ προσενεγκεῖν δι' ἑαυτοῦ τὴν κτίσιν τῷ Πατρὶ, καὶ ἀποκαταλλάξαι τὰ πάντα ἐν αὐτῷ, « εἰρηνοποιήσας τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. »

A corpus formavit et aptavit, res creatas per seipsum Patri conjungere et offerre, omniaque in illo reconciliare cupiens, « pacificans sive quæ in cœlis sive quæ in terris sunt [8]. »

32. Συμφώνως ἄρα ἀπὸ τῶν θείων Γραφῶν δείκνυται μὴ εἶναι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ ἴδιον τοῦ Λόγου καὶ τῆς τοῦ Πατρὸς θεότητος· οὕτω γὰρ τῶν μὲν ἁγίων ἡ διδασκαλία εἰς τὴν ἁγίαν καὶ ἀδιαίρετον Τριάδα συνάγεται, καὶ μία πίστις αὕτη τῆς καθολικῆς Ἐκκλησίας ἐστί (87)· τῶν δὲ Τροπικῶν ἡ ἀλόγιστος μυθοπλαστία διαφωνεῖ μὲν πρὸς τὰς Γραφὰς, συμφωνεῖ δὲ τῇ τῶν Ἀρειομανιτῶν ἀλογίᾳ· καὶ εἰκὸς αὐτοὺς (88) οὕτως ὑποκρίνασθαι ἀπάτης ἕνεκεν τῶν ἀκεραίων. Ἀλλὰ χάρις τῷ Κυρίῳ, ὅτι, ὡς γράφεις, οὐκ ἔλαθον σκέπτοντες ἑαυτοὺς τῇ πρὸς τοὺς Ἀρειανοὺς προσποιήτῳ ἀντιλογίᾳ· καὶ γὰρ καὶ παρ' ἐκείνων ἐμισήθησαν (89), ὅτι μόνον τὸ Πνεῦμα καὶ οὐχὶ καὶ τὸν Λόγον κτίσμα λέγουσι· καὶ παρὰ πάντων δὲ κατεγνώσθησαν, ὡς τῷ ὄντι πνευματομαχοῦντες, καὶ μετ' ὀλίγον γινόμενοι (90) νεκροὶ, ἔρημοι καὶ κενοὶ τοῦ Πνεύματος ὄντες. Κατὰ γὰρ τὸν μακάριον Ἀπόστολον, ψυχικοὶ ἄνθρωποι ὄντες οὐκ ἠδυνήθησαν δέξασθαι τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, ὅτι πνευματικῶς ἀνεκρίνοντο· οἱ δὲ τὰ τῆς ἀληθείας φρονοῦντες ἀνακρίνουσι μὲν τὰ πάντα, αὐτοὶ δὲ ὑπ' οὐδενὸς ἀνακρίνονται, ἔχοντες ἐν ἑαυτοῖς τὸν Κύριον ἀποκαλύπτοντα αὐτοῖς ἐν τῷ Πνεύματι ἑαυτόν τε καὶ δι' ἑαυτοῦ τὸν Πατέρα.

32. Itaque ex divinarum Scripturarum consensu evidens est Spiritum sanctum rem creatam non esse, sed proprium esse Verbi et Patris divinitatis. Sic enim sanctorum doctrina ad sanctam et individuam Trinitatem astruendam conspirat, eaque una est catholicæ Ecclesiæ fides. At absurdæ Tropicorum fabulæ a Scripturis valde dissentiunt, consentiuntque omnino cum Arianorum hæresi : unde verisimile sit illos non alia de causa ita dissimulare, nisi quo faciliussimplices deciperent. Sed gratiæ Domino habendæ, quod, ut scribis, fictam suam cum Arianis contentionem obtegere non potuerint. Siquidem et illorum odium in se ipsos concitaverunt, ut qui solum Spiritum non autem Verbum rem creatam esse dicant : et ab aliis omnibus reprobantur, quod liqueat vere eos bellum contra sanctum Spiritum gerere, ac proinde brevi fore mortuos, utpote Spiritu vacuos et destitutos. Nempe quia sunt animales homines, non potuerunt, **545** ut docet beatus Apostolus [8*], percipere quæ sunt Spiritus Dei, utpote qui spiritualiter dijudicaretur. At qui ea quæ sunt veritatis sapiunt, omnia quidem dijudicant, ipsi vero a nemine dijudicantur, quandoquidem Dominum in seipsis habent, qui illis et seipsum et per seipsum Patrem in Spiritu patefacit.

33. Ἐγὼ μὲν οὖν καίπερ ἐν ἐρήμῳ διάγων, διὰ γοῦν τὴν ἀναίδειαν τῶν ἐκτραπέντων ἀπὸ τῆς ἀληθείας, οὐ φροντίσας τῶν γελᾶν ἐθελόντων διὰ τὸ ἀσθενὲς καὶ ταπεινὸν τῆς διὰ τῶν λόγων ἀποδείξεως, δι' ὀλίγων γράψας, ἀπέστειλα τῇ σῇ (91) εὐλαβείᾳ, πολλὰ παρακαλῶν, ἵνα, ἐντυγχάνων τούτοις, τὰ μὲν διορθώσῃ, ἐπὶ δὲ τοῖς ἀσθενῶς εἰρημένοις συγγινώσκῃς. Κατὰ γὰρ τὴν παραδοθεῖσαν ἡμῖν παρὰ τῶν Πατέρων ἀποστολικὴν πίστιν παρέδωκα, μηδὲν ἔξωθεν ἐπινοήσας (92), ἀλλ' ὅπερ ἔμαθον ἐνεχάραξα συμφώνως ταῖς ἁγίαις Γραφαῖς. Σύμφωνον γὰρ καὶ τοῦτο τοῖς προαποπεφασμένοις πρὸς βεβαίωσιν ἐκ τῶν ἁγίων Γραφῶν. Καὶ οὐκ, ἔξωθεν ἐπινενόηται, ἀλλ' αὐτὸς ὁ Κύριος Ἰησοῦς Χριστὸς δι' αὐτοῦ ἐδίδαξε τὴν Σαμαρεῖτιν, καὶ δι' αὐτῆς ἡμᾶς, τὴν τῆς ἁγίας Τριάδος τελειότητα, ἀδιαίρετον ὑπάρχουσαν καὶ μίαν Θεότητα (93). Αὐτὴ ἡ ἀλήθεια μαρτυρεῖ, ὡς φησι τῇ Σαμαρείτιδι· « Πίστευέ μοι, γύναι, ὅτι ἔρ-

33. Ego itaque, tametsi in solitudine degens, tamen propter eorum impudentiam qui a veritate deflexerunt, nihil omnino de illis curans, quibus forte meæ ratiocinationes infirmæ et humiles atque adeo irridendæ videbuntur, hæc pauca quæ scripsi, ad tuam pietatem placuit mittere, teque vehementer rogo, ut in his legendis, alia quidem emendes, alia vero quæ infirma occurrent, mihi condones. Siquidem nihil ipse tradidi nisi secundum apostolicam fidem, prout ea nobis a Patribus tradita est, nihilque externum sum commentus, sed quod didici, juxta mentem sanctarum Scripturarum his litteris exaravi. Id enim optime cum his congruit, quæ ad veritatis confirmationem ex sanctis Scripturis adduximus. Non ergo extrinsecus accersita est hæc nostra doctrina : sed ipse Dominus Jesus Christus per seipsum quidem Samaritanam ac nos per illam deinde docuit, quam perfecta et absoluta sit sancta

[8] Coloss. I, 20. [8*] I Cor. II, 14.

συνεισήρχετο. Alii et editi, λαλεῖ, et infra, συνήρχετο.

(87) Reg. 1, et Seguer., ἐστί addunt : alii cum editis omittunt. Mox iidem Reg. 1, et Seguerian. necnon Gobler. et Felck. 1, habent ἀλόγιστος. Cæteri vero et editi, ἀλλόπιστος.

(88) Sic Reg. 1, et Seguerian. Alii vero et editi, εἰκότως.

(89) Hunc locum in restituimus ex mss. Reg. 1 Seguerian. Goblerian. et Felc. 1. In aliis et editis desunt ὅτι μόνον, usque ad κατεγνώσθησαν.

(90) Seguerian. Basil. et Anglic., γενόμενοι.

(91) Sic Regius primus. et Ottob. Seguerian. necnon Regius 2, qui tamen τῇ σου habet. Cæteri et editi, τῇ σῇ et τῇ σου et πολλά omittunt.

(92) Regius 1, et Seguerian., ἐπινοῶν, et mox ἅπερ.

(93) Regius secundus, τῇ μιᾷ θεότητι.

Trinitas, eamque individuam ac unam Divinitatem exsistere. Id, inquam, ipsa testatur veritas, ubi Samaritanæ ait: « Crede mihi, mulier, quia venit hora, et nunc est, cum veri adoratores adorabunt Patrem in Spiritu et veritate. Nam et Pater tales quærit qui adorent eum. Spiritus est Deus, et eos qui adorant eum, in Spiritu et veritate oportet adorare [9]. » Inde enim perspicuum est veritatem ipsum esse Filium, ut ipse ait, « Ego sum veritas [9*], » quem et Propheta David his verbis invocabat: « Emitte lucem tuam et veritatem tuam [10]. » Veri igitur adoratores Patrem quidem adorabunt, sed in Spiritu et veritate, Filium videlicet et in Filio Spiritum confitendo. Nam a Filio separari non potest Spiritus, uti nec a Patre Filius, quemadmodum ipsa Veritas his verbis docet: « Mittam vobis Paraclctum, Spiritum veritatis, qui a Patre procedit, quem mundus non potest accipere [11], » hoc est, qui eum ex Patre in Filio esse negant. Qui igitur voluerint veros imitari adoratores, eos veritatem confiteri et amplecti necesse omnino est. Quocirca illi, quos hic refellendos suscepi, si nec post hæc velint quod verum est dicere, nec intelligere possint; saltem impia proferre desinant, nec Trinitatem audeant separare, ne ipsi a vita separentur; nec Spiritum sanctum inter res creatas numerent, ne quemadmodum sancti Spiritus opera Pharisæi olim Beelzebuli attribuebant, sic et illi paris audaciæ rei, hic et in futura vita æterno supplio sine ulla spe veniæ cum illis afficiantur.

A χεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεὸς (94), καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » Δέδεικται τοίνυν ἐντεῦθεν, ὡς ἡ ἀλήθεια μὲν αὐτὸς ὁ Υἱός ἐστιν, ὡς αὐτός φησιν· « Ἐγώ εἰμι ἡ ἀλήθεια· » περὶ οὗ καὶ ὁ προφήτης Δαβὶδ ἐπεκαλεῖτο λέγων (95)· « Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. » Οἱ ἀληθινοὶ τοίνυν προσκυνηταὶ προσκυνοῦσι μὲν τῷ Πατρί, ἀλλ' ἐν Πνεύματι καὶ ἀληθείᾳ, ὁμολογοῦντες Υἱὸν καὶ ἐν αὐτῷ τὸ Πνεῦμα. Ἀχώριστον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς ἀχώριστος ὁ Υἱὸς τοῦ Πατρός. Αὐτὴ ἡ Ἀλήθεια μαρτυρεῖ (96) ἡ λέγουσα· « Πέμψω ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς B ἐκπορεύεται, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, » τουτέστιν (97) οἱ ἀρνούμενοι αὐτὸ ἐκ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ. Χρὴ τοίνυν κατὰ μίμησιν τῶν ἀληθινῶν ὁμολογεῖν καὶ προσδραμεῖν τῇ ἀληθείᾳ. Ἂν δ' ἄρα καὶ μετὰ ταῦτα μήτε μαθεῖν θέλωσι, μήτε νοεῖν δύνωνται· κἂν τῶν δυσφημιῶν παυέσθωσαν, καὶ μὴ διαιρείτωσαν τὴν Τριάδα, ἵνα μὴ διαιρεθῶσιν (98) ἀπὸ τῆς ζωῆς· μηδὲ τοῖς κτίσμασι συναριθμείτωσαν τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα μὴ, ὡς οἱ τότε Φαρισαῖοι τῷ Βεελζεβοὺλ τὰ τοῦ Πνεύματος ἀνετίθεσαν, οὕτω καὶ οὗτοι, τὰ ἴσα τολμῶντες, ἀσύγγνωστον καὶ ὧδε καὶ μετὰ ταῦτα τὴν τιμωρίαν μετ' ἐκείνων (99) ὑπομείνωσιν.

546 *EJUSDEM AD EUMDEM EPISCOPUM SERAPIONEM ADVERSUS EOS QUI FILIUM REM CREATAM ESSE CONTENDUNT.*

C ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΕΡΑΠΙΩΝΑ ΚΑΤΑ ΤΩΝ ΛΕΓΟΝΤΩΝ ΚΤΙΣΜΑ ΤΟΝ ΥΙΟΝ (1).

1. Ego quidem pauca me ita scripsisse existimabam: atque adeo me ipse maximæ imbecillitatis accusabam, qui nec tantum scribere potuissem, quantum adversus eos qui in Spiritum sanctum impii sunt licet hominibus dicere. Quando vero, ut scribis, quidam ex fratribus postulaverunt ut hæc in compendium redigerentur, quo paratiores ac promptiores esse possint cum ad breviter respon-

1. Ἐγὼ μὲν ἐνόμιζον καὶ (2) οὕτως ὀλίγα γεγραφέναι· καὶ κατηγόρουν ἐμαυτοῦ πολλῆς ἀσθενείας, ὡς μὴ δυνηθέντος τοσοῦτον γράψαι, ὅσον ἀνθρώποις ἔξεστι λέγειν κατὰ τῶν ἀσεβούντων εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ἐπειδὴ δέ, ὡς γράφεις, τινὲς τῶν ἀδελφῶν ἠξίωσαν καὶ ταῦτα ἐπιτεμεῖν, ἵνα ἔχωσιν ἐξ ἑτοίμου καὶ δι' ὀλίγων ἀπολογεῖσθαι μὲν τοῖς ἐρωτῶσι περὶ τῆς ἐν ἡμῖν πίστεως, διελέγχειν δὲ τοὺς ἀσεβοῦντας·

[9] Joan. IV, 21, 22. [9*] Joan. XIV, 6. [10] Psal. XLII, 3. [11] Joan. XV, 26; XIV, 17.

(94) Reg. 2 et Felc. 2 addunt ὅτι. At hæc verba ὅτι Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτόν, desunt in Anglic. Basiliensi et edit. Commel.

(95) Gobler. et Felckm. 1, περὶ οὗ καὶ ὁ Δαοὶδ λέγων, etc. Mox post Οἱ ἀληθινοί, particula τοίνυν additur a Regio 1, Seguer. Goblerian. et Felc. 1, sed ab aliis et editis omittitur. Ibidem Regius 1, Gobl. et Felc. 1, προσκυνήσουσι.

(96) Verbum μαρτυρεῖ abest a Regio primo, Goblerianο, et Felc. 1, anonymo.

(97) Sic Regius primus, Seguer. Anglican. Gobl. et Felc. 1. At Ottob. ὃ ἐστι. Alii vero et edit. Commel. ὃς ἐστιν, sed mendose. Ib. Reg. 1, et Seguer., αὐτό habent: alii et editi, αὐτόν. Item pro ἐν τῷ Υἱῷ, ut legitur in Reg. 1, Seguerian. Goblerian. et Felckm. 1; alii cum editis habent, ἐν τῷ Χριστῷ.

(98) Seguer. αἱρεθῶσιν. Goblerian. et Felckm. 1, διαιρείσθωσαν. Paulo post Reg. 1 et Seguerian. habent, οἱ τότε. Editi et alii οἵ ποτε.

(99) Editi et Felc. 2 omittunt μετ' ἐκείνων.

(1) Sic Ottobon. In Basil. et Anglican. inscribitur item, Ἐπιστολὴ πρὸς τὸν αὐτὸν Σεραπίωνα κατὰ τῶν λεγόντων κτίσμα τὸν Υἱόν, et ad marginem· Ἐπιστολὴ δευτέρα. Regius nutem, Seguer. Gobler et Felc. 1, pro titulo hæc habent verba, Ταῦτα ἐκ τῶν προειρημένων κατ' ἐπιτομὴν ἐγράφη κατ' αὐτῶν πάλιν τῶν λεγόντων κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. D Id est, *Hæc ex prædictis compendio scripta sunt contra eosdem qui dicunt Spiritum sanctum rem creatam esse.* Quæ item exstant in margine codicis Basiliensis. In omnibus porro mss. etiam in Felckm. 2, est numero secunda sive sequitur præcedentem. In editis autem primo loco sive ante præcedentem ponitur, cum hujusmodi titulo, Τοῦ ἐν ἁγίοις, κ.τ.λ. Ἐπιστολὴ πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον κατὰ τῶν λεγόντων, ὅτι ὁ Υἱὸς κτίσμα ἐστίν. *Sancti patris*, etc. *Epistola ad Serapionem episcopum, contra eos qui dicunt Filium esse rem creatam.* Vide admonitionem pag. 516, num 2.

(2) Felckm. 2 καὶ omittit. Mox Basil. Anglican. et Felckm. 2, et editi, γεγραφηκέναι. Ibid. Gobler. et Felckm. 1, ἐκατηγόρουν. Item ibid. Anglicanus, πολλὴν ἀσθένειαν. Paulo post Reg. et Seguerianus, γράψαι. Alii et editi, γράφειν.

ἐποίησα, καὶ τοῦτο θαῤῥῶν, ὅτι συνείδησιν ἔχων ἀγαθὴν, εἴ τι καὶ ἐν τούτοις παραλέλειπται, ἀναπληρώσεις. Οἱ Ἀρειανοὶ, εἰς ἑαυτοῦς στραφέντες, καὶ μηδὲν πλέον ἢ ἔξωθεν ἑαυτῶν νοοῦντες κατὰ τοὺς Σαδδουκαίους, ἀνθρωπίνοις λογισμοῖς ἐξεδέξαντο (3) τὴν θεόπνευστον Γραφήν. Ἀκούοντες γοῦν σοφίαν, καὶ ἀπαύγασμα, καὶ Λόγον εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, εἰώθασιν ἐπιλέγειν· Πῶς δύναται τοῦτο εἶναι (4); ὥσπερ οὐ δυναμένου εἶναι, ὃ μὴ δύνανται αὐτοὶ νοεῖν. Ὥρα γὰρ αὐτοὺς καὶ περὶ τοῦ παντὸς τοιαῦτα διανοεῖσθαι· Πῶς δύναται ἡ κτίσις, μὴ οὖσά ποτε, γενέσθαι; ἢ πῶς δύναται χοῦς γῆς πλασθῆναι λογικὸς ἄνθρωπος; ἢ πῶς τὸ φθαρτὸν ἄφθαρτον γενέσθαι; ἢ πώς ἡ γῆ ἐπὶ θαλασσῶν τεθεμελίωται, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτὴν ὁ Θεός; Καὶ λοιπὸν ἐπιλέγειν αὐτοὺς ἑαυτοῖς· « Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν (5) · » ἵνα δηλονότι, φθειρομένων αὐτῶν, συμφθαρῇ καὶ ἡ τῆς αἱρέσεως αὐτῶν μανία.

A dendum his qui ipsos de fide nostra interrogant, tum ad impios refutandos: id ergo eo majore fiducia suscepi,quod,cum recta sis præditus conscientia, si quid omissum fuerit, tu ipse non ægre supplebis. Ariani toti ad seipsos conversi, nihilque aliud neque quod extra ipsos positum est, more Sadducæorum, cogitantes, divinam Scripturam humanis ratiociniis expendunt. Cum igitur Filium, Patris sapientiam, splendorem, et Verbum esse audiunt,percontari solent,qui istud possit esse : Quasi id esse non possit quod ipsi intelligere non queunt. Certe idem peræque possumus de universo mundo inquirere : Quomodo res quæ aliquando non erat, potuit fieri? Quomodo pulvis terræ potuit effici homo ratione præditus? Quomodo quod corruptioni B subjectum est, incorruptum fieri potest? Quomodo terra super maria funduta est,et super flumina præparavit eam Deus [12]? Denique nihil aliud superest quam ut ipsi sibi dicant, « Manducemus et bibamus ; cras enim moriemur [13], » ut videlicet corruptis illis, simul corrumpatur insana eorum hæresis.

2. Τῶν μὲν οὖν Ἀρειανῶν θνητὸν καὶ φθαρτὸν τὸ τοιοῦτον φρόνημα· ὁ δὲ τῆς ἀληθείας λόγος, ὅπερ ἔπρεπε καὶ αὐτοὺς διανοεῖσθαι, τοιοῦτός ἐστιν· Εἰ πηγὴ, καὶ φῶς, καὶ Πατήρ ἐστιν ὁ Θεός. οὐ θέμις εἰπεῖν οὔτε τὴν πηγὴν ξηράν, οὔτε τὸ φῶς χωρὶς αὐγῆς, οὔτε τὸν Θεὸν χωρὶς Λόγου, ἵνα μὴ ἄσοφος, καὶ ἄλογος, καὶ ἀφεγγὴς (6) ᾖ ὁ Θεός. Ἀϊδίου τοιγαροῦν ὄντος τοῦ Πατρὸς, ἀνάγκη καὶ τὸν Υἱὸν ἀΐδιον εἶναι· ἃ γὰρ ἂν ἐν τῷ Πατρὶ νοήσωμεν, ταῦτα καὶ ἐν τῷ Υἱῷ εἶναι οὐκ ἀμφίβολον, λέγοντος αὐτοῦ τοῦ Κυρίου· « Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι, » καὶ τὰ ἐμὰ πάντα τοῦ Πατρός ἐστιν (7). Αἰώνιος γοῦν ἐστιν ὁ Πατήρ· αἰώνιός ἐστι καὶ ὁ Υἱός· δι' αὐτοῦ γὰρ C οἱ αἰῶνες γεγόνασιν. Ὧν ἐστιν ὁ Πατήρ (8)· ἀνάγκη (9) καὶ ὁ Υἱὸς, « ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμὴν, » ὡς εἶπεν ὁ Παῦλος. Οὐ θέμις εἰπεῖν ἐπὶ Πατρὸς, Ἦν ποτε, ὅτε οὐκ ἦν· ἀθέμιτον εἰπεῖν ἐπὶ Υἱοῦ, Ἦν ποτε, ὅτε οὐκ ἦν. Παντοκράτωρ ἐστὶν ὁ Πατήρ· παντοκράτωρ ἐστὶ καὶ (10) ὁ Υἱὸς, λέγοντος τοῦ Ἰωάννου· « Ὁ ὢν, ὁ ἦν, ὁ ἐρχόμενος, ὁ παντοκράτωρ. » Φῶς ἐστιν ὁ Πατήρ, ἀπαύγασμα ὁ Υἱὸς καὶ φῶς ἀληθινόν, Ἀληθινόν, Θεὸς ὁ

2. Nihil igitur nisi mortale et corruptum est in hac Arianorum sententia.At veritatis sermo, quem utique illos meditari decebat, hujusmodi est : Si fons, si lux, si Pater est Deus, nefas certe dictu est, vel fontem aridum, vel lucem sine splendore, vel Deum sine Verbo sive ratione esse; ne videlicet sapientiæ, rationis et splendoris expers credatur Deus. Itaque quia æternus est Pater, necesse est Filium esse quoque æternum.Quæcunque enim in Patre esse intellexerimus, non est dubitandum quin hæc eadem sint in Filio, cum ipse Dominus dicat : « Omnia quæcunque habet Pater, mea sunt [14],» et mea omnia Patris sunt. Itaque æternus est Pater : æternus item est Filius ; siquidem per illum facta sunt sæcula [15]. Vere est Pater : vere quoque necessario est Filius,« qui est super omnia Deus benedictus in sæcula, Amen,» ut ait Paulus [16]. Non licet de Patre dicere, Fuit aliquando cum non esset : nefas similiter est de Filio dicere, Fuit aliquando cum non esset. Omnipotens est Pater : omnipotens etiam est Filius, 547 Joanne dicente : « Qui est, qui erat et qui venturus est, omnipo-

[12] Psal. xxiii, 2. [13] I Cor. xv, 32. [14] Joan. xvi, 15. [15] Hebr. i, 2. [16] Rom. ix, 5.

(3) Sic Regius et Seguerian. At alii et editi, διεδέξαντο.

(4) Gobler. et Felckm. 1, λέγειν. Mox hæc verba, ὥσπερ οὐ δυναμένου εἶσαι, absunt ab Anglican. et Ottob.

(5) Regius ἀποθνήσκωμεν. Item ibidem Regius, Seguer. Goblerian. et Felckmanni 1, δηλονότι. Cæteri et editi. δῆλον ἂν εἴη, ὅτι. Mox Regius συμφθαρῇ. Alii editique, συμφθαρήσεται.

(6) Basiliens Felckm. 2 et editio Commel. ἀφεγγὴς omittunt. Ibidem ᾖ abest a Reg. et Seguer.

(7) Hæc verba, καὶ τὰ ἐμὰ πάντα τοῦ Πατρός ἐστι, quæ habent Reg. Seguerian. Anglican. Gobler. et Felc. 1, ac legit Nannius, desunt in aliis et editis. Paulo post καί abest a Reg et Seguerian.

(8) Hæc verba ὁ Πατήρ· ἀνάγκη καὶ ὁ Υἱὸς, ὁ ὤν, desunt in Regio et Seguer. Ibidem in Regio. Seguerianо, ac editis scribitur, ὧν ἐστι : sed mendum est, ut videtur, scribendumque, ὧν ἐστιν ὁ Πατήρ, ut exigit sensus. Mox Regius Seguerianus, Goblerianus et Felckmanni primus habent, ὡς εἶπεν ὁ Παῦλος. Alii et editi, ὡς εἶπεν ὁ Ἀπόστολος. Ibidem post θέμις Regius, Seguerian. Gobler. et Felckm. primus, οὖν omittunt : at alii et editi, addunt. Mox item Regius. Seguerian. Goblerian. et Felckm. 1, omittunt hæc verba, οὐδὲ ἐπὶ Υἱοῦ, quæ in aliis et editis habentur post, ἐπὶ Πατρός. Quæ sequuntur ibidem, ἀθέμιτον εἰπεῖν ἐπὶ Υἱοῦ, Ἦν ποτε, ὅτε οὐκ ἦν ex ms. Regio restituimus.

(9) Forte ἀνάγκη.

(10) Καί deest in Reg. Seguerian. Goblerian. et Felc. 1. Ibidem Goblerianus, et Felckmanni primus λέγοντος τοῦ Ἰωάννου, Ὁ ὤν, etc. Alii mss., λέγοντος τοῦ Ἰωάννου, τάδε λέγει, Ὁ ὤν, etc. Editi λέγοντος τοῦ Ἰωάννου· τόδε λέγει, etc.

tens [17]. » Lux est Pater : splendor et lux vera est Filius. Deus verus est Pater : Deus verus est quoque Filius. Ita enim scripsit Joannes : « Sumus in vero, in Filio ejus Jesu Christo. Hic est verus Deus et vita æterna [18].» Denique nihil habet Pater, quod non sit Filii. Idcirco enim Filius in Patre et Pater in Filio est,quia quæ sunt Patris,hæc in Filio sunt, et rursus eadem in Patre intelliguntur. Ita sane istud intelligi debet :« Ego et Pater unum sumus [19],» quia non alia sunt in Patre et alia in Filio,sed quæ in Patre sunt, eadem sunt in Filio. Unde quia quæ in Patre vides, vides quoque in Filio, recte illud intelligitur, « Qui videt me, videt Patrem [20]. »

3.His ergo ita confirmatis,impius sine dubio ille habendus est qui Filium rem creatam esse contendit. Hinc enim fateri cogetur rem creatam ipsum quoque esse fontem, unde emanat creata sapientia et Verbum in quo omnia, quæ Patris sunt, exsistunt. Præterea vel ex his comprehendi potest quam futilis sit Arianorum hæresis.Nempe quorum sumus similes, eamdem quoque quàm illi naturam habemus,atque adeo consubstantiales sumus. Quia igitur homines similes sumus et eadem nobis est natura : sumus idcirco invicem consubstantiales.Eadem enim omnibus est mortalis, corruptio, mutabilitas, et origo ex nihilo. Angeli pariter inter se aliaque omnia naturæ similitudine secum conveniunt. Scrutentur ergo homines plus æquo curiosi, si inter Filium et res creatas intersit aliqua similitudo, vel si ea, quæ in Filio sunt, in rebus factis reperire possint, quo illis liceat Verbum Dei rem creatam appellare. Verum id nunquam invenient viri perquam temerarii atque a vera pietate aberrantes. Nam in rebus creatis nihil est omnipotens, nullaque in alterius sed solius Dei est potestate. Siquidem « cæli enarrant gloriam Dei [21];» et,« Domini est terra et plenitudo ejus [22].Mare vidit et fugit [23]. » Omnia denique creatori famulantur, faciuntque verbum ejus [24], et ejus mandato obediunt. At Filius omnipotens est, ut Pater, quod utique et scriptum et ostensum est. Item nihil inter res creatas natura immutabile est. Siquidem quidam ex angelis ordinem suum non servaverunt [25],et,« stellæ non sunt mundæ in conspectu ejus [26] :» diabolus e cœlis cecidit, Adam prævaricatus est : postremo cunctæ res mutantur. Filius vero immutabilis est

A Πατὴρ, ἀληθινὸς Θεὸς ὁ Υἱός· οὕτω γὰρ ὁ Ἰωάννης ἔγραψεν · « Ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ ἡ (11) αἰώνιος. » Καὶ ὅλως οὐδέν ἐστιν, ὧ ἔχει ὁ Πατὴρ, ὃ μὴ τοῦ Υἱοῦ ἐστι. Διὰ τοῦτο γὰρ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ · ἐπειδὴ τὰ τοῦ Πατρὸς, ταῦτα ἐν τῷ Υἱῷ ἐστι, καὶ πάλιν ταῦτα ἐν τῷ Πατρὶ νοεῖται. Οὕτω νοεῖται καὶ τὸ (12), « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. » ἐπειδὴ οὐκ ἄλλα ἐν τούτῳ, καὶ ἄλλα ἐν τῷ Υἱῷ · ἀλλὰ τὰ ἐν τῷ Πατρὶ, ταῦτα ἐν τῷ Υἱῷ ἐστι. Καὶ ἃ βλέπεις δὲ ἐν τῷ Πατρὶ, ἐπειδὴ (13) βλέπεις ἐν τῷ Υἱῷ, νοεῖται καλῶς τὸ, « Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα. »

B 3. Τούτων δὲ οὕτω δεικνυμένων, ἀσεβής ἐστιν ὁ λέγων κτίσμα εἶναι (14) τὸν Υἱόν. Ἀναγκασθήσεται γὰρ εἰπεῖν κτίσμα καὶ τὴν πηγὴν βρύουσαν, κτίσμα τὴν σοφίαν, τὸν Λόγον, ἐν ᾧ ἐστι πάντα τὰ τοῦ Πατρός. Ἄλλως τε καὶ ἀπὸ τούτων ἄν τις ἴδοι τὸ (15) σαθρὸν τῆς αἱρέσεως τῶν Ἀρειομανιτῶν. Ὧν ἐσμεν ὅμοιοι, καὶ τὴν ταυτότητα ἔχομεν τούτων, καὶ ὁμοούσιοί ἐσμεν· ἄνθρωποι γοῦν ὅμοιοι καὶ ταυτότητα (16) ἔχοντες, ὁμοούσιοί ἐσμεν ἀλλήλων. Τὸ αὐτὸ γὰρ πᾶσι, τὸ θνητὸν, τὸ φθαρτὸν, τὸ τρεπτὸν, τὸ ἐκ μὴ ὄντων. Καὶ ἄγγελοι (17) δὲ πρὸς ἑαυτοὺς, καὶ τὰ ἄλλα πάντα, ὡσαύτως ὁμοιότῃ ἐστιν αλλήλων. Οὐκοῦν ἐρευνάτωσαν οἱ περίεργοι, εἴ ἔστι τις ὁμοιότης πρὸς τὸν Υἱὸν τοῖς κτίσμασιν· ἢ τὰ ἐν τῷ Υἱῷ δύνανται εὑρεῖν ἐν τοῖς γενητοῖς, ἵνα καὶ κτίσμα τολμήσωσιν εἰπεῖν τὸν τοῦ Θεοῦ Λόγον (18), Ἀλλ' οὐκ ἂν εὕροιεν οἱ πάντα προπετεῖς καὶ πλανώμενοι περὶ τὴν εὐσέβειαν. Ἐν μὲν γὰρ τοῖς κτίσμασιν οὐδέν ἐστι παντοκράτωρ, καὶ C οὐδὲν παρὰ τοῦ ἑτέρου κρατεῖται. Ἕκαστον γὰρ αὐτοῦ (19)ἐστι τοῦ Θεοῦ. « Οἱ » μὲν γὰρ « εὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ἡ δὲ γῆ τοῦ Κυρίου ἐστὶ καὶ τὸ πλήρωμα αὐτῆς ἡ θάλασσα εἶδε καὶ ἔφυγε. » Καὶ τὰ πάντα δοῦλα τοῦ ποιητικότος ἐστὶ, ποιοῦντα τὸν λόγον αὐτοῦ, καὶ ὑπακούοντα τῷ προστάγματι αὐτοῦ. Ὁ δὲ Υἱὸς παντοκράτωρ ἐστὶν, ὡς ὁ Πατὴρ· καὶ τοῦτο γέγραπται, καὶ δέδεικται. Πάλιν τε (20) ἐν τοῖς κτίσμασιν οὐδέν ἐστιν ἄτρεπτον τῇ φύσει. Τῶν γὰρ ἀγγέλων τινὲς οὐκ ἐτήρησαν τὴν ἰδίαν τάξιν· καὶ « ἄστρα οὐ καθαρὰ ἐνώπιον αὐτοῦ · » καὶ ὁ μὲν διάβολος ἔπεσεν ἀπ' οὐρανοῦ · ὁ δὲ Ἀδὰμ παρέβη· καὶ πάντα ἀλλοιούμενά ἐστιν. Ὁ δὲ Υἱὸς ἄτρεπτός ἐστι καὶ ἀναλλοίωτος, ὡς ὁ Πατήρ. Καὶ τοῦτο ὁ Παῦλος ὑπέμνησεν ἐκ τοῦ ἑκατοστοῦ καὶ πρώτου ψαλμοῦ

D

[17] Apocal. I, 8. [18] I Joan. V, 20. [19] Joan. X, 30. [20] Joan. XIV, 9. [21] Psal. XVIII, 2. [22] Psal. XXIII, 1. [23] Psal. CXIII, 3. [24] Psal. CII, 20. [25] Jud. 6. [26] Job XXV, 5.

(11) Ἡ deest in Regio, Seguer. Gobler. et Felckmanni primo.

(12) Basil. Felckm. secundus anonymus, et editio Commeliniana καί omittunt.

(13) Sic Regius et Seguer. At alii et editi, δέ et ἐπειδή omittunt. Ibidem καί ante νοεῖται deest in Reg. Seguer. Gobler. et Felc. 1

(14) Εἶναι abest a Reg. Seguerian. Goblerian. et Felc. 1. Mox post εἰπεῖν, Reg. et Seguer. omittunt κτίσμα.

(15) Sic Regius et Seguer. At Ottobon., ἀπὸ τούτων ἴδοι τις, Cæteri et editi, ἀπὸ τούτων μάλιστα ἴδοι τό, etc. Ibidem Regius et Seguerian., αἱρέσεως τῶν Ἀρειανῶν.

(16) Felékm. 2, et editi, τὴν ταυτότητα. Mox τὸ φθαρτόν abest a Gobler. Felc. 1 Reg. et Seguer.

(17) Ita Regius Seguer. Gobl. et Felc. 1. At alii et editi, ἀγγέλοις. Ibid. Reg. et Seguer., τὰ ἄλλα πάντα. Cæteri et editi, τὰ ἄλλα δὲ πάντα.

(18) Regius et Seguer., Θεοῦ Υἱόν.

(19) Reg. Seguer. Anglican. Gobler. et Felck. 1, ἑαυτοῦ. Iidem (præter. Anglic.) omittunt τοῦ Θεοῦ.

(20) Sic Reg. et Seguer. In aliis vero et editis deest τε.

λέγων (21)· « Καὶ σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν A ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. » Καὶ πάλιν λέγει (22)· « Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον· ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. »

4. Καὶ πάλιν τὰ γενητὰ πάντα οὐκ ἦν, καὶ γέγονε. Τὴν γὰρ γῆν, ὡς οὐδὲν, ἐποίησε· καὶ, « ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα· » καὶ (23) ποιήματα δέ ἐστι καὶ κτίσματα· διὰ τοῦτο γὰρ καὶ ἀρχὴν ἔχει τοῦ γενέσθαι. « Ἐν ἀρχῇ » γὰρ « ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, » καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ πάλιν (24)· « Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα. » Ὁ δὲ Υἱὸς ὢν ἐστι καὶ ἐπὶ πάντων Θεὸς, ὡς ὁ Πατήρ· καὶ B τοῦτο (25) οὕτω δέδεικται· καὶ οὐ ποιούμενός ἐστιν, ἀλλὰ ποιῶν· καὶ οὐ κτιζόμενος, ἀλλὰ κτίζων καὶ ποιῶν τὰ ἔργα τοῦ Πατρός. Δι' αὐτοῦ γὰρ οἱ αἰῶνες γεγόνασι· καὶ πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ὡς δὲ Ἀπόστολος ἐδίδαξε τὸ ἐν τῷ ψαλμῷ (26), αὐτὸς κατ' ἀρχὰς τὴν γῆν ἐθεμελίωσε, καὶ ἔργα τῶν χειρῶν αὐτοῦ εἰσιν οἱ οὐρανοί. Καὶ πάλιν τῶν κτισμάτων οὐδέν ἐστι τῇ φύσει Θεός· ἀλλ' ἕκαστον τῶν γενομένων ὃ καὶ γέγονε (27), τοῦτο καὶ ἐκλήθη· τὸ μὲν οὐρανὸς, ἄλλο δὲ γῆ (28)· καὶ οἱ μὲν φωστῆρες, τὰ δὲ ἄστρα· καὶ ἄλλα θάλασσα, καὶ ἄβυσσοι, καὶ τετράποδα· καὶ λοιπὸν, ἄνθρωπος· καὶ πρὸ τούτων ἄγγελοι, καὶ ἀρχάγγελοι (29), χερουβὶμ, σεραφὶμ, καὶ δυνάμεις, ἀρχαὶ, ἐξουσίαι, κυριότητες, παράδεισος· καὶ οὕτως ἕκαστον διαμένει. Εἰ δὲ καὶ θεοί τινες ἐκλήθησαν (30), ἀλλ' οὐ τῇ φύσει, ἀλλὰ C τῇ μετουσίᾳ τοῦ Υἱοῦ. Οὕτω γὰρ καὶ αὐτὸς εἶπεν. « Εἰ ἐκείνους εἶπεν θεοὺς, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο (31), » Διὸ, μὴ ὄντες τῇ φύσει θεοὶ, ἔστιν ὅτε τινὲς τρέπονται, ἀκούοντες· « Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου **πάντες** Ὑμεῖς δὲ, ὡς ἄνθρωποι, ἀποθνήσκετε. » Τοιοῦτος ἦν ὁ ἀκούσας· « Σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ Θεός. » Ὁ δὲ Υἱὸς Θεὸς ἀληθινός ἐστιν, ὡς ὁ Πατήρ. Ἐν αὐτῷ γάρ ἐστιν, καὶ ὁ

ut Pater, idque Paulus ex centesimo primo psalmo his verbis docet [27]: « Et tu in principio, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli : ipsi peribunt, tu autem permanebis : et omnes ut vestimentum veterascent, et velut amictum mutabis eos, et mutabuntur. Tu autem idem ipse es, et anni tui non deficient ;» et iterum [28] : « Jesus Christus heri et hodie : ipse et in sæcula. »

4. Præterea quidquid est factum, factum est cum antea nihil esset. Nam terram, quæ antea nihil erat, fecit. Et qui « vocat ea quæ non sunt, tanquam ea quæ sunt [29]. » Atqui res factæ, sunt item creatæ. Idcirco enim initium **548** exsistendi habent. Nam « in principio fecit Deus cœlum et terram [30], » necnon omnia quæ in eis sunt. Et iterum : « Manus mea fecit hæc omnia [31]. » Filius autem, ut Pater, Deus est super omnia, quod quidem probatum est ; nec est res quæ fit, sed ipse res facit : nec denique creatur, sed ipse Patris opera creat et facit. Nam per ipsum et sæcula [32] et omnia facta sunt [33], et sine ipso factum est nihil : atque, ut Apostolus ex psalmo ostendit, ipse initio terram fundavit, et opera manuum ejus sunt cœli [34]. Insuper, nulla res creata natura Deus est, sed singulæ quod factæ sunt, idipsum appellatæ sunt : hinc alia, cœlum, alia terra dicta est : aliæ, luminaria ; aliæ, astra ; aliæ, maria, abyssi et quadrupedes, aliaque, homo : ut et ante res illas angeli, archangeli, cherubim, seraphim, virtutes, principatus, potestates, dominationes, paradisus : atque ita res illæ singulæ perseverant. Quod si nonnulli dii appellati sunt : certe non ex natura, sed quod Filii participes facti sint, id nomen sunt consecuti. Sic enim ipse ait : « Si illos dixit deos, ad quos sermo Dei **factus** est [35]. » Unde quia natura non sunt dii, fit aliquando ut quidam mutentur, hæcque audiant : Ego dixi : Dii estis et filii Excelsi omnes. **Vos** autem, sicut homines, morimini [36]. » Talis ille erat cui dictum est : « Tu vero homo es, et non Deus. » At Filius, Deus verus est, non secus ac Pater. In ipso siquidem est,

[27] Hebr. I, 10-12. [28] Hebr. XIII, 8. [29] Rom. IV, 17. [30] Genes. I, 1. [31] Isa. LXVI, 2. [32] Hebr. I, 2. [33] Joan. I, 3. [34] Hebr. I, 10 ; Psal. CI, 26. [35] Joan. X, 35. [36] Psal. LXXXI, 6.

(21) Gobler. et Felc. 1, ἐκ τοῦ Δαβὶδ λαβὼν τὴν χρῆσιν. Paulo post Reg. et Seguer., διαμενεῖς, et infra, ἀλλάξεις, ubi alii et editi, διαμένεις, et ἐλλείξεις.

(22) Reg. Seguer. Gobler. et Felck. 1, omittunt Καὶ πάλιν λέγει. Mox pro Καὶ πάλιν, Reg. et Seg. habent Πάλιν τε.

(23) Sic Reg. et Seguer. In Anglic. καί deest : alii et editi δέ omittunt. Mox ibid. Reg. et Seguer., τοῦ γίνεσθαι.

(24) Πάλιν deest in Gobleriano et Felckmanni primo. Ibidem Basil., ἐποίησε τὰ πάντα. Mox Reg. et Seguer., ὧν ἐστιν ἐπὶ πάντων Θεὸς, ὡς Πατήρ.

(25) Sic Reg. Seguer. Anglic. Gobler. et Felc. 1. In aliis et editis deest τοῦτο. Ibid. Reg. et Seguer., καὶ οὐ ποιούμενος : alii et editi, ὡς οὐ, etc.

(26) Ita Reg. et Seguer. At Gobler. et Felck. 1, ὡς καὶ ὁ Ἀπόστολος ἔδειξε· Αὐτὸς κατ' ἀρχὰς, Κύριε. Alii et editi pro δέ, habent καί, et τά pro τό, et Κύριε post αὐτός, iidemque cum Goblerian. et Felc. 1, habent ἐθεμελίωσας et χειρῶν σου.

(27) Regius, Seguerianus, Goblerianus, et Felckmanni primus, καί omittunt.

(28) Sic Reg. et Seguer. Alii vero et editi. τὸ δὲ γῆ, οἱ δὲ φωστῆρες. Mox Reg. et Seguerian., θάλασσαι καὶ ἄβυσσος. Gobler. et Felckm. 1, ἄστρα καὶ θάλασσαι.

(29) Regius et Seguer. omittunt, καί et σεραφὶμ καί. In Ottob. autem deest, ἀρχάγγελοι et σεραφίμ.

(30) Sic Reg. Seguer. Goblerian. et Felc. 1, ut et legit Nannius. Alii vero et editi, Καὶ Θεοί δέ τινες. Mox Reg. et Seguer., τῇ μετουσίᾳ. At alii et editi, τῇ omittunt. Ibidem in Reg. et Seguer., καί ante αὐτός.

(31) Ita Regius et Seguerianus, ut et legitur Joan. X, 35. Cæteri et editi, τοῦ omittunt. Mox post Διό, Regius et Seguerian., καί addunt. Ibidem paulo post sic habent Basiliensis, Anglicanus, Regius et Ottobon.: ἔστιν ὅτε τινὲς τρέπονται ἀκούοντες. Gobl. vero et Felck. 1, ἔστιν ὅτε τινὲς τρέποντες ἀκούοντες. Sic item Seguerianus, sed ὅτι additum est secunda manu pro ὅτε, quod aberat. Editi, ἔστιν ὅτε τρέπονται ἀκούοντες.

et Pater in Filio, quemadmodum Joannes scripsit, uti ostensum est. David autem psallit : « Sedes tua, Deus, in sæculum sæculi. Virga æquitatis, virga regni tui [37]. » Et prophela Isaias clamat : « Laboravit Ægyptus, et negotiatio Æthiopiæ, et Sabaim viri excelsi ad te transibunt, et te sequentur vincti manicis, et adorabunt te,quia in te Deus est. Tu enim es Deus Israel, et nesciebamus [38]. » Quis vero Deus est, in quo est Deus, nisi Filius qui dicit : « Ego in Patre et Pater in me est [39] ? »

A Πατὴρ ἐν τῷ Υἱῷ (32)· καὶ ὁ μὲν Ἰωάννης ἔγραψεν, ὡς δέδεικται· ὁ δὲ Δαβὶδ ψάλλει· « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς αἰῶνα αἰῶνος (33)· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· » καὶ ὁ προφήτης δὲ Ἡσαΐας βοᾷ (34)· « Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων· καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ ἀκολουθήσουσιν οἱ ὀπίσω σου δεδεμένοι χειροπέδαις, καὶ προσκυνήσουσί σοι, ὅτι ἐν σοὶ ὁ Θεός. Σὺ γὰρ εἶ ὁ Θεὸς τοῦ Ἰσραὴλ, καὶ οὐκ ἤδειμεν· » Τίς δή ἐστιν ὁ Θεὸς, ἐν ᾧ ὁ Θεὸς, εἰ μὴ ὁ Υἱὸς ὁ λέγων· « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν (35) ; »

5. Quæ cum ita se habeant ac conscripta sint, quis non videt Filium Patri esse consubstantialem, quandoquidem nihil simile habet cum rebus creatis, sed quæcunque sunt Patris, sunt etiam Filii ? Quemadmodum enim si quam cum rebus creatis similitudidem et cognationem haberet,illis consubstantialis esset : ita quia ab iisdem secundum substantiam alius est, propriumque Patris est Verbum, nec alius ab illo est : cum item omnia quæ Patris sunt, ejusdem propria sint ; verum sane est eum Patri consubstantialem esse. Hæc siquidem fuit mens et sententia Patrum, cum in Nicæna synodo Filium consubstantialem et ex substantia Patris esse confessi sunt. Recte enim perspexerunt nullam creatam substantiam posse unquam dicere : « Omnia quæcunque habet Pater,mea 549 sunt [40]. » Nam cum exsistendi initium habeat, eam et proprie esse et semper fuisse dici nequit. Ac proinde quia hæc Filio conveniunt, et omnia, quæ Patris esse dictum est, Filii quoque sunt ; necesse est Filii substantiam non esse creatam, sed Patri consubstantialem. Unde cum alias ob causas tum certe idcirco creata dici non potest substantia, quod proprietatum Dei capax sit. Proprietates autem ejus appello, ex quibus Deus cognoscitur,ut quod sit omnipotens, quod proprie sit, quod sit immutabilis, aliaque superius dicta, ne videlicet ipse Deus rebus creatis, uti volunt insipientes, consubstantialis esse videretur, ea nempe habens quæ illæ habere possent.

5. Τίς, τούτων ὄντων καὶ γεγραμμένων, οὐ συνορᾷ, ἐπεὶ (36) τῶν μὲν κτισμάτων οὐδὲν ὅμοιον ὁ Υἱὸς ἔχει, πάντα δὲ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστιν, ὅτι ὁμοούσιος ἂν εἴη ὁ Υἱὸς τῷ Πατρί ; Ὥσπερ γὰρ, εἰ τῶν κτισμάτων τινὰ εἶχεν ὁμοιότητα καὶ πρὸς αὐτά τινα εἶχε συγγένειαν, ὁμοούσιος ἂν αὐτοῖς ἦν· οὕτως ἀλλότριος μὲν ὢν κατ' οὐσίαν τῶν γενητῶν, ἴδιος δὲ τοῦ Πατρὸς Λόγος, οὐκ (37) ἄλλος ὢν οὗτος ἐκείνου· ἐπειδὴ καὶ αὐτοῦ ἐστιν ἴδια πάντα τὰ τοῦ Πατρὸς, ὁμοούσιος εἰκότως ἂν εἴη τῷ Πατρί. Οὕτως γάρ καὶ οἱ Πατέρες νοήσαντες, ὡμολόγησαν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ ὁμοούσιον καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱόν. Συνεῖδον γὰρ καλῶς, ὅτι κτιστὴ οὐσία οὐ δύναται ἂν ποτε εἰπεῖν (38)· « Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν. » Ἀρχὴν γὰρ ἔχουσα τοῦ γίνεσθαι, οὐκ ἔχει τὸ ὢν, καὶ τὸ ἦν ἀΐδιος. Καὶ διὰ τοῦτο, ἐπειδὴ (39) ταῦτ' ἔχει ὁ Υἱὸς, καὶ πάντα δὲ τὰ προειρημένα τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστιν, ἀνάγκη μὴ (40) κτιστὴν εἶναι τὴν οὐσίαν τοῦ Υἱοῦ, ἀλλ' ὁμοούσιον τῷ Πατρί. Ἄλλως τε καὶ κατὰ τοῦτο οὐκ ἂν εἴη κτιστὴ οὐσία, δεκτικὴ τῶν ἰδίων τοῦ Θεοῦ. Ἴδια δὲ αὐτοῦ ἐστιν, ἐξ ὧν γινώσκεται ὁ (41) Θεὸς, οἷον τὸ παντοκράτωρ, τὸ ὢν, τὸ ἀναλλοίωτον, καὶ τὰ ἕτερα τὰ προειρημένα, ἵνα μὴ ὁμοούσιος τῶν κτισμάτων (42) αὐτὸς ὁ Θεὸς φαίνηται κατὰ τοὺς ἄφρονας, ἔχων ἅπερ καὶ τὰ κτίσματα ἔχειν δύναται.

6. Sic autem etiam refutari potest eorum impietas qui Dei Filium rem creatam esse pugnant.

6. Καὶ οὕτω δ' (43) ἄν τις διελέγξειε τὴν ἀσέβειαν τῶν λεγόντων κτίσμα εἶναι τὸν τοῦ Θεοῦ Λόγον. Ἡ

[37] Psal. XLIV, 7. [38] Isa. XLV, 14, 15. [39] Joan. XIV, 10. [40] Joan. XVI, 15.

(32) Sic Regius, Seguer. Goblerian. et Felc. 1. At alii et editi, γάρ ἐστιν ὁ Πατὴρ, καὶ ὁ Πατήρ, etc.

(33 Ita Regius et Seguer. et Græcus Scripturæ textus. Cæteri et editi, τὸν αἰῶνα τοῦ αἰῶνος.

(34) Goblerian. et Felck. 1, καὶ ὁ Ἡσαΐας· Ἐκοπίασεν. Ibid. Basiliens. et Anglican., ἐμπορίαι. Mox Gobler. et Felckm. 1, Σαβαείμ, ut et habet Græcus Scripturæ textus. Reg. et Seguer. Σαοαείν. Alii et editi, Σαβαίν. Item mox Reg. et Seguer., ἀκολουθήσουσί σοι ὀπίσω.

(35) Ἔστιν deest in Reg. et Seguer.

(36) Regius Seguerian. Gobler. et Felckm. 1, ὅτι ἐπὶ μὲν τῶν, etc.

(3) Ita Regius et Seguerian. At alii et editi, οὐκ omittunt. Ibidem Gobler. Felc. 1, Anglic. Regius et Seguer., οὗτος ἐκείνου. Cæteri et editi, οὗτος ἐκείνων. Mox Regius et Seguerianus, πάντα τὰ τοῦ Πατρός. Alii et editi, τά omittunt.

(38) Sic Reg. et Seguer. At in aliis et editis, ἄν deest. Paulo post Reg. Seguer. Gobler. Felck. 1 et Anglican. habent τοῦ γίνεσθαι. Cæteri et editi, τοῦ γενέσθαι.

(39) Ita Regius, Seguer. Anglic, Gobler. et Felck. primus anonymus. At alii et editio Commel., ἀΐδιος· ὁ δὲ Υἱὸς διὰ τοῦτο ἀΐδιος. Ἐπειδή, etc. Mox Gobler. et Felck. primus anonymus, et Anglic. δέ omittunt post πάντα. Ibidem Regius et Seguer., προειρημένα τοῦ Πατρός. Alii et editi, προειρημένα περὶ τοῦ Πατρός.

(40) Sic Regius, Seguer. Gobler. Felck. primus anonymus et Anglic. At alii, οὖν μή. Paulo post Anglic., Ἄλλως τε δὲ καί, etc.

(42) Ita Reg. et Seguer. In aliis et editis ὁ deest.

(42) Sic Reg. Seguer. Basil. et Anglic. At alii et editi, αὐτῶν τῶν κτισμάτων.

(43) Ita Reg. et Seguer. At alii et editi δέ omittunt. Mox Basil., τὸν τούτου Λόγον.

πίστις ἡμῶν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμά ἐστι (44), λέγοντος αὐτοῦ τοῦ Υἱοῦ τοῖς ἀποστόλοις· « Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Εἶπε δὲ οὕτως, ἵνα ἐξ ὧν οἴδαμεν, ἀπὸ τούτων νοῶμεν καὶ περὶ τῶν προειρημένων (45). Ὥσπερ οὖν οὐκ ἂν εἴποιμεν τοὺς πατέρας ποιητὰς, ἀλλὰ γεννήτορας καὶ αὐτοὺς δὲ ἡμᾶς οὐκ ἂν εἴποι τις κτίσμα πατέρων, ἀλλὰ υἱοὺς φύσει, καὶ ὁμοουσίους οὖν πατέρων· οὕτως, εἰ Πατὴρ ὁ Θεὸς, πάντως Υἱοῦ φύσει καὶ ὁμοουσίου ἐστὶ Πατήρ. Ἀβραὰμ γοῦν οὐκ ἔκτισε τὸν Ἰσαὰκ (46), ἀλλ' ἐγέννησε· Βεσελεὴλ δὲ καὶ Ἐλιὰβ οὐκ ἐγέννησαν, ἀλλ' ἐποίησαν πάντα τὰ ἔργα τὰ ἐν τῇ σκηνῇ. Καὶ ναυπηγὸς δὲ καὶ οἰκοδόμος οὐ γεννῶσιν ἃ ποιοῦσιν, ἀλλ' ἕκαστος ἐργάζεται, ὁ μὲν τὸ σκάφος, ὁ δὲ τὴν οἰκίαν. Ὁ μέντοι Ἰσαὰκ οὐ ποιεῖ, ἀλλὰ γεννᾷ φύσει καὶ ὁμοούσιον τὸν Ἰακώβ (47)· καὶ ὁ Ἰακὼβ δὲ οὕτως τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. Ὥσπερ οὖν μαίνοιτ' ἄν τις λέγων τὴν οἰκίαν ὁμοούσιον τοῦ οἰκοδόμου, καὶ τὸ σκάφος τοῦ ναυπηγοῦ, οὕτως πρεπόντως ἄν τις εἴποι πάντα Υἱὸν ὁμοούσιον εἶναι τοῦ ἑαυτοῦ Πατρός. Εἰ τοίνυν Πατήρ ἐστι καὶ Υἱὸς, ἀνάγκη τὸν Υἱὸν φύσει καὶ ἀληθείᾳ εἶναι Υἱόν (48). Τοῦτο δέ ἐστι τὸ ὁμοούσιον εἶναι τῷ Πατρὶ. ὡς ἐκ πολλῶν ἐδείχθη. Ἀμέλει περὶ μὲν τῶν ποιημάτων· « Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. » Περὶ δὲ τοῦ Υἱοῦ· « Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν. » Ὁ δὲ Δανιὴλ οἶδε Υἱὸν τοῦ Θεοῦ, οἶδε καὶ τὰ ἔργα τοῦ Θεοῦ· καὶ τὸν μὲν Υἱὸν εἶδε δροσίζοντα (49) τὴν κάμινον· περὶ δὲ τῶν ἔργων εἰρηκὼς, « Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, » ἕκαστον μὲν τῶν κτισμάτων κατέλεξε· τὸν δὲ Υἱὸν οὐ συνηρίθμησε τούτοις, εἰδὼς, ὅτι οὐκ ἔστιν ἔργον (50), ἀλλὰ δ' αὐτοῦ γέγονε μὲν τὰ ἔργα, ἐν Πατρὶ δὲ ὑμνούμενος καὶ ὑπερυψούμενός ἐστιν. Ὥσπερ (51) οὖν δι' αὐνοῦ ἀποκαλύπτεται ὁ Θεὸς τοῖς γινώσκουσιν, οὕτως δι' αὐτοῦ ἡ εὐλογία, καὶ ὁ ὕμνος, καὶ ἡ δόξα, καὶ τὸ κράτος ὁμολογεῖται τῷ Πατρὶ δι' αὐτοῦ καὶ (52) ἐν αὐτῷ, ἵνα καὶ εὐπρόσδεκτος ᾖ τοιαύτη ὁμολογία γένηται, ὡς αἱ Γραφαὶ λέγουσιν. Ἐκ πολλῶν μὲν οὖν καὶ ἐκ τούτων δέδεικται καὶ δείκνυται (53) ἀσεβὴς ὁ λέγων κτίσμα εἶναι τὸν τοῦ Θεοῦ Λόγον.

A Nempe fides nostra est in Patrem, Filium et Spiritum sanctum, ipso Filio ad apostolos dicente : « Euntes, docete omne gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [41]. » Quibus sane verbis usus est, ut ex his quæ novimus, ea quæ dicta sunt intelligeremus. Quemadmodum ergo patres non opifices sed genitores appellamus, ac proinde nemo nos a patribus creatos, sed patrum esse natura filios et consubstantiales dicere possit : ita, si Pater est Deus, profecto Pater est Filii qui sit natura filius ipsique proinde consubstantialis. Hinc Abraham non creavit sed genuit. Isaac. Beseleel autem et Eliab non genuerunt, sed fecerunt omnia opera quæ in tabernaculo erant [42]. Similiter navium et ædificiorum fabricatores non gignunt quæ faciunt : sed illi quidem navem, hi domum B construunt. Sic item Isaac non fecit, sed genuit sibi natura consubstantialem Jacob, ut et Jacob Judam ac fratres ejus. Quocirca ut is sana mente non esset, qui domum vel navem opifici esse consubstantialem diceret : its profecto fateri convenit omnem filium suo patri esse consubstantialem. Quapropter si vere et Pater et Filius est, necesse omnino est Filium natura et veritate Filium, hoc est Patri consubstantialem esse, quod quidem multis demonstratum est. Certe de operibus dicitur : « Ipse dixit, et facta sunt ; ipse mandavit, et creata sunt [43]. » De Filio autem : « Eructavit cor meum Verbum bonum [44] » Daniel quoque Filium Dei optime noverat : noverat et Dei opera. Itaque Filium quidem flammas fornacis rore irrigantem vi- C dit : at cum de operibus dixisset, « Benedicite, omnia opera Domini, Domino [45], » singulas quidem res creatas enumeravit : sed inter eas Filium minime collocavit : quippe qui non esset nescius, illum opus non esse, sed per ipsum facta esse opera, eumque in Patre laudari et superexaltari. Igitur quemadmonum Dei cognitio per ipsum Verbum habetur : ita per ipsum et in ipso benedictio, lausi gloria et potentia Patri concinitur, quo grata et accepta sit hujusmodi confessio, sicuti Scriptura testantur. Itaque cum ex multis rationibus, tum **550** ex istis perspicuum et evidens est impium eum esse quicunque Dei Verbum rem creatam esse contendit.

[41] Matth. XXVIII, 19. [42] Exod. XXXVI, 1. [43] Psal. CXLVIII, 5. [44] Psal. XLIV, 2. [45] Dan. III, 57.

(44) Sic Regius et Seguer. Cæteri vero et editi omittunt ἐστι. Mox hæc verba, τοῖς ἀποστόλοις, πορευθέντες, habentur in Regio, Seguer. Anglic. Gobler. et Felck. primo, et legit Nannius, sed desunt in aliis et editis. Ibidem Regius et Seguer., εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου, etc.

(45) Regius et Seguer., εἰρημένων, iidemque mox et Gobler. ac Felck. primus anonymus, εἴποιμεν, ubi alii et editi, εἴπωμεν. Ibidem post πατέρας, Regius et Seguer. addunt ἑαυτῶν. Ibidem Gobler. et Felck. primus, οὐκ ἂν εἴποι κτίσμα.

(46) Ita Regius, et Seguer. Gobler. et Felck. primus, ut et legit Nannius ; at alii et editi, Υἱόν. Mox Regius et Seguer., καὶ Βεσελεὴλ δέ, etc.

(47) Sic Regius, Seguer. et Anglic. At Ottobon., φύσει τὸν Ἰακὼ υἱόν. Cæteri et editio Commel., καὶ τὸν Ἰακώβ. Mox ibid. Gobler. et Felck. 1, ὁ δὲ D τὸν Ἰούδα. Ὥσπερ οὖν, etc. Regius habet quoque τὸν Ἰούδα.

(48) Sic Regius, Seguer. Gobler. Felck. 1, et Anglic., sed a tribus postremis abest ἐστι. Cæteri et editi, Υἱὸν, τουτέστιν ὁμοούσιον.

(49) Ita Regius, Seguer. Gobler. Felck. 1 et Ottobon. Cæteri autem cum editione Commel., δροσίσαντα. Ibid. Regius et Seguer., εἶδε. Alii et editi, οἶδε.

(50) Felck. 2 et editi, οὐκ ἔστι μέν, et mox, γέγονε μὲν πάντα τὰ ἔργα.

(51) Felck. 2 et editio Commel., Ὥσπερ γαρ.

(52) Editio Commel. et Felck. 2 καὶ omittunt Mox Seguer., ἵνα εὐπρόσδεκτος.

(53) Ita Reg. Seguer. Basil. et Anglic. At alii et editi omittunt καὶ δείκνυται.

7. Verum cum maxime his Proverbiorum verbis niti videantur, « Dominus creavit me initium viarum suarum in opera sua [46], » atque ad hunc modum concludant. Ecce igitur creavit, ac proinde res est creata ; e re sane fuerit ex hoc etiam loco ostendere quantum illi hallucinentur, et a scopo divinæ Scripturæ aberrent. Enimvero si Filius est, res creata ne dicatur : sed si res est creata, Filius non appelletur. Namque supra probatum est, quantum esset rei creatæ et filii discrimen. Deinde, cum initiatio sive baptismus non in nomine creatoris et rei creatæ, sed in nomine Patris et Filii perficitur, necesse est Dominum non rem creatam sed Filium vocari. At, inquiunt, an non id scriptum est? Ita sane scriptum est et necessario dictum : sed hæretici quod bene dictum est, male profecto intelligunt. Si enim Christianismi formam et characterem intelligerent cognoscerentve, Dominum gloriæ rem creatam esse nequaquam dicerent, neque quod recte scriptum est, illis instar scopuli esset. Hi igitur « nescierunt neque intellexerunt [47], » quam ob rem, uti scriptum est, « in tenebris ambulant [48]. » Verumtamen rem explicare necesse est, cum ut illi etiam hoc in loco desipere convincantur, tum ne nos ipsi refutationem illorum impietatis prætermisisse videamur, ac denique fortasse ut iidem ipsi quoque resipiscant. Is est itaque Christianæ fidei character, Filium Dei, qui Verbum Deus est (nam, « in principio erat Verbum et Deus erat Verbum [49], ») qui sapientia et virtus Patris est (Christus enim Dei virtus et Dei sapientia [50]), in fine sæculorum hominem propter nostram salutem factum esse. Joannes enim qui dixit, « In principio erat Verbum : » mox subjecit, « Et Verbum caro factum est [51], » quod idem est ac si diceret, homo factus est. Quin etiam ipse Dominus de seipso aiebat : « Quid me quæritis interficere, hominem qui veritatem vobis locutus sum [52] » Paulus vero ab eodem doctus scribit : « Unus Deus, unus et mediator Dei et hominum, homo Christus Jesus [53] : » homo, inquam, factus qui, rebus humanis optime administratis, et morte, cujus rei eramus, fugata ac destructa, jam ad dextram Patris sedet, in quo et ipse est, et Pater in ipso sicuti fuit et semper.

8. Hæc ergo vera est Christianæ fidei forma ex apostolis per Patres derivata. Cæterum qui Scripturæ lectioni vacat, perpendere et discernere debet, quandonam de divinitate Verbi loquatur, quando

A 7. Ἀλλ' ἐπειδὴ προφασίζονται τὸ ἐν ταῖς Παροιμίαις γεγραμμένον τὸ, « Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, » καὶ ἐπιλέγουσιν (54) ἑαυτοῖς· Ἰδοὺ ἔκτισε, καὶ κτίσμα ἐστίν· ἀναγκαῖόν ἐστι καὶ ἐκ τούτου δεῖξαι ὅσον πλανῶνται, μὴ εἰδότες τὸν σκοπὸν τῆς θείας Γραφῆς. Εἰ μὲν οὖν Υἱός ἐστι, μὴ λεγέσθω κτίσμα· εἰ δὲ κτίσμα, μὴ λεγέσθω Υἱός. Δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅση διαφορά ἐστι κτίσματος καὶ Υἱοῦ. Καὶ ἐπειδὴ ἡ τελείωσις οὐκ εἰς κτίστην καὶ κτίσμα (55), ἀλλ' εἰς Πατέρα καὶ Υἱὸν κρατεῖ, ἀνάγκη μὴ λέγεσθαι κτίσμα, ἀλλ' Υἱὸν τὸν Κύριον. Οὐ γέγραπται οὖν ; φησί. Ναὶ γέγραπται, καὶ ἀναγκαίως εἴρηται· ἀλλὰ κακῶς νοοῦσι τὸ καλῶς εἰρημένον οἱ αἱρετικοί. Εἰ γὰρ ἐνόουν καὶ ἐγίνωσκον τὸν χαρακτῆρα τοῦ Χριστιανισμοῦ, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἔλεγον κτίσμα εἶναι, οὐδὲ προσέκοπτον τῷ B γεγραμμένῳ καλῶς. Ἐκεῖνοι μὲν οὖν « οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· » διὰ τοῦτο, ὡς γέγραπται, « ἐν σκότῳ διαπορεύονται· » ἡμᾶς δὲ ὅμως ἀναγκαῖον εἰπεῖν, ἵν' ἐκεῖνοι μὲν καὶ ἐν τούτῳ δειχθῶσιν ἄφρονες, ἡμεῖς δὲ μὴ παραλίπωμεν τὸν κατὰ τῆς ἀσεβείας αὐτῶν ἔλεγχον, ἴσως καὶ αὐτοὶ μεταγνῶσιν. Ὁ χαρακτὴρ τοίνυν τῆς ἐν Χριστῷ πίστεώς ἐστιν οὗτος, τὸν Υἱὸν τοῦ Θεοῦ, Λόγον ὄντα Θεόν (« Ἐν ἀρχῇ γὰρ ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος »), σοφίαν ὄντα καὶ δύναμιν τοῦ Πατρός (Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία), τοῦτον ἐπὶ συντελείᾳ τῶν αἰώνων ἄνθρωπον γεγενῆσθαι (56) διὰ τὴν ἡμετέραν σωτηρίαν. Αὐτὸς γὰρ ὁ Ἰωάννης, εἰκότως, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » μετ' ὀλίγα εἶπε· « καὶ ὁ Λόγος σὰρξ ἐγένετο· » ἴσον τῷ εἰπεῖν, ἄνθρωπος γέγονε. Καὶ ὁ μὲν (57) Κύριος C περὶ ἑαυτοῦ ἔλεγε· « Τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ; » ὁ δὲ Παῦλος, παρ' αὐτοῦ μαθών, ἔλεγεν· « Εἷς Θεὸς (58), εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς· » ἄνθρωπος δὲ γενόμενος καὶ οἰκονομήσας τὰ ἀνθρώπινα, τροπώσας τε καὶ καταργήσας τὸν καθ' ἡμῶν (59) θάνατον, κάθηται νῦν ἐν δεξιᾷ τοῦ Πατρὸς, ἐν αὐτῷ ὢν, καὶ τοῦ Πατρὸς ὄντος ἐν αὐτῷ, ὥσπερ ἦν ἀεί, καὶ ἔστι διαπαντός.

8. Ὁ μὲν χαρακτὴρ οὗτος ἐκ τῶν ἀποστόλων διὰ τῶν Πατέρων· δεῖ δὲ λοιπὸν, ἐντυγχάνοντα τῇ Γραφῇ, δοκιμάζειν καὶ διακρίνειν, πότε μὲν περὶ τῆς θεότητος τοῦ Λόγου λέγει, πότε δὲ περὶ τῶν ἀνθρωπίνων αὐτοῦ·

[46] Prov. VIII, 22. [47] Psal. LXXXI, 5. [48] Joan. XII, 35. [49] Joan. I, 1. [50] I Cor. I, 24. [51] Joan. I, 14. [52] Joan. VII, 19 ; VIII, 40. [53] I Tim. II, 5.

(54) Sic Reg. Seguer. Anglic. Gobler. et Felc. 1. Cæteri vero et editio Commel., ἐπεὶ λέγουσιν. Mox Reg. et Seguer., ἔκτισε. Alii et editio Commel., ἐκτίσθη. Editio autem Paris. et Colon., κτίστης. Ibidem post ἀναγκαῖον Regius et Seguer. omittunt ἐστί.

(55) Ita Regius, Seguer. Gobler. et Felc. 1. At Ottobon., ἐκτίσθη καί, etc. Alii et editio Commel., κτίσιν καὶ κτίσμα, male.

(56) Sic Regius, Seguer. Gobler. et Felc. 1. Alii et editio Commel., γενέσθαι. Mox post σωτηρίαν Reg. et Seguer. omittunt ἐδέησεν, quæ vox ibi D in aliis et editis habetur. Ibidem iidem Reg. et Seguer., Αὐτὸς γὰρ ὁ Ἰωάννης εἰρηκὼς, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, μετ' ὀλίγα, etc. Gobler. et Felck. 1, Ἰωάννης γάρ φησι..... καὶ μετ' ὀλίγα. Alii et editi, Οὕτως γὰρ Ἰωάννης εἰρηκεν..... καὶ μετ' ὀλίγα.

(57) Reg. Seguer. Gobler. et Felck. 1 μέν omittunt. Mox in Seguer. τήν deest ante ἀλήθειαν.

(58) Gobler. et Felck. 1, ὁ δὲ Παῦλός φησιν· Εἷς Θεός, etc. Ibid. καί abest ab editione Commel.

(59) Ottobon., τὸν καθ' ἡμᾶς. Ibid. Reg. et Seguer., κάθηται νῦν, etc. Alii et editio Commel. νῦν omittunt.

ἵνα μὴ ἕτερα ἀνθ' ἑτέρων νοοῦντες παραπαίωμεν (60), δῖα πεπόνθασιν οἱ Ἀρειανοί. Ὥσπερ τοίνυν, Λόγον αὐτὸν εἰδότες, οἴδαμεν, ὅτι « δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· » καὶ, « Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· » καὶ, « Ἀποστέλλει (61) τὸν Λόγον αὐτοῦ, καὶ ἴᾶται τὰ πάντα· » καὶ σοφίαν δὲ αὐτὸν εἰδότες, οἴδαμεν, ὅτι ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, καὶ πάντα ἐν σοφίᾳ ἐποίησεν ὁ Πατήρ· καὶ Θεὸν δὲ (62) αὐτὸν εἰδότες, πεπιστεύκαμεν, ὅτι αὐτός ἐστιν ὁ Χριστός· « Ὁ θρόνος σου » γὰρ, « ὁ Θεὸς, » ᾄδει Δαβίδ, « εἰς αἰῶνα αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. » Καὶ ἐν μὲν τῷ Ἡσαΐᾳ αὐτὸς περὶ ἑαυτοῦ λέγει· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. » Ὁ δὲ Πέτρος ὡμολόγησεν, ὅτι « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » οὕτως εἰδότες αὐτὸν ἄνθρωπον γενόμενον, οὐκ ἀρνούμεθα τὰ περὶ αὐτοῦ ἀνθρωπίνως λεγόμενα, οἷα ἐστὶ νὸ πεινᾷν, νὸ διψᾷν, τὸ ῥαπισθῆναι, τὸ δακρῦσαι, τὸ κοιμηθῆναι, καὶ τέλος τῷ σταυρῷ ἀναδέξασθαι (63) τὸν ὑπὲρ ἡμῶν θάνατον· ταῦτα γὰρ πάντα περὶ αὐτοῦ γέγραπται. Οὕτως καὶ τὸ, « ἔκτισεν, » ἀνθρώποις ἁρμόζον οὐκ ἀπέκρυκεν ἡ Γραφὴ, ἀλλ' εἴρηκεν. Ἐκτίσθημεν γὰρ καὶ πεποιήμεθα οἱ ἄνθρωποι· Ἀλλ' ὥσπερ ἀκούοντες, ἐπείνασεν, ἐκοιμήθη, ἐῤῥαπίσθη, οὐκ ἀρνούμεθα (64) αὐτοῦ τὴν θεότητα· οὕτως ἀκοὺοντας τὸ, « ἔκτισεν, » ἀκόλουθον ἂν εἴη μνημονεύειν, ὅτι, Θεὸς ὤν, ἐκτίσθη ἄνθρωπος. Ἀνθρώπων γὰρ ἴδιον τὸ κτίζεσθαι, ὥσπερ καὶ τὰ προειρημένα, τὸ πεινᾷν, καὶ τὰ ὅμοια.

9. Καὶ γὰρ κἀκεῖνο πάλιν τὸ καλῶς μὲν (65) εἰρημένον, κακῶς δὲ νοούμενον παρ' αὐτοῖς· φημὶ δὴ τὸ, « Περὶ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱὸς, » καλὸν ἔχει (66) τὸν νοῦν. Ἐκεῖνοι μὲν γὰρ νομίζουσιν ἐκ τοῦ λέγειν, « οὐδὲ ὁ Υἱὸς, » ὅτι ἀγνοῶν δηλοῖ, ὅτι κτίσμα ἐστιν, Οὐκ ἔστι δὲ οὕτως· μὴ γένοιτο! καὶ γὰρ ὥσπερ λέγων (67), « Ἔκτισέ

A vero de humanis ejus actis : ne alia pro aliis intelligendo hallucinemur, quod utique Arianis accidit. Quemadmodum igitur nos qui Verbum agnoscimus, novimus quoque quod « omnia per ipsum facta sunt, et sine ipso factum est nihil [54] ; » et, « Verbo Domini cœli firmati sunt [55] ; » et, « Mittit Verbum suum et sanat omnia [56]. » Similiter illum sapientiam esse agnoscentes, Deum sapientia fundasse terram [57], et Patrem omnia in sapientia fecisse certum habemus [58]. Ipsum itidem Deum confitentes, Christum 551 esse credimus. Nam « Sedes tua, Deus, » canit Davit, « in sæculum sæculi. Virga æquitatis, virga regni tui. Delexisti justitiam et odisti iniquitatem. Propterea unxit te Deus, Deus tuus oleo lætitiæ præ consortibus tuis [59]. » Ipse vero in Isaia de seipso dicit : « Spiritus Domini B super me, cujus causa unxit me [60]. » Petrus autem confessus est, quia « Tu es Christus Filius Dei viventis [61]. « Ita, eum hominem factum esse scientes, non negamus quæ de illo humanitus sunt dicta, qualia sunt esurire, sitire, alapis percuti, lacrymari, dormire, ac demum mortem pro nobis in cruce suscipere. Hæc enim omnia de illo scripta sunt. Illud quoque verbum, « creavit, » quod quidem hominibus convenit, non reticuit Scriptura, sed expressit. Nos enim homines creati et facti sumus. Sed quemadmodum cum audimus, esurivit, dormivit, alapis percussus est, ejus divinitatem non negamus : sic cum hanc vocem, « creavit, » audimus, meminisse æquum est eum qui Deus erat, hominem creatum esse. Siquidem hominum proprium est creari, ut C et cætera supra allata, esurire et similia.

9. Istud quoque recte dictum est, quod male ab illis intelligitur, nempe, « De die autem illo vel hora nemo scit, neque angeli, neque Filius [62]. » Hæc, inquam, rectam continent sententiam. At illi ex his verbis, « neque Filius, » putant cum ille se ignorare asseverat, rem creatam se esse significare. Verum non ita est : absit! etenim quemadmodum cum

[54] Joan. I, 3. [55] Psal. XXXII, 6. [56] Psal. CVI, 20. [57] Prov. III, 19. [58] Psal. CIII, 24. [59] Psal. XLIV, 7, 8. [60] Isa. LXI, 1. [61] Matth. XVI, 16. [62] Marc. XIII, 32.

(60) Ita Regius et Seguer. Cæteri autem et editi, παραπτοαίωμεν. Ibidem Regius Seguer. Gobler. et Felck. 1, Ἀριανοί. Alii et edti, αἱρετικοί.

(61) Regius et Seguer., ἀποστελεῖ iidemque mox cum Gobler. et Felck. primo, ἰάσεται, et σοφίαν δὲ αὐτόν Alii et editi, ἀποστέλλει, ἴᾶται, et σοφίαν αὐτήν. Ibidem Gobler. et Felck. 1. ὅτι omisso, habent Ὁ Θεὸς γάρ, etc.

(62) Goblerian. et Felck. primus δέ omittunt, iidemque paulo post habent, Ὁ γὰρ θρόνος σου, φησὶ Δαυὶδ, εἰς αἰῶνα τοῦ αἰῶνος, καὶ τὰ ἑξῆς. Καὶ Ἡσαΐας· Πνεῦμα Κύριου ἐπ' ἐμέ. Ibidem sou deest in Seguer., idemque et Regius ψάλλει habet pro ᾄδει. Regius addit quoque φησί post γάρ. Item ibidem Regius et Seguer., βασιλείαι αὐαοῦ... καὶ ἐμίσησας ἀνομίαν.

(63) Gobler. et Felck. primus, τὸν σταυρὸν ἀναδέξασθαι καὶ τόν, etc. Paulo post Regius et Seguer. ἔκρυψεν, et ἐκτίσμεθα.

(64) Ita Regius, Seguer., Gobler. et Felck. primus. In aliis et editis deest οὐ. Mox Gobler. et Felc. primus, ἐπείνασε καὶ τὰ λοιπὰ οὐκ ἀρνούμεθα. Paulo post Regius, Seguer. Gobler. Felck. primus et Anglic., ουτως ἀκούοντες. Alii cum editis, οὕτως ἀκούοντας.

(65) Sic Regius, Seguer., Gobler. et Felck. pri- D mus. At alii et editi μέν omittunt. Ibidem Gobler. et Felck. primus, εἴρηται. Item ibidem Regius et Seguer. ἐκείνης habent post ἡμέρας, non post ὥρας.

(66) Ita Regius, Seguer., Basil., et Anglic. At alii et editio Commel., ἔχειν. Ibidem post μέν Regius et Seguer. γάρ addunt : alii et editi omittunt. Mox pro δηλοῖ, ὅτι, Reg. Seguer. Gobler. et Felck. 1 et Anglic. habent δηλονότι.

(67) Sic Regius, Seguer. Gobler. et Felck. primus. At alii et editi, ὡς. Mox hæc verba, οὕτως λέγων, οὐδὲ Υἱὸς, ἀνθρωπίνως εἰρηκε, desunt in Basil. Felck. 2, et editione Commel,, ut ea quæ paulo post sequuntur, Οὐ γὰρ γινώσκουσινο, ἐὰν μὴ ἀκούσωσι καὶ μάθωσι. Vox autem, ἀκούσωσι, abest a Gobler. Felck. primo et Anglic. Hæc item verba, ὡς

ad patres vestros [1]. » Et ad Timotheum hæc scribit: « Spiritus autem manifeste dicit, quia in novissimis temporibus discedent quidem a sana fide, attendentes spiritibus erroris [2]. » Quocirca cum Spiritus dicitur in aliquo esse. Verbum in ipso dans Spiritum intelligitur. Hinc cum impleretur prophetia, quæ dicit: « Effundam de Spiritu meo super omnem carnem [3], » Paulus ait, « Secundum subministrationem Spiritus Jesu Christi in me [4]. » Et ad Corinthios idem scribit: « An experimentum quæritis ejus qui in me loquitur Christus [5]? » Si porro Christus erat qui in eo loquebatur, manifestum est Christi fuisse Spiritum qui in illo loquebatur. Etenim cum Christus in Actis in ipso loqueretur, rursus ille dicebat: « et nunc ecce alligatus ego Spiritu, vado in Jerusalem, quæ in ea ventura sunt mihi ignorans, nisi quod Spiritus sanctus per civitates protestatur migi dicens, quoniam vincula et tribulationes me manent [6]. » Unde cum sancti dicunt, *Hæc dicit Dominus*, non aliter sane quam in Spiritu sancto loquuntur; et in Spiritu loquentes, in Christo hæc eadem loquuuntur. Quod si Agabus in Actis dicat, « Hæc dicit Spiritus sanctus [7], » non aliter item intelligendus est quam quod, cum ad ipsum factum fuisset Verbum, Spiritus suggerebat quæ in eo loqueretur, ut et quæ Paulo Jerosolymis ventura erant denuntiaret. Profecto cum Spiritus Paulo iterum protestaretur, ipse Christus in eo loquebatur; ita ut Spiritus testimonium sit quoque Verbi testimonium. Sic etiam cum Verbum in sanctam virginem Mariam advenit, simul quoque affuit Spiritus, et Verbum in Spiritu sibi ipsi

[1] Act. xxviii, 25. [2] 1 Tim. iv, 1. [3] Joel ii, 28. [4] Philipp. i, 19. [5] II Cor. xiii, 3. [6] Act. xx, 22, 23. [7] Act. xxi, 11.

(76) Sic Reg. 1, Seguer. Basil. Gobler. Felc. 1, quibus consonant mss. codices Novi Testamenti Alexandrinus et Oxoniensis unus. Videtur tamen corruptus esse locus, transpositaque verba, ac omissa præpositio διά, forteque possit ita restitui: ὁ διὰ Πνεύματος ἁγίου διὰ στόματος τοῦ πατρὸς ἡμῶν Δαβὶδ, etc. Mira autem hoc in loco est varietas mss. codicum Novi Testamenti, ut patet ex editione Oxoniensi 1675. Alii enim sic habent: ὁ Πνεύματι ἁγίῳ διὰ τοῦ πατρὸς ἡμῶν Δαβὶδ, etc. Alii ὃ ἐν Πνεύματι ἁγίῳ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου, etc. Alii post παιδός σου habent, ἐν Πνεύματι ἁγίῳ. Cantabrigiensis, ὁ διὰ Πνεύματος ἁγίου διὰ τοῦ στόματος λαλήσας Δαβὶδ τοῦ παιδός σου. Vulgata versio habet ut hic vertimus. Ottobon. sic habet ἐν αὐτοῖς, ἡμῶν διὰ Πνεύματος ἁγίου στόματος Δαβὶδ παιδός σου. Cæterum alii mss. et editi hunc S. Athanasii locum sic exhibent: ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών. Aliam autem lectionem, licet paulum corrupta videatur, selegimus, cum quia plures et melioris notæ mss. codices eam habent; tum quia constat S. Athanasium nomen *S. Spiritus* hic non omisisse, cum hunc ipsum locum afferat ad probandum Deum in prophetis per Spiritum S. locutum fuisse. Reg. 1, Seguerian. et Basil. ante παιδός, art. τοῦ omittunt.

(77) Primus codex Regius et Seguerianus, μέν post ἐν habent: alii et editi minus bene post ὁ. Ibid. Goblerian. et Felc. 1, anon. προσελθοῦσι Ἰουδαίοις λέγων.

Quid enim Deo deerat, ut quidquam diversæ substantiæ assumeret, et cum illo glorificaretur? Absit! Non ita se res habet. « Plenus sum [10], » ait ipse. Idcirco ipse Dominus cum nomine Patris sui illum **556** copulavit; ut ostenderet, non ex diversis, id est ex creatore et creatura, sanctam trinitatem constare; sed unam ejus divinitatem esse. Hoc eum didicisset Paulus, docebat unam esse, quæ in ipsa (Trinitate) daretur, gratiam, dicens: « Unus Dominus, una fides, unum baptisma [11]. » Ut autem unum baptisma, sic et una fides. Qui enim credit in Patrem, novit in Patre Filium, et Spiritum non extra Filium: et ideo credit et in Filium et in Spiritum sanctum; quandoquidem una est Trinitatis divinitas, quæ ex uno Patre cognoscitur.

7. Hæc est catholicæ fidei forma. Qui autem blasphemant in Spiritum, et dicunt ipsum esse creaturam, si ex iis quæ dicta sunt non resipiscunt, vel ex iis quæ dicenda sunt pudore afficiantur. Si Trinitas est et in Trinitate sita est fides, dicant num semper Trinitas fuerit, vel an fuerit cum non esset Trinitas. Si itaque sempiterna est Trinitas, non ergo creata res est Spiritus, qui semper Verbo coexsistit in ipsoque est. Nam erat cum creaturæ non essent. Quod si creatura est, cum creaturæ sint ex non exstantibus, palam est fuisse cum non esset Trinitas, sed dualitas: quo quid magis impium quis dixerit? Ex mutatione et profectu dicunt constare Trinitatem, ac dualitatem quidem esse, sed exspectare creaturæ productionem, ut cum Patre et Filio copuletur et fiat Trinitas. Absit ut quid hujusmodi vel in mentem unquam Christianorum cadat. Quemadmodum enim Filius cum semper sit, non est creatura; sic quoniam semper est Trinitas, in ea nulla est creatura, atque adeo non est creatura Spiritus. Sicut enim semper fuit, ita et nunc est: et sicut nunc est, ita semper fuit, estque Trinitas, et in ipsa Pater, Filius, et Spiritus sanctus. Et unus est Deus Pater, qui est super omnia, et per omnia, et in omnibus; qui est benedictus in sæcula. Amen. Ego quidem, ut significasti, hæc paucis conscripta ad te misi. Tu vero prudens cum sis, si quid in his deerit, id, quæso, suppleas, et domesticis fidei legas; eos autem, qui per contentionem blasphemant, redarguito. Fortasse vel sero tandem resipiscentes, ante insitum errorem abstergent ab anima sua. E re enim fuerit eorum, ut scriptum est, resilire, nec comperendinare: ne si permaneant,

[10] Isa. I, 11. [11] Ephes. IV, 5.

A ἀνόμοιος ἑαυτῇ ἡ Τριάς, ξένου τινὸς καὶ ἀλλοτρίου συνταξομένου αὐτῇ. Τί γὰρ ἔλειπε (16) τῷ Θεῷ, ἵνα ἀλλοτριοούσιον προσλάβηται, καὶ σὺν αὐτῷ δοξάζηται; Μὴ γένοιτο! Οὐκ ἔστιν οὕτως. « Πλήρης, » αὐτὸς εἶπε, « εἰμί. » Διὰ τοῦτο αὐτὸς ὁ Κύριος τῷ ὀνόματι τοῦ Πατρὸς (17) αὐτὸ συνέταξεν· ἵνα δείξῃ, ὅτι οὐκ ἐκ διαφόρων, τουτέστιν ἐκ κτίστου καὶ κτίσματος, συνέστηκεν ἡ ἁγία Τριάς· ἀλλὰ μία ταύτης ἡ θεότης ἐστί. Τοῦτο μαθὼν ὁ Παῦλος, ἐδίδασκε μίαν εἶναι τὴν ἐν αὐτῇ διδομένην χάριν, λέγων· « Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. » Ὥσπερ δὲ ἓν βάπτισμα, οὕτως καὶ μία πίστις· ὁ γὰρ πιστεύων εἰς τὸν Πατέρα οἶδεν ἐν τῷ Πατρὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα, οὐκ ἐκτὸς τοῦ Υἱοῦ· καὶ διὰ τοῦτο πιστεύει καὶ (18) εἰς τὸν Υἱὸν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ἐπειδὴ καὶ μία τῆς Τριάδος ἡ θεότης, ἐξ ἑνὸς τοῦ Πατρὸς γινωσκομένη.

B 7. Τῆς μὲν οὖν (19) καθολικῆς πίστεως ὁ χαρακτὴρ οὗτος. Οἱ δὲ δυσφημοῦντες εἰς τὸ Πνεῦμα, καὶ λέγοντες αὐτὸ κτίσμα, εἰ μὴ ἐκ τῶν εἰρημένων μεταγινώσκουσι, κἂν ἐκ τῶν λεχθησομένων αἰσχυνόμενοι καταδυέτωσαν. Εἰ Τριάς ἐστι, καὶ ἐν Τριάδι ἐστὶν ἡ πίστις, εἰπάτωσαν, εἰ ἀεὶ Τριάς ἐστιν, ἢ ἦν, ὅτε οὐκ ἦν Τριάς. Εἰ μὲν οὖν ἀΐδιός ἐστιν ἡ Τριάς, οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀϊδίως συνὸν τῷ Λόγῳ καὶ ἐν αὐτῷ ὄν. Τὰ γὰρ κτίσματα ἦν, ὅτε οὐκ ἦν. Εἰ δὲ κτίσμα ἐστί, τὰ δὲ κτίσματα ἐξ οὐκ ὄντων ἐστί, δῆλον, ὅτι ἦν, ὅτε οὐκ ἦν Τριάς (20), ἀλλὰ δυάς. Καὶ τί τούτου ἀσεβέστερον ἄν τις εἴποι; Ἐκ μεταβολῆς καὶ προκοπῆς λέγουσι συνίστασθαι τὴν Τριάδα, καὶ δυάδα μὲν εἶναι, ἐκδέχεσθαι δὲ κτίσματος γένεσιν, ἵνα μετὰ Πατρὸς καὶ Υἱοῦ συνταχθῇ καὶ γένηται ἡ Τριάς. Μὴ C γένοιτο κἂν εἰς νοῦν ποτε ἐλθεῖν Χριστιανῶν τὸ τοιοῦτον! Ὥσπερ γὰρ ἀεὶ ὢν ὁ Υἱὸς οὐκ ἔστι κτίσμα, οὕτως ἀεὶ οὔσης τῆς Τριάδος, οὐδέν ἐστιν ἐν αὐτῇ κτίσμα· διὸ οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα. Ὡς γὰρ ἀεὶ ἦν, οὕτως ἐστὶ καὶ νῦν· καὶ ὡς νῦν ἐστιν, οὕτως ἀεὶ ἦν, καὶ ἔστιν ἡ Τριάς, καὶ ἐν αὐτῇ Πατήρ, καὶ Υἱὸς, καὶ Πνεῦμα ἅγιον. Καὶ εἷς Θεὸς (21) ὁ Πατὴρ ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσι, ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἐγὼ μὲν οὖν, ὡς ἐδήλωσας, δι' ὀλίγων καὶ ταῦτα καταγράψας (22) ἀπέστειλα· σὺ δὲ ὡς συνετὸς, εἴ τι καὶ ἐν τούτοις λείπει, θέλησον πληρῶσαι· καὶ τοῖς μὲν οἰκείοις τῆς πίστεως ἀνάγνωθι, τοὺς δὲ φιλονεικοῦντας δυσρημεῖν ἔλεγχε· τάχα κἂν ὀψέ ποτε μεταγνόντες, ἀπονίψωσιν ἀπὸ τῆς ψυχῆς ἑαυτῶν τὴν (23) προγενομένην ἐν αὐ- D τοῖς κακόνοιαν. Καλὸν γὰρ αὐτοὺς, κατὰ τὸ γεγραμμένον, ἀποπηδῆσαι καὶ μὴ ἐγχρονίσαι· ἵνα μὴ ἐπιμένοντες ἀκούσωσι τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου·

(16) Reg. et Seguer., ἔλειπε. Editi, ἔλιπε.

(17) Ita Reg. Seguer. et Basil., recte. Editi vero, αὐτοῦ. Paulo post editi cum quibusdam mss. habent τοῦ ante κτίστου, sed articulus deest in Regio, Segueriano et Basiliensi. Ibid. καὶ deest in Gobleriano et Felckm. primo.

(18) Sic Reg. et Seguer. In editis et aliis καὶ deest. Mox Regius et Seguer., ἐπειδή. Editi et alii, ἐπεί.

(19) Οὖν deest in Basiliensi, et mox articulus ὁ in Regio.

(20) In editis art. ἡ ante Τριάς legitur. Sed deest in Regio.

(21) Sic Gobler. et Felck. 1. In editis et cæteris mss., εἷς ὁ Θεός. Mox ὁ ante ἐπὶ πάντων desideratur in editis, sed habetur in Reg. et Seguer.

(22) Gobler. et Felck. 1, γράψας.

(23) Sic Regius, Seguer. Gobler. et Felckm. 1. Editi vero, αὐτῶν.

« Ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ (24), οὔτε ἐν τῷ μέλλοντι.

audiant quod dictum est a Domino : « Quicunque dixerit verbum contra Spiritum sanctum non remittetur ei, neque in hoc sæculo, neque in futuro [12]. »

—

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΣΕΡΑΠΙΩΝΑ ΟΜΟΙΩΣ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ (25).

EJUSDEM AD EUMDEM SERAPIONEM EPISTOLA ITEM DE SANCTO SPIRITU.

Ἐνέτυχον καὶ τῇ νῦν γραφείσῃ παρὰ τῆς σῆς εὐλαβείας ἐπιστολῇ, καὶ πάνυ θαυμάσας τὴν ἀναίδειαν τῶν αἱρετικῶν, συνεῖδον, ὡς οὐδὲν οὕτως ἁρμόζει περὶ αὐτῶν εἰπεῖν ἢ τὸ τοῦ Ἀποστόλου παράγγελμα· « Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. » Διεστραμμένην γὰρ (26) ἔχων τὴν διάνοιαν, οὐχ ἵν' ἀκούσας πεισθῇ, οὐδ' ἵνα μαθὼν μεταγνῷ, πυνθάνεται, ἀλλ' ἕνεκά γε τῶν ἀπατηθέντων παρ' αὐτοῦ, μὴ ἄρα σιωπήσας καταγνωσθῇ καὶ παρ' αὐτῶν. Ἥρκει οὖν τὰ προειρημένα· ἤρκει, τοσαύτας ἀποδείξεις λαβόντας αὐτοὺς, παύσασθαι τῆς κατὰ τοῦ ἁγίου Πνεύματος δυσφημίας. Ἀλλ' οὐκ ἠρκέσθησαν (27)· πάλιν δὲ ἀναιδεύονται, ἵνα δείξωσιν, ὅτι λογομαχεῖν μελετήσαντες, καὶ λοιπὸν Πνευματομαχοῦντες, ἔσονται μετ' ὀλίγον νεκροὶ τῇ ἀλογίᾳ. Ἀμέλει κἂν ἀποκρίνηταί τις καὶ πρὸς τὰς νῦν αὐτῶν ἐρωτήσεις, οὐδὲν ἧττον ἐφευρεταὶ κακῶν ἔσονται· μόνον ἵνα ζητοῦντες μὴ εὕρωσιν, ἢ ἀκούσαντες (24) μὴ νοήσωσιν. Οἷαι δὲ αὐτῶν αἱ σοφαὶ ἐρωτήσεις; Εἰ οὐκ ἔστι κτίσμα τὸ ἅγιον Πνεῦμα, οὐκοῦν, φασὶν, Υἱός ἐστι, καὶ ἀδελφοὶ δύο ὁ Λόγος καὶ αὐτός (29). Εἶτα ἐπιλέγουσιν, ὡς γράφεις. Εἰ ἐκ τοῦ Υἱοῦ λήψεται τὸ Πνεῦμα, καὶ παρ' αὐτοῦ δίδοται (οὕτως γὰρ γέγραπται), εὐθὺς ἐπάγουσιν· Οὐκοῦν πάππος ὁ Πατὴρ, καὶ ἔκγονόν (30) ἐστιν αὐτοῦ τὸ Πνεῦμα.

1. Legi epistolam a tua pietate modo scriptam, vehementerque admiratus hæreticorum impudentiam, animadverti nihil æque illis convenire ac Apostoli præceptum : « Hæreticum hominem, post unam et secundam correctionem, devita; sciens quia subversus est, qui ejusmodi est, et delinquit, cum sit proprio judicio condemnatus [13]. » Perversam enim mentem cum habeat, non ideo sciscitatur ut cum audierit obtemperet, neque ut cum didicerit, resipiscat; sed eorum causa quos ipse decepit, ne scilicet, si taceat, ab ipsis quoque damnetur. Erant sane quæ prius dicta sunt satis : sufficiebant illa tot tantaque argumenta sibi opposita, ut finem facerent blasphemandi in Spiritum sanctum. Verum non sat illis fuit, sed rursum impudenter sese gerunt, ut hinc palam faciant se exercitatos ad pugnandum **557** cum verbo, tandemque Spiritum sanctum oppuguantes, brevi fore insipientia sua mortuos, Profecto etiam si quis ad hujusmodi rerum interrogationes respondeat, nihilo minus malis excogitandis incumbent, eo solum ut quærentes non inveniant, vel audientes non intelligant. Cujusmodo porro sunt callidæ ipsorum interrogationes? Si Spiritus sanctus non sit creatura, ergo, aiunt, Filius est, et fratres duo sunt Verbum atque ipse. Postea subsumunt, ut scribis : Si Spiritus sanctus a Filio accipiet, et ab ipso datur (ita enim scriptum est), et protinus inferunt : ergo avus est Pater, et nepos est Spiritus.

2. Τίς, τούτων ἀκούων, ἔτι Χριστιανοὺς, καὶ οὐ μᾶλλον Ἕλληνας αὐτοὺς νομίσει; Τοιαῦτα γὰρ Ἕλληνες καθ' ἡμῶν ὁμιλοῦσιν ἑαυτοῖς. Τίς ἀποκρίνασθαι θελήσει πρὸς τὴν τοιαύτην ἀφροσύνην αὐτῶν; Ἐγὼ γοῦν, πολλὰ λογισάμενος, καὶ ζητῶν ἁρμόζουσαν πρὸς αὐτοὺς ἀπόκρισιν, οὐδεμίαν εὗρον ἢ τὴν πρὸς τοὺς Φαρισαίους τότε γενομένην. Ὡς γὰρ ἐκείνους, κακοήθως ἐρωτήσαντας ἀντηρώτησεν ὁ Σωτὴρ, ἵν' αἴσθωνται τῆς ἰδίας κακονοίας, οὕτως, ἐπειδὴ καὶ οὗτοι (31) τοιαυτα ἐρωτῶσιν, εἰπάτωσαν ἡμῖν αὐτοὶ, μᾶλλον δὲ ἀποκρινάσθωσαν ἐρωτώμενοι ὡς ἐρωτῶσιν (32). Ἐπειδὴ γὰρ, λέγοντες, τὰς παρ' αὐτῶν ἐφευρέσεις οὐ νοοῦσι τάχα, κἂν ἀκούοντες, ἐπιγνῶσι τὴν ἑαυτῶν ἀφροσύ-

2. Quis hæc audiens, Christianos, et non potius paganos illos existimabit? Nam talis pagani adversum nos inter se colloquuntur. Quis volet ad ejusmodi illorum insaniam respondere? Mihi sane multa mecum reputanti, ac quærenti congruentem illis responsionem, nulla occurrit præter illam quæ tuno Pharisæis data est. Quemadmodum enim eos malo animo sciscitatos, vicissim Servator interrogavit, ut menti suæ perversitatem ipsi sentirent, sic quoniam et isti talia percontantur, dicant nobis ipsi, vel potius respondeant interrogati, quemadmodum ipsi interrogant. Quandoquidem enim, dum loquuntur, inventa non intelligunt sua, fortasse vel au-

[12] Matth. XII, 32. [13] Tit. III, 10.

(24) Τούτῳ deest in Basil.

(25) In titulo Regio et Seguer., Σαραπίωνα. Ibidem ὁμοίως abest a Basil.

(26) Sic Reg. et Basil., sed in editis γάρ deest.

(27) Ita Reg. Seguer. Basil. et Gobler. Editi vero, mendose, ἠρκίσθησαν.

(28) Basil., ἀκούοντες. Paulo post Reg. et Seg., τὸ ἅγιον Πνεῦμα. Editi. τὸ Πνεῦμα τὸ ἅγιον.

(29) Regius, Seguerian. Basili, καὶ αὐτός. Editi vero. καὶ τὸ Πνεῦμα.

(30) Ita Regius et editi. Seguer., ἔγγονον, Gobler. et Felc. 1, ἔγγονος.

(31) Οὗτοι deest in Gobler. et Felc. 1. Mox ante αὐτοί in editis οἱ legebatur, sed deest in Reg. Seg. Gobler. et Felc. 1.

(32) Sic Regius et Seguer. In editis vero et cæteris hæc, ὡς ἐρωτῶσιν, desiderantur. Mox Regius, Seguerianus, Basiliensis τὰς παρ' αὐτῶν. Editi, τὰς

dientes, insaniam suam agnoscent. Si Spiritus sanctus non est creatura, ut in superioribus demonstratum est, sed in Deo est,et ex Deo datur : ergo filius est ipse,et duo sunt fratres ipse et Filius : et si Filii est Spiritus, atque a Filio omnia accipit Spiritus,ut ait ipse, et : « Cum insufflasset dedit illum discipulis [14] : » nam et vos fatemini : ergo avus est Pater et nepos ejus est Spiritus. Quæ enim sciscitentes a nobis quæritis, de iisdem vos, et ex iisdem interrogari æquum est. Quod si quæ scripta sunt negatis, non ultra Christiani dicendi estis, et par est ut nos, utpote Christianos, interrogetis. Sin eadem quæ nos legitis, necesse est vos quoque de iisdem sic a nobis interrogari. Dicite igitur et ne cunctemini, an Filius est Spiritus, et avus Pater? Quod si ratiocinantes, ut Pharisæi illi, dixeritis apud vosmetipsos : Si dicamus, Filius est, auliemus : Ubinam id scriptum est? Sin dixerimus, Non est Filius,timemus ne dicant nobis : Cur ergo scriptum est « Nos non spiritum mundi accepimus, sed Spiritum qui ex Deo est [15] »? Sin autem apud vos ipsos decertantes, vos quoque dicatis : Nescimus; consentaneum est et eum quem de re ejusmodi interrogastis, silere, obtemperantem ei qui dicit : « Ne respondeas stulto juxta stultitiam suam, ne efficiaris ei similis : sed responde stulto juxta stultitiam suam, ne sibi sapiens esse videatur [16]. » Responsio autem quæ vobis maxime convenit, est silentium; ut vestram ignorantiam deprehendatis.

3. Rursum igitur æquum est ex iis quæ vos affertis,vos sic interrogare. Quandoquidem prophetæ in Spiritu Dei loquuntur, et in Isaia Spiritus sanctus prophetat, ut in superioribus demonstratum est : ergo Spiritus est Verbum Dei, duoque Verba sunt, Spiritus videlicet et Filius. Etenim prophetæ tunc prophetabant, quando Verbum Dei ad illos fiebat. Ad hæc, quandoquidem omnia per Verbum facta sunt, et sine **558** ipso factum est nihil [17], et : « Deus sapientia fundavit terram [18], » et omnia in sapientia facit [19] : scriptumque est (ut in superioribus declaratum est) : « Emittes Spiritum tuum et creabuntur [20] : » ergo aut Spiritus Verbum est aut in duobus fecit Deus omnia, in Sapientia et in Spiritu; et cur, quæso, Paulus ait : « Unus Deus ex quo omnia,et unus Dominus per quem omnia [21]? » Iterumque : « Cum Filius sit imago Patris invisi-

A νην (33). Εἰ μὴ κτίσμα ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται, ἀλλ' ἐν τῷ Θεῷ ἐστι, καὶ ἐκ τοῦ Θεοῦ δίδοται· οὐκοῦν υἱός ἐστι καὶ αὐτὸ, καὶ δύο ἀδελφοὶ, αὐτό τε καὶ ὁ Υἱός· καὶ εἰ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα, καὶ παρὰ τοῦ Υἱοῦ πάντα δέχεται τὸ Πνεῦμα, ὡς αὐτὸς εἴρηκε, καὶ « ἐμφυσήσας δέδωκεν αὐτὸ (34) τοῖς μαθηταῖς » (ὁμολογεῖτε γὰρ ταῦτα καὶ ὑμεῖς), οὐκοῦν πάππος ἐστὶν ὁ Πατὴρ, καὶ ἔκγονον αὐτοῦ ἐστι τὸ Πνεῦμα. Ἅπερ γὰρ ἐρωτῶντες ἀπαιτεῖτε παρ' ἡμῶν, τὰ αὐτὰ καὶ ὑμᾶς ἐκ τῶν αὐτῶν ἐρωτᾶσθαι δίκαιον. Εἰ μὲν οὖν ἀρνεῖσθε τὰ γεγραμμένα, οὐκ ἔτι μὲν (35) ὑμεῖς Χριστιανοὶ λεχθείητε ἂν· δίκαιον δὲ ἡμᾶς τοὺς Χριστιανοὺς ἐρωτᾶσθαι παρ' ὑμῶν· εἰ δὲ τὰ αὐτὰ ἡμῖν ἀναγινώσκετε, ἀνάγκη καὶ ὑμᾶς περὶ τῶν αὐτῶν οὕτως ἐρωτᾶσθαι παρ' ἡμῶν.

B Εἴπατε (36) τοίνυν, καὶ μὴ μέλλετε, εἰ Υἱός ἐστι τὸ Πνεῦμα, καὶ πάππος ὁ Πατήρ. Ἂν δὲ διαλογιζόμενοι, ὡς οἱ τότε Φαρισαῖοι πεποιήκασιν, εἴπητε καὶ ὑμεῖς πρὸς ἑαυτούς. Ἐὰν εἴπωμεν, ὅτι Υἱός ἐστιν, ἀκουσόμεθα· Ποῦ γέγραπται; ἐὰν δὲ εἴπωμεν· Οὐκ ἔστιν Υἱὸς, φοβούμεθα μὴ εἴπωσιν ἡμῖν. Πῶς οὖν γέγραπται « Ἡμεῖς οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα (37) τὸ ἐκ τοῦ Θεοῦ »; Τοιαῦτα δὲ διαμαχόμενοι πρὸς ἑαυτοὺς, ἐὰν εἴπητε καὶ ὑμεῖς. Οὐκ οἴδαμεν, ἀνάγκη καὶ τὸν ἐρωτώμενον τοιαῦτα παρ' ὑμῶν σιωπᾷν, πειθόμενον τῷ λέγοντι· « Μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ (38)· ἀλλ' ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ. » Ἀπόκρισις δὲ ὑμῖν (39) ἁρμόζουσα μᾶλιστα ἡ σιωπή· ἵνα τὴν ἑαυτῶν ἄγνοιαν ἐπιγνῶτε.

C 3. Πάλιν οὖν ἐκ τῶν ὑμῶν δίκαιον ὑμᾶς οὕτως ἐρωτᾶσθαι. Ἐπειδὴ οἱ προφῆται ἐν τῷ Πνεύματι τοῦ Θεοῦ λαλοῦσι, καὶ ἐν τῷ Ἡσαΐᾳ τὸ Πνεῦμα τὸ ἅγιον προφητεύει, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται, οὐκοῦν καὶ τὸ Πνεῦμα Λόγος ἐστὶ τοῦ Θεοῦ (40) καὶ δύο εἰσὶ Λόγοι, τό τε Πνεῦμα καὶ ὁ Υἱός. Καὶ γὰρ οἱ προφῆται τότε ἐπροφήτευον, ὅτε ἐγίνετο ὁ Λόγος τοῦ Θεοῦ πρὸς αὐτούς. Καὶ ἔτι πρὸς τούτοις, ἐπειδὴ (41) πάντα διὰ τοῦ Λόγου ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, καὶ « ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, » καὶ πάντα ἐν σοφίᾳ ἐποίησε (γέγραπται δὲ, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται· « Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται), οὐκοῦν ἢ τὸ Πνεῦμα ὁ Λόγος ἐστὶν, ἢ ἐν δυσὶ πεποίηκεν ὁ Θεὸς τὰ πάντα, ἔν τε τῇ Σοφίᾳ καὶ τῷ Πνεύματι. Καὶ πῶς ὁ Παῦλός φησιν « Εἷς Θεός, D ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος, δι' οὗ τὰ πάντα »; Καὶ πάλιν· « Ἐπειδὴ ὁ Υἱὸς εἰκών ἐστι τοῦ Πατρὸς τοῦ

[14] Joan. xx. 22. [15] I Cor. II, 12. [16] Prov. xxvi, 4. [17] Joan. I, 3. [18] Prov. III, 19. [19] Psal. CIII, 24. [20] ibid. 30. [21] I Cor. VIII, 6.

ἑαυτῶν. Infra Seguerianus quem sequimur οὐκοῦν. Editi vero et alii sic, οὐκ οὖν, et ita inferius aliquoties.

(33) Hæc confer cum superioribus Epist. 1,n.15.

(34) Αὐτὸ abest a Gobler. et Felc. 1. Mox Reg.et Seguer., ὑμεῖς, recte. Editi, ἡμεῖς. Paulo post Seguer. Basil. Gobler. et Felc. 1, ἔγγονον. Ibidem a Seguer. Goblerian. et Felc. 1 ἐστι abest.

(35) Μὲ deest in Oobler. et Felc. 1.

(36) Εἴπατε πρὸς αὐτούς· Ἐὰν εἴπ. Sic Gobler. et Felckm. 1, omissis intermediis. Mox in Regio ὅτι deest. Ibid. Seguerian., ὁ Υἱός ἐστιν.

(37) Τὸ Πνεῦμα deest in Gobler. et Felckm. 1.

(38) Sic Reg. et Seguer. Editi vero, αὐτοῦ. Ibid. Goblerian. et Felc. 1, ἀλλ' ἀκορίνου πρὸς τήν.

(39) Regius et Seguerian., ὑμῖν, recte. Editi vero ὑμῶν.

(40) Τοῦ Θεοῦ abest Gobler. et Felc. 1.

(41) Gobler. et Felc. 4, ἐπεί.

ἀοράτου, » ἔστι δὲ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ (γέγραπται γάρ· « Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ »), οὐκοῦν κατὰ τοῦτο πάππος ὁ Πατήρ. Καὶ ἐπειδὴ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· « Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, » φησὶν ὁ Υἱὸς, « ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου· » οὐκοῦν καὶ οὕτω (42) πάππος ὁ Πατήρ. Τί πρὸς ταῦτα, καίτοι πάντα λέγοντες εὐχερῶς ; Τί διαλογίζεσθε πρὸς ἑαυτούς ; Ἢ ὁρῶντες ἑαυτοὺς ἀπορουμένους, μέμφεσθε (43) τὰς τοιαύτας ἐρωτήσεις ; Ἀλλὰ πρότερον ἑαυτῶν κατάγνωτε (ὑμεῖς γὰρ τοιαῦτα ἐρωτᾶν εἰώθατε), καὶ πείθεσθε ταῖς Γραφαῖς, καὶ ἀπορουμένοις εἰπεῖν, μάθετε λοιπόν· Υἱὸς μὲν ἐν ταῖς Γραφαῖς τὸ Πνεῦμα οὐκ ὠνομάσθη, ἀλλὰ Πνεῦμα ἅγιον καὶ Πνεῦμα τοῦ Θεοῦ. Ὥσπερ δὲ οὐκ ὠνομάσθη Υἱὸς τὸ Πνεῦμα, οὕτως οὐδὲ περὶ τοῦ Υἱοῦ γέγραπται, ὅτι αὐτός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον. Ἆρ' οὖν, ἐπειδὴ (44) οὐκ ὠνομάσθη Υἱὸς τὸ Πνεῦμα, οὐδ' ὅτι Υἱός ἐστι τὸ Πνεῦμα, διαφωνεῖ τῆς ἀληθείας ἡ πίστις; Μὴ γένοιτο! Ἀλλὰ καὶ μᾶλλον ἕκαστον τῶν σημαινομένων ἔχει τὴν ἰδίαν γνῶσιν. Καὶ γὰρ ὁ Υἱὸς ἴδιον τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Πατρός ἐστι γέννημα, καὶ τοῦτο ἔχει τὸ σημαινόμενον. Καὶ (45) τὸ Πνεῦμα δὲ λεγόμενον τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ ὄν, οὐ ξένον ἐστὶ τῆς τοῦ Υἱοῦ φύσεως, οὔτε τῆς τοῦ Πατρὸς θεότητος. Διὰ τοῦτο γὰρ ἐν Τριάδι, ἐν Πατρὶ, καὶ ἐν (45*) Υἱῷ, καὶ ἐν αὐτῷ τῷ Πνεύματι, μία θεότης ἐστὶ, καὶ ἐν αὐτῇ τῇ Τριάδι ἓν ἐστι τὸ βάπτισμα, καὶ μία ἡ πίστις. Ἀμέλει τοῦ Πατρὸς πέμποντος τὸ Πνεῦμα, ὁ Υἱὸς ἐμφυσῶν δίδωσιν αὐτὸ τοῖς μαθηταῖς· ἐπειδὴ « πάντα ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ ἐστι. » Καὶ (46) τοῦ Λόγου γινομένου ἐν τοῖς προφήταις, αὐτοὶ τῷ Πνεύματι ἐπροφήτευον, ὡς γέγραπται καὶ δέδεικται· « Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. »

4. Οὕτως οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀλλ' ἴδιον τῆς τοῦ Λόγου οὐσίας, ἴδιον καὶ τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ λέγεται εἶναι. Πάλιν γὰρ τὰ αὐτὰ λέγειν οὐκ ὀκνητέον. Εἰ καὶ Υἱὸς οὐκ ὠνομάσθη τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐκ ἔστιν ἐκτὸς τοῦ Υἱοῦ· Πνεῦμα γὰρ υἱοθεσίας εἴρηται· καὶ ἐπειδὴ « Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, » ἀκολούθως εἴρηται περὶ τοῦ Πνεύματος· « Πνεῦμα σοφίας, καὶ Πνεῦμα δυνάμεώς ἐστι. » Τοῦ γὰρ Πνεύματος μετέχοντες, ἔχομεν τὸν Υἱὸν, καὶ τὸν Υἱὸν ἔχοντες, ἔχομεν τὸ Πνεῦμα, κράζον ἐν ταῖς καρδίαις ἡμῶν, » Ἀββᾶ ὁ Πατὴρ, « ὡς ὁ Παῦλος (47) εἴρηκεν. Εἰ δ' ὅτι τὸ Πνεῦμά ἐστι τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ εἶναι γέγραπται· « Τὰ τοῦ Θεοῦ γὰρ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ· » καὶ ὁ Υἱὸς δὲ εἴρηκεν· « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· » διὰ τί τὸ αὐτὸ ὄνομα οὐκ ἔστι τούτῳ (48)

bilis [22], » est autem Spiritus imago Filii, scriptum est enim : « Quos præscivit et prædestinavit conformes fieri imaginis Filii sui [23] : » igitur hac ratione avus est Pater. Et quoniam Filius quidem in nomine Patris venit : « Spiritus autem sanctus, » ait Filius, « quem mittet Pater in nomine meo [24]:» ergo et hoc quoque modo avus est Pater. Quid ad hæc responsuri estis, licet omnia temere dicatis? Quid ratiocinamini apud vosmetipsos ? An cum advertatis vos hæsitare, ejusmodi quæstiones reprehenditis ? Sed prius vos ipsos coarguite (nam talia quærere consuevistis) Scripturisque obtemperate, et cum non suppetant quæ respondeatis, discite posthac, Spiritum in Scripturis nunquam vocatum esse Filium, sed Spiritum sanctum, et Spiritum Dei. Quemadmodum autem Spiritus non vocatus est Filius; sic neque de Filio scriptum est : Ipse est Spiritus sanctus. Num igitur quia Spiritus non vocatus est Filius, et Filius non est Spiritus, ideo dissentit a veritate fides? Absit! Quin potius unumquodque eorum quæ indicantur, habet propriam significationem. Etenim Filius substantiæ ac naturæ Patris propria est proles, et hoc revera significat : item, Spiritus qui Dei dicitur, et in ipso est, non alienus est a Filii natura, nec a Patris divinitate. Ideo enim in Trinitate, scilicet in Patre et in Filio et in ipso Spiritu sancto una est divinitas, et in ipsa Trinitate unum est baptisma, et una fides. Nimirum Patre mittente Spiritum, Filius insufflans dat illum discipulis [25] : quoniam «Omnia quæcunque habet Pater, Filii sunt [26]. » Et cum Verbum in prophetis fieret, ipsi in Spiritu prophetabant, ut scriptum ac demonstratum est : « Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum [27]. »

4. Itaque non creata res est Spiritus : sed Verbi substantiæ proprius, Dei item proprius, et in ipso esse dicitur. Rursum eadem ipsa dicere non pigeat. Tametsi Spiritus sanctus non vocatus est Filius, non tamen est extra Filium; Spiritus namque adoptionis dictus est; et quia « Christus Dei virtus et Dei sapientia est [28], » congruenter de Spiritu sancto dictum est, « Spiritus sapientiæ et Spiritus virtutis est [29]. » Cum enim participes sumus Spiritus, Filium habemus, et Filium habentes, habemus et Spiritum clamantem in cordibus nostris, « Abba Pater [30], » ut loquitur Paulus. Quod si quia Spiritus est Dei, et in ipso esse scriptum est : nam « Quæ Dei sunt, nemo cognovit, nisi Spiritus Dei, qui in ipso est [31]. » Filius item dixit : « Ego in Patre et Pater in me [32] : » quare non huic atque illi

[22] Coloss. I, 15. [23] Rom. VIII, 29. [24] Joan. XIV, 26. [25] Joan. XX, 22. [26] Joan. XVI, 15. [27] Psal. XXXII, 6. [28] I Cor. I, 24. [29] Isa. XI, 2. [30] Galat. IV, 6. [31] I Cor. II, 11. [32] Joan. XIV, 10.

(42) Ita Reg. et Seguer. Editi vero, οὕτως.
(43) Goblerian. et Felc. 1, μὴ μέμφεσθε.
(44) Goblerian. et Felc. 1, ἐπεί.
(45) In Goblerian. et Felc. 1, καί deest.
(45*) Ἐν deest in Gobleriano et Felckmanni 1, et inferius, ἐν αὐτῷ.
(46) Καί deest in edit. Paris., sed habetur in edit. Commel. et in omnibus codicibus. Infra καί ante τῷ Λόγῳ deest in Goblerian. et Felc. 1.
(47) Hæc, ὡς ὁ Παῦλος εἴρηκεν, desunt in Gobler. et Felc. primo.
(48) Sic Regius, Seguerianus, Basil., et ita legerat Nannius. Editi vero, οὐκ ἔστιν ἀμφοτέροις.

idem nomen est, sed hic quidem Filius, ille Spiritus dicitur? Si quis hoc modo sciscitetur is profecto insanierit, cum inscrutabilia scrutetur, et Apostolo non obtemperet, qui ait : « Quis enim novit sensum Domini? aut quis consiliarius ejus fuit[34]? » Alioqui quibus Deus nomen indidit, quis nomen mutare audebit? alias rebus ille quoque creatis vocabula attribuat. Dicant, quodoquidem creatura eodem nutu facta est, **559** cur hic, sol; illud, cœlum; illud, terra, mare et aer? Sin insanis illis hoc impossibile videatur, singula enim manent ut facta sunt; multo magis quæ sunt supra creatas res, æternam habent perseverantiam : nec aliter sunt, quam ut Pater est Pater, et non avus : et Filius est Dei Filius, et non Pater Spiritus : et Spiritus sanctus est Spiritus sanctus, et non Patris nepos, nec Filii frater.

5. His ita commonstratis, is sane insanierit qui interrogarit, num Spiritus quoque sit Filius. Ne tamen quia ita scriptum non est, ideo quis eum ex Dei natura et proprietate eximat; sed uti scriptum est, credat et ne dicat : Quare sic et non sic? ne talia cogitans incipiat meditari ac dicere : Ubinam est ergo Deus, et quomodo est? ac postea audiat : « Dixit insipiens in corde suo : Non est Deus[35]. » Nam quæ fide traduntur, cognitionem habent non curiose perscrutandam. Certe cum discipuli audissent, « baptizantes eos in nomine Patris et Filii et Spiritus sancti[36], » non curiose inquirebant, cur secundo Filius, et tertio Spiritus, aut cur omnino Trinitas : sed prout audierant, crediderunt. Neque sciscitabantur sicuti vos : Ergone Spiritus est Filius? Neque cum Dominus post Filium nominaret Spiritum, interrogabant : Ergo avus est Pater? Non enim audierant, in nomine avi, sed in nomine Patris; hancque fidem probe ratiocinati prædicaverunt ubique. Non enim aliter loquendum fuit, quam dixerat Salvator : se quidem Filium, illum vero Spiritum sanctum. Neque immutandi erant, secus quam ordine juncti fuerant, ut neque Pater. Quemadmodum enim non licet aliter de illo loqui, quam quod Pater sit; ita impium fuerit interrogare, an Filius sit Spiritus, aut Spiritus Filius. Hac de causa Sabellius alienus ab Ecclesia judicatus est, ausus tribuere Patri nomen Filii, ac Filio nomen Patris. An itaque post hæc ausit quispiam audiens Filium et Spiritum dicere : Avus ergo est Pater, aut Filius est Spiritus? Imo audebunt Eunomii, Eudoxii et Eusebii. Cum

καὶ τούτῳ, ἀλλ' ὁ μὲν Υἱὸς, τὸ δὲ Πνεῦμα; Ἂν τις οὕτως ἐρωτᾷ, μαίνοιτο ἂν ὁ τοιοῦτος, ἐρευνῶν τὰ ἀνερεύνητα, καὶ παρακούων τοῦ Ἀποστόλου, λέγοντος· « Τίς γὰρ (49) ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » Ἄλλως τε ἃ ὁ Θεὸς ὠνόμασε, τίς μετονομάσαι τολμήσει; ἐπεὶ εἰς τὰ τῆς κτίσεως ἐπιχορηγείτω. Εἰπάτωσαν, ἐπειδὴ ἡ κτίσις τῷ αὐτῷ νεύματι γέγονε, διὰ τί ὁ μὲν ἥλιος, ὁ δὲ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ἀὴρ (50); Εἰ δὲ ἀδύνατον τοῦτό γε τοῖς ἄφροσι (γένει γὰρ ἕκαστον, ὡς γέγονε), πολλῷ μᾶλλον τὰ ἄνω τῆς κτίσεως ἀΐδιον ἔχει τὴν διαμονὴν, καὶ οὐκ ἔστιν ἄλλως, ἢ ὡς ἐστιν ὁ Πατὴρ Πατὴρ, καὶ οὐ πάππος, καὶ ὁ Υἱὸς Υἱός ἐστι τοῦ Θεοῦ, καὶ οὐ Πατὴρ τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα ἅγιον, καὶ οὐκ ἔγγονον (51) τοῦ Πατρὸς, οὐδὲ ἀδελφὸς τοῦ Υἱοῦ.

5. Τούτων οὕτω δεικνυμένων, μαίνοιτ' ἄν τις ἐρωτῶν, Υἱὸς οὖν ἐστι καὶ τὸ Πνεῦμα; Μηδὲ, ἐπειδὴ μὴ γέγραπται οὕτω, διὰ τοῦτο ἐξαιρείτω τις αὐτὸ τῆς τοῦ Θεοῦ φύσεως καὶ ἰδιότητος· ἀλλ' ὡς γέγραπται, πιστευέτω καὶ μὴ (52) λεγέτω· Διὰ τί οὕτως καὶ μὴ οὕτως; ἵνα μὴ τοιαῦτα διαλογιζόμενος, ἄρξηται μελετᾷν καὶ λέγειν· Ποῦ οὖν ἐστιν ὁ Θεὸς, καὶ πῶς ἐστι; καὶ λοιπὸν ἀκούσει· « Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός· » Τὰ γὰρ τῇ πίστει παραδιδόμενα ἀπεριέργαστον ἔχει τὴν γνῶσιν. Οἱ γοῦν (53) μαθηταὶ, ἀκούσαντες, « βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, » οὐ περιειργάσαντο, διὰ τί δεύτερον ὁ Υἱὸς, καὶ τρίτον τὸ Πνεῦμα, ἢ διὰ τί ὅλως Τριάς· ἀλλ' ὡς ἤκουσαν, ἐπίστευσαν· καὶ οὐχ ὥσπερ ὑμεῖς ἠρώτησαν· Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα; Οὐδὲ, εἰπόντος τοῦ Κυρίου μετὰ τὸν Υἱὸν τὸ Πνεῦμα, ἠρώτησαν· Πάππος οὖν ὁ Πατήρ; Οὐ γὰρ ἤκουσαν εἰς ὄνομα πάππου, ἀλλ' εἰς ὄνομα Πατρὸς (54), καὶ ταύτην τὴν πίστιν ἐκήρυξαν πανταχοῦ, λογισάμενοι ὀρθῶς. Οὐ γὰρ ἦν ἄλλως εἰπεῖν, ἢ ὡς εἴρηκεν ὁ Σωτὴρ· ἐαυτὸν μὲν Υἱὸν, τὸ δὲ Πνεῦμα ἅγιον· οὐδ' ἐναλλάξαι (55) θέμις ἢ ὡς συντέτακται, ὥσπερ καὶ ἐπὶ τοῦ Πατρός. Ὡς γὰρ οὐκ ἔξεστιν ἄλλως εἰπεῖν περὶ αὐτοῦ, ἢ ὅτι Πατὴρ, οὕτως ἀσεβὲς ἐρωτᾷν, εἰ Υἱός (56) ἐστι τὸ Πνεῦμα, ἢ τὸ Πνεῦμα Υἱός. Διὰ τοῦτο Σαβέλλιος (57) ἀλλότριος τῆς Ἐκκλησίας ἐκρίθη, τολμήσας εἰπεῖν ἐπὶ τοῦ Πατρὸς το Υἱὸς, καὶ ἐπὶ τοῦ Υἱοῦ τὸ τοῦ Πατρὸς (58) ὄνομα. Ἆρ' οὖν ἔτι μετὰ ταῦτα τολμήσει τις ἀκούων Υἱὸν καὶ Πνεῦμα εἰπεῖν· Πάππος οὖν ὁ Πατὴρ, ἢ Υἱὸς οὖν (59) τὸ Πνεῦμα; Ναὶ τολμήσουσιν

[34] Rom. xi, 34. [35] Psal. xiii, 1. [36] Matth. xxviii, 19.

(49) Γάρ deest in Goblerian. et Felc. 1.

(50) Gobler. et Felck. primus, ὁ δὲ οὐρανὸς, γῆ, θάλασσα, ἀὴρ. Mox Reg. et Seguer., τοῖς ἄφροσιν. Editi, ἔμφροσιν. Paulo post, ἀΐδιον deest in Gobler. et Felckmanni primo.

(51) Seguerian Gobler. et Felc. 1, ἔγγονον : alii, ἔκγονον.

(52) Μή deest in Basil.

(53) Sic Reg. et Seguer. Editi, Εἰ γοῦν, male.

(54) Sic Regius, Seguerian. Basil. Editi vero, τοῦ Πατρός.

(55) Ita Regius, et Seguer. Editi autem, οὐδὲν ἀλλάξαι. Paulo post Regius et Seguerian., οὐκ ἔξεστιν Editi, οὐκ ἔστιν.

(56) Sic Reg. Seguerian. et Basiliens. Editi vero, ἢ Υἱός.

(57) Reg. et Seguer. ad marg., περὶ Σαβελλίου.

(58) Regius et Seguerian., Πατρός. Editi, Πνεύματος. Mox ετι deest in Goblerian. et Felckm. 1.

(59) Οὖν deest in Seguer. solo. Ibidem Regius et Seguerian., Ναὶ τολμήσουσιν, recte. Editi, καὶ τολμήσουσιν. Mox καί ante Εὐδόξιοι deest in Goblerian. et Felckman. 1. Infra Reg. et Seguer., παύσουσι. Editi, παύσωσι. Ibidem Reg. et Seguer., γλῶτταν.

Εὐνόμιοι, καὶ Εὐδόξιοι, καὶ Εὐσέβιοι (60). Ἅπαξ γὰρ ὑποκρινόμενοι τὴν Ἀρειανὴν αἵρεσιν, οὐ μὴ παύσουσι τὴν ἑαυτῶν γλῶσσαν ἀπὸ ἀσεβείας. Τίς γὰρ αὐτοῖς παρέδωκε ταῦτα; Τίς ὁ διδάξας; Ἀλλ' οὐδεὶς ἐκ τῶν θείων Γραφῶν· ἐκ δὲ τοῦ περισσεύματος τῆς καρδίας αὐτῶν ἐξῆλθεν ἡ τοιαύτη παραφροσύνη.

6. Εἰ γὰρ, ἐπεὶ μὴ κτίσμα ἐστὶ τὸ Πνεῦμα (τοῦτο γὰρ ἐδείχθη), ἐρωτᾶτε, Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα; ὥρα, μαθόντας ὑμᾶς, ὅτι μὴ κτίσμα ἐστὶν ὁ Υἱὸς (διὰ τούτου (61) γὰρ τὰ γενητὰ ἐκτίσθη). ἐρωτᾷτε, Πατὴρ οὖν ἐστιν ὁ Υἱός; Ἢ καὶ οὕτως· Τὸ Πνεῦμα οὖν ἐστιν ὁ Υἱὸς, καὶ ὁ Υἱὸς αὐτός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον; Τοιαῦτα δὲ λογιζόμενοι, ἔξω μὲν τῆς ἁγίας Τριάδος ἔσονται, ἄθεοι δὲ κριθήσονται (62), ἀλλάσσοντες τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· μεταφέροντές τε αὐτὸ, ὡς θέλουσιν, ἐν ὁμοιώματι γενέσεως ἀνθρωπίνης, ἔκγονα (63) καὶ πάππους ὀνομάζοντες, καὶ τὴν Ἑλλήνων θεογονίαν ἑαυτοῖς ἀναπλασσόμενοι. Οὐκ ἔστι δὲ αὕτη τῆς Ἐκκλησίας ἡ πίστις, ἀλλ' ὡς εἶπεν ὁ Σωτὴρ, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· Πατέρα μέντοι, οὐ δυνάμενον λέγεσθαι πάππον, καὶ Υἱὸν οὐ δυνάμενον λέγεσθαι Πατέρα, καὶ Πνεῦμα ἅγιον οὐκ ἄλλως ἢ οὕτως ὀνομαζόμενον. Ἐπὶ ταύτης τῆς πίστεως οὐκ ἔστιν ἐναλλὰξ εἰπεῖν· ἀλλ' ἀεὶ ὁ Πατὴρ Πατήρ ἐστι, καὶ ὁ (64) Υἱὸς ἀεὶ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀεὶ Πνεῦμα ἅγιόν ἐστι καὶ λέγεται. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων, οὐκ ἔστιν οὕτως, κἂν οἱ Ἀρειανοὶ τοιαῦτα φαντάζωνται (65). Ὡς γὰρ γέγραπται, « Οὐχ ὡς ἄνθρωπος ὁ Θεός, » οὕτως ἄν τις εἴποι, οὐχ ὡς Θεὸς οἱ ἄνθρωποι. Ἐπὶ γὰρ τῶν ἀνθρώπων, οὐκ ἔστιν ὁ πατὴρ ἀεὶ πατὴρ, οὐδὲ ὁ υἱὸς ἀεὶ υἱός. Ὁ γὰρ αὐτὸς πατὴρ μὲν υἱοῦ γίνεται, αὐτὸς δὲ ἑτέρου γέγονεν υἱὸς, καὶ ὁ υἱὸς πατρὸς ὢν υἱὸς, ἄλλου (66) γίνεται πατήρ. Ἀβραὰμ γοῦν υἱὸς ὢν τοῦ Ναχὼρ (67), πατὴρ γέγονε τοῦ Ἰσαάκ· καὶ Ἰσαὰκ δὲ υἱὸς ὢν τοῦ Ἀβραὰμ, πατὴρ γέγονε τοῦ Ἰακώβ. Ἕκαστος γὰρ, μέρος ὢν τοῦ γονέως, γεννᾶται μὲν υἱὸς, γίνεται δὲ καὶ αὐτὸς ἑτέρου πατήρ. Ἐπὶ δὲ τῆς θεότητος οὐχ οὕτως, ἐπεὶ μὴ ὡς ἄνθρωπος ὁ Θεός. Ὁ γοῦν Πατὴρ οὐκ ἐκ Πατρός ἐστι· διὸ οὐδὲ γεννᾷ τὸν γενησόμενον ἑτέρου Πατέρα· οὐδὲ ὁ Υἱὸς μέρος ἐστὶ τοῦ Πατρὸς, διὸ οὐδὲ γέννημά ἐστιν εἰς τὸ γεννᾶν Υἱόν. Ὅθεν ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως (68) καὶ μόνος Πατὴρ ὤν, ἔστι καὶ ἦν καὶ ἀεί ἐστι. Καὶ ὁ Υἱὸς κυρίως, καὶ μόνος Υἱός ἐστι Καὶ ἐπὶ τούτων ἔστηκε τὸ, ὁ Πατὴρ ἀεὶ Πατὴρ, καὶ τὸ, Υἱὸς ἀεὶ Υἱὸς, εἶναί τε καὶ λέγεσθαι· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἀεί ἐστι· καὶ τοῦτο τοῦ Θεοῦ εἶναι, καὶ παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ δίδοσθαι πεπιστεύκαμεν.

enim semel Arianæ hæresis histriones effecti sint, nunquam cohibebunt linguam suam ab impietate. Quis enim hæc ipsis tradidit? Quis docuit? Nemo sane ex divinis Scripturis. Sed ex abundantia cordis eorum hujusmodi stultitia prodiit.

6. Si enim, quoniam creatura non est Filius (illud enim commonstratum est), interrogatis, Ergone Filius est Spiritus? Restat vos qui didicistis Filium non esse creaturam (per eum namque creaturæ conditæ sunt) interrogare, Pater ergo est Filius? Aut sic: Spiritus ergo est Filius, et Filius ipse est Spiritus sanctus? Cum autem talia cogitent et extra sanctam Trinitatem erunt, et athei judicabuntur, quod immutent nomen Patris et Filii et Spiritus sancti, transferentque illud suo arbitratu in similitudinem generationis humanæ: quod nepotes avosque nominent, ac deorum generationem, quemadmodum gentiles, effingant. Non est autem hæc Ecclesiæ fides, sed ut ait Salvator, in Patrem et Filium et Spiritum sanctum: Patrem scilicet qui non possit avus vocari, Filium qui non possit dici Pater, et Spiritum sanctum non alio quam hoc nomine appellatum. De hac fide 560 non licet varie loqui: sed semper Pater Pater est, et Filius semper Filius, et Spiritus sanctus semper est diciturque Spiritus sanctus. In rebus enim humanis non ita se res habet, quamvis Ariani talia comminiscantur. Nam quemadmodum scriptum est, « Non ut homo, Deus [36], » ita dixerit aliquis, non ut Deus homines. Apud homines enim pater non semper pater est, neque filius semper filius. Nam ipse quidem filii pater efficitur, sed alterius ipse filius exstitit. Et filius cum sit patris filius alterius pater efficitur. Abraham igitur filius cum esset Nachoris, pater factus est Isaac; et Isaac cum esset filius Abrahæ, pater fuit Jacob. Unusquisque enim cum sit pars parentis, nascitur quidem filius, efficitur autem et ipse alterius pater. In divinitate vero non sic, quoniam non sicut homo Deus. Pater itaque non ex Patre est: ideoque non gignit eum qui futurus sit alterius Pater; neque Filius pars est Patris, quapropter non est fetus ad generandum filium. Unde in deitate sola, Pater proprie, solusque Pater cum sit, est et fuit et semper erit. Et Filius proprie et solus Filius est. In his enim constat illud, Patrem semper Patrem et Filium semper Filium esse ac dici; Spiritum sanctum semper Spiritum sanctum esse; et hunc Dei esse, et a Patre per Filium dari credimus. Sic enim sancta Trinitas invariabilis permanet, in una deitate cognita. Itaque qui interrogat: Ergone Filius est Spi-

[36] Num. XXIII, 19.

(60) Idem, περὶ Εὐνομίου, Εὐδοξίου, καὶ Εὐσεβίου.

(61) Seguerianus, διὰ τοῦτο. Mox idem et Reg., τὰ γονητά. Editi, τὰ γεννητά.

(62) Gobler. et Felc. 1, κριθοῖεν.

(63) Regius, Seguerian. Goblerian. et Felck. 1, ἔγγονα. Editi, ἔκγονα.

(64) Ὁ absest a Goblerian. et Felc. 1.

(65) Sic Regius, Seguer. et Basiliens. Editi, φαντάζονται.

(66) Sic Regius et Seguerian. Editi vero, ἀλλ' οὐ, male. Mox Regius et Seguerianus, γοῦν. Editi, οὖν. Paulo post δέ post Ἰσαάκ decst in editis, sed legitur in Reg. et Seguer.

(67) Memoriæ lapsu ponitur pro Thare Nachor.

(68) Κυρ.ως deest in Gobler. et Felckm. 1.

ritus? ita ille comminiscitur quasi nomen mutari possit, atque sua sponte insanit. Et qui interrogat : Ergone avus est Pater? nomen Patri excogitans, errat corde. Cæterum posthac ad hæreticorum impudentiam respondere non est tutum : id enim est pugnare adversus apostolicam anmonitionem [37] ; sed potius, ut præcipit ipse, consulere par est.

A Οὕτω γὰρ ἡ ἁγία Τριὰς ἀναλλοίωτος διαμένει, ἐν μιᾷ θεότητι γινωσκομένη. Οὐκοῦν ὁ ἐρωτῶν, Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα ; ὡς δυναμένου τοῦ ὀνόματος ἀλλάσσεσθαι, φαντάζεται, καὶ μανίαν ἑαυτῷ περιποιεῖται. Καὶ ὁ ἐρωτῶν δὲ, πάππος οὖν ἐστιν ὁ Πατήρ, ἐπινοῶν ὄνομα τῷ Πατρὶ, πλανᾶται τῇ καρδίᾳ. Ἀποκρίνασθαι μὲν οὖν ἔτι πρὸς τὴν ἀναίδειαν τῶν αἱρετικῶν οὐκ ἀσφαλές· μάχεσθαι γάρ ἐστι (69) τῇ ἀποστολικῇ παραινέσει· συμβουλεύειν δὲ μᾶλλον, ὡς παρήγγειλεν αὐτὸς, καλόν.

7. Hæc sint ad vestram confutandam stultiloquentiam satis. Ne amplius illudatis deitati. Illudentibus enim mos est ea sciscitari quæ scripta non sunt, ac dicere : Ergone filius est Spiritus, et avus est Pater? Ita irrident episcopi Cæsareæ et Scythopolis. Sufficit vos credere Spiritum non esse creaturam, sed Spiritum esse Dei, et in ipso Trinitatem Patrem et Filium et Spiritum sanctum. Neque Patris nomine Filius vocandus est ; neque licet dicere Spiritum sanctum esse ipsum Filium; neque Filium esse ipsum Spiritum sanctum. Sed ita se res habet quemadmodum dictum est, et una est in hac Trinitate divinitas et una fides, et unum baptisma est quod in illa datur, et initiatio una in Christo Jesu Domino nostro per quem et cum quo Patri gloria et imperium cum sancto Spiritu in omnia sæcula sæculorum. Amen.

7. Ἀρκεῖ ταῦτα πρὸς ἔλεγχον τῆς μωρολογίας ὑμῶν. Μηκέτι παίζετε εἰς τὴν θεότητα. Παιζόντων γὰρ ἴδιον ἐρωτᾷν τὰ μὴ γεγραμμένα καὶ λέγειν· Οὐκοῦν Υἱός ἐστι τὸ Πνεῦμα καὶ πάππος ὁ Πατήρ ; Οὕτω γελῶσιν ὁ ἐν Καισαρείᾳ καὶ ὁ ἐν τῇ Σκυθοπόλει (70). Ἀρκεῖ πιστεύειν ὑμᾶς, ὅτι οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀλλὰ Πνεῦμα τοῦ Θεοῦ ἐστι, καὶ ἐν αὐτῷ B Τριὰς, Πατὴρ, καὶ Υἱὸς (71), καὶ Πνεῦμα ἅγιον. Καὶ οὔτε τὸ Πατὴρ ὄνομα ἐπὶ Υἱοῦ ὀνομάζειν χρὴ, οὔτε τὸ Πνεῦμα λέγειν ἔξεστιν αὐτὸ εἶναι τὸν Υἱὸν, οὔτε τὸν Υἱὸν αὐτὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' οὕτως ἐστὶν, ὡς εἴρηται, καὶ μία ἡ ἐν ταύτῃ τῇ Τριάδι θεότης ἐστὶ, καὶ μία πίστις, καὶ ἓν βάπτισμά ἐστιν, ἐν αὐτῇ διδόμενον, καὶ ἡ τελείωσις μία, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ (72) μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. De quo autem scripsisti mihi evangelico dicto, veniam habe, dilecte, probo affectus animo. Vereor enim id vel ullatenus aggredi ; ne, si in dictum illud mentem quasi demersero, scrutarique cœpero, non valeam profundum ejus intellectum exhaurire. Tacere **561** igitur de illo omnino statueram, his prioribus contentus scriptis. At veritus ne iterum hac de re scribere contendas, vim mihi ipse intuli, ut vel mediocrem quam de illo didici sententiam perscriberem ; quod sperem, si scopum attingamus, docentis gratia, rem tibi probatam fore ; sin aberremus, non reprehensurum te, cui cum affectus no-

8. Περὶ δὲ (73) οὗ γράφων ἐδήλωσας εὐαγγελικοῦ ῥητοῦ, συγγίνωσκε, ἀγαπητὲ, συνείδησιν ἔχων ἀγαθήν. Δέδια γὰρ κἂν ὅλως προσελθεῖν αὐτῷ (74)· μὴ καὶ, δύνας εἰς αὐτὸ τῷ λογισμῷ, καὶ ἀρξάμενος ἐρευνᾶν, ἀτονήσω τὴν ἐν αὐτῷ βαθεῖαν διάνοιαν ἐλκῦσαι. Σιωπῆσαι γοῦν περὶ τούτου τέλεον ἐβουλόμην, C καὶ μόνον ἀρκεσθῆναι τούτοις τοῖς (75) ἔμπροσθεν γράμμασι. Στοχαζόμενος δὲ μὴ ἄρα καὶ δεύτερον περὶ τούτου γράψαι φιλονεικήσῃς, ἐβιασάμην ἐμαυτὸν, ἣν ἔχω μαθὼν (76), περὶ αὐτοῦ μετρίαν διάνοιαν γράψαι· θαρρῶν, ὡς, τυχόντας μὲν ἡμᾶς τοῦ σκοποῦ, ἀποδέξῃ διὰ τὸν διδάξαντα· μὴ τυχόντας δὲ, οὐ

[37] Tit. III, 10.

(69) Ἐστι deest in Gobler. et Felc. 1. Infra post ἀρκεῖ, in editis γάρ legitur, sed cum desit in Reg. Seguer. Basil., optimis scilicet mss., omissum est.

(70) Reg. et Seguer., περὶ Εὐσεβίου καὶ Πατροφίλου, male de Eusebio qui jamdiu obierat.

(71) Sic Regius et Seguerian. recte. Editi, ὁ Υἱός. D Infra iidem cum Basil., αὐτὸ εἶναι τὸν Υἱόν. Editi, αὐτόν, etc.

(72) Hæc, δι' οὗ, etc., ad finem usque absunt a Gobler. et Felc. 1, Paulo post Regius, εἰς τοὺς αἰῶνας, omisso σύμπαντας.

(73) Hæc, Περὶ δέ, etc., consequenter annecti debent, ut et codices Regius et Seguerianus habent, et particula adversativa δὲ suadetur. In editis primo tomo quasi peculiaris tractatus posita erant sub hoc titulo : Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου· « Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι, » qui titulus iisdem verbis habetur in Basiliensi et Anglicano. Goblerianus et Felc. primus sic ad modum tituli habent Πρὸς τὸν αὐτὸν Σεραπίωνα. In Felc. secundo, nihil pro titulo habetur. Regius autem ad margine habet Περὶ εὐαγγελικοῦ ῥητοῦ. Seguerianus ad marginem item, Τοῦ αὐτοῦ περὶ τοῦ εὐαγγελικοῦ ῥητοῦ, ἤτοι τῆς εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίας. Porro hæc subtexit Athanasius, ut Serapioni morem gereret, qui postularat ut dictum illud evangelicum, quo clauserat epistolam tertiam ad se scriptam, explanaret sibi.

(74) Sic edit. Commel. Regius, Seguer. Basiliens. Anglic. et Felckm. secundus. Edit. vero Paris. Gobler. et Felc. 1, δέδοικα. Paulo post, edit. Commel., μὴ καὶ, ἐνδύνας. Edit. Paris., μὴ ἐνδύνας. Regius et Seguerian., μὴ καὶ δύνας. Gobler. et Felc. 1, μὴ δύνας. Ibidem Reg. et Seguer. soli, εἰς αὐτά. Ibidem Gobler. et Felck. 1, τῷ λογικῷ. Mox Reg. et Seguerian., τὴν ἐν αὐτῷ διάνοιαν ἀνελκῦσαι. Gobler. et Felc. 1, τὴν ἑαυτῷ διάνοιαν ἀνελκῦσαι.

(75) Regius et Seguer., τούτοις τοῖς. Goblerian., τούτους τοῖς. In editis τοῖς solum.

(76) In Reg. et Seguer. μαθὼν deest.

μέμψῃ, γινώσκων τὴν ἡμετέραν προθυμίαν (77) τε καὶ ἀσθένειαν. Τὸ μὲν οὖν ῥητόν ἐστιν, ὅτε, Τοσούτων σημείων γινομένων ἐν τῷ Εὐαγγελίῳ, οἱ μὲν Φαρισαῖοι ἔλεγον· « Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων· ὁ δὲ Κύριος, εἰδὼς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται. » Καὶ εἰρηκώς· « Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ· » λοιπὸν ἐπιφέρει· « Διὰ τοῦτο λέγω ὑμῖν (78), Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται ὑμῖν τοῖς ἀνθρώποις· ἡ δὲ εἰς τὸ Πνεῦμα (79) βλασφημία οὐκ ἀφεθήσεται· καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι. » Σὺ δὲ ἐζήτεις, τί δήποτε ἡ μὲν εἰς τὸν Υἱὸν βλασφημία ἀφίεται, ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι (80);

A ster, tum nostra infirmitas non ignota est. Dictum igitur ejusmodi est : Cum post tot signa in Evangelio narrata, hæc Pharisæi loquerentur : « Hic non ejicit dæmonia nisi in Beelzebub principe dæmoniorum : Dominus sciens cogitationes eorum,dixit eis : Omne regnum divisum contra se desolabitur. » Et cum dixisset : « Si autem ego in Spiritu Dei ejicio dæmonia, igitur pervenit in vos regnum Dei ; » deinde infert : « Ideo dico vobis : Omne peccatum et blasphemia remittetur hominibus, blasphemia autem in Spiritum non remittetur.Et quicunque dixerit verbum contra Filium hominis remittetur ei ; qui autem dixerit contra Spiritum sanctum non remittetur ei, neque in hoc sæculo, neque in futuro [38].» Tu autem percontabaris, cur blasphemia in Filium B dimittitur, blasphemia autem in Spiritum sanctum veniam non obtinet neque in præsenti sæculo, neque in futuro ?

9. Παλαιοὶ μὲν οὖν ἄνδρες, Ὠριγένης ὁ πολυμαθὴς καὶ φιλόπονος, καὶ Θεόγνωστος ὁ θαυμάσιος καὶ σπουδαῖος (τούτων γὰρ τοῖς περὶ τούτων συνταγματίοις ἐνέτυχον (81), ὅτε τὴν ἐπιστολὴν ἔγραψας), ἀμφότεροι γὰρ περὶ τούτου γράφουσι, ταύτην εἶναι τὴν εἰς τὸ ἅγιον (82) Πνεῦμα βλασφημίαν λέγοντες, ὅταν οἱ καταξιωθέντες ἐν τῷ βαπτίσματι τῆς δωρεᾶς (83) τοῦ ἁγίου Πνεύματος παλινδρομήσωσιν εἰς τὸ ἁμαρτάνειν. Διὰ τοῦτο γὰρ μηδὲ ἄφεσιν αὐτοὺς λήψεσθαί φασι· καθὰ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους λέγει· « Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ (84) μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν. » Ταῦτα δὲ κοινῇ μὲν λέγουσι (85), καὶ ἰδίαν δὲ ἕκαστος προστίθησι διάνοιαν.

9.Prisci certe viri, Origenes, eruditissimus et laboriosus scriptor, et Theognostus, admirandus ille et studiosus homo (horum enim opera legebam cum epistolam accepi tuam), ambo quippe eam rem pertractant,aiunt illam esse in Spiritum sanctum blasphemiam,cum ii quibus in baptismate donum Spiritus sancti tribuitur,ad peccata recidunt. Ideoque illos remissionem non consecuturos,aiunt: quomadmodum et Paulus in Epistola ad Hebræos ait : « Impossibile est enim eos qui semel sunt illuminati,gustaverunt etiam donum cœleste, et participes C facti sunt Spiritus sancti, et gustaverunt bonum Dei Verbum,virtutesque sæculi venturi,et prolapsi sunt rursus renovari ad pœnitentiam[39].» Et idipsum quidem ambo dicunt, sed suam singuli sententiam adjiciunt.

10. Ὁ μὲν γὰρ Ὠριγένης καὶ τὴν αἰτίαν τῆς κατὰ τῶν τοιούτων κρίσεως οὕτω λέγει· « Ὁ μὲν Θεὸς καὶ Πατὴρ εἰς πάντα διήκει (86) καὶ πάντα συνέχει, ἄψυχά τε καὶ ἔμψυχα, λογικά τε καὶ ἄλογα· τοῦ δὲ Υἱοῦ ἡ δύναμις εἰς τὰ λογικὰ μόνα διατείνει, ἐν οἷς εἰσι κατηχούμενοι καὶ Ἕλληνες, οἱ μηδέπω πιστεύσαντες· τὸ δὲ Πνεῦμα τὸ ἅγιον εἰς μόνους ἐστὶ τοὺς

10. Nam Origenes quidem causam judicii contra ejusmodi homines lati sic explicat :« Deus et Pater in omnia penetrat, et omnia continet, animata et inanimata, rationalia et irrationalia : Filii autem potestas ad sola rationalia sese extendit ; in quibus continentur catechumeni et ethnici, qui nondum crediderunt. Spiritus vero sanctus in iis solis est

[38] Matth. XII, 24-32. [39] Hebr. VI, 4-6.

(77) Sic Regius et Seguerianus. Editi vero minus recte, ῥᾳθυμίαν. D

(78) Gobler. et Felc. 1, ὁ δὲ Κύριος εἶπεν· Πᾶσα βασιλεία μερισθεῖσα, καὶ τὰ ἑξῆς. Διὰ τοῦτο λέγω ὑμῖν, omissis intermediis.

(79) Ita Regius, Seguerian. Gobler. et Felc. 1. Editi vero, ἡ δὲ τοῦ Πνεύματος. Gobler. et Felck. 1, ibidem, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ, etc., omissis intermediis.

(80) Οὐκ ἔχει ἄφεσιν. Παλαιοὶ μέν. Sic Gobler. et Felc. 1, multis omissis, Ibid. Felc. 3, Ὠριγένης cum denso spiritu. Mox Regius, Seguer. Gobler. Felck. 1, Θεόγνωστος. Editi et alii, Θεώγνωστος.

(81) Sic Reg. Seguer. Basil. Alii vero codices mss., περὶ τούτων συγγράμμασιν. Editi, περὶ τούτοις συγγράμμασιν.

(82) Sic Regius, Seguer. Basil. Gobl. et Felc. 1. Editi vero, τοιαύτην εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον.

(83) Reg. Seguer. Gobler. et Felck. 2, τῆς θείας δωρεᾶς. In aliis θείας deest. Mox Reg. et Seguer., παλινδρομήσωσιν una voce, rectius quam editi πάλιν δρομήσωσιν.

(84) Sic Regius et Seguerianus ; καί deerat in editis.

(85) Ita Reg. Seguer. et Anglic. At Goblerian. et Felc. 1, ταῦτα μὲν κοινῇ λέγουσι. In Basiliens. hæc desunt usque ad vocem διάνοιαν. Infra Regius et Felc. 2, Ὠριγένης cum denso spiritu. Paulo post in Basil., τοιούτων deest.

(86) Regius, Seguer. Gobler. et Felck. 1, διήκει. Editi, ἥκει.

qui sui participes effecti sunt in baptismatis collatione. Cum igitur catechumeni et ethnici peccant, in Filium peccant, quoniam is est in illis, ut dictum est : possunt tamen veniam consequi, ubi acceperint donum regenerationis. Cum autem baptizati peccant, hanc iniquitatem in Spiritum sanctum recurrere ait, quia tum peccavit homo cum in illo esset Spiritus. Ideoque remitti non posse supplicium ipsi debitum. »

11. Theognostus autem hæc adjicit : « Qui **562** primum et secundum terminum transgressus est, minori supplicio dignus videri possit qui autem tertium contempserit non ulterius veniam consequetur. Primum autem terminum et secundum terminum ait, doctrinam de Patre et Filio acceptam : tertium vero, Verbum in initiatione et in participatione Spiritus traditum : quod confirmare volens, adducit illud discipulis a Salvatore dictum : « Adhuc « multa habeo vobis dicere, sed non potestis portare « modo. Cum autem venerit Spiritus sanctus docebit « vos [40]. » Deinde ait : « Sicut eos qui perfecta nondum capere possunt alloquitur Salvator, ad illorum sese pravitatem demittens : cum perfectis autem Spiritus sanctus versatur ; neque tamen quis ideo dixerit, Spiritus sancti doctrinam, Filii doctrinam superare ; sed quod Filius quidem sese demittat ad imperfectos, Spiritus vero sanctus sigillum sit perfectorum ; sic non propter excellentiam Spiritus sancti præ Filio, inexpiabilis et citra veniam est blasphemia in Spiritum : sed quia imperfectis datur venia ; iis vero qui donum cœleste gustaverunt, et initiati sunt, nulla veniæ relinquitur excusatio vel deprecatio. » Hæc itaque illi.

12. Ego autem ex iis quæ didici, arbitror utriusque sententiam, mediocri quadam inquisitione et observatione indigere : ne forte profundior quædam in ipsis illorum dictis mens lateat. Manifestum enim est Filium cum sit in Patre, in illis etiam esse, in quibus est Pater, nec abesse Spiritum. Indivisa namque est sancta, perfecta et beata Trinitas. Insuper, si omnia per Filium facta sunt, et in ipso omnia consistunt, quomodo extra illa ipse fuerit quæ per ipsum facta sunt ? Sin autem illa ab ipso non longe fuerint, in omnibus igitur et ipse fuerit, ut necessario qui in Filium peccat et blasphemat in Patrem quoque et in Spiritum sanctum peccet. Quod si

[40] Joan. xvi, 12, 13.

μεταλαβόντας (87) αὐτοῦ ἐν τῇ τοῦ βαπτίσματος δόσει. Ὅταν τοίνυν κατηχούμενοι καὶ Ἕλληνες ἁμαρτάνωσιν, εἰς μὲν τὸν Υἱὸν ἁμαρτάνουσιν, ἐπεὶ ἐν αὐτοῖς ἐστιν, ὥσπερ εἴρηται· δύνανται δὲ ὅμως λαμβάνειν ἄφεσιν, ὅταν καταξιωθῶσι δωρεᾶς τῆς παλιγγενεσίας (88). Ὅταν δὲ οἱ βαπτισθέντες ἁμαρτάνωσι, τὴν τοιαύτην παρανομίαν εἰς τὸ Πνεῦμα τὸ ἅγιον φθάνειν φησίν· ἐπειδὴ ἐν αὐτῷ γενόμενος ἥμαρτε· καὶ διὰ τοῦτο ἀσύγγνωστον εἶναι τὴν κατ' αὐτοῦ τιμωρίαν. »

11. Ὁ δὲ Θεόγνωστος καὶ αὐτὸς προστιθείς φησι ταῦτα· « Ὁ πρῶτον παραβεβηκὼς ὅρον καὶ δεύτερον ἐλάττονος ἂν ἀξιοῖτο τιμωρίας· ὁ δὲ καὶ τὸν τρίτον ὑπεριδὼν οὐκέτι ἂν συγγνώμης τυγχάνοι (89) Πρῶτον δὲ ὅρον καὶ δεύτερόν φησι τὴν περὶ Πατρὸς (90) καὶ Υἱοῦ κατήχησιν· τὸν δὲ τρίτον τὸν (91) ἐπὶ τῇ τελειώσει καὶ τῇ τοῦ Πνεύματος μετοχῇ παραδιδόμενον Λόγον· καὶ τοῦτο βεβαιῶσαι θέλων, ἐπάγει τὸ παρὰ τοῦ Σωτῆρος εἰρημένον τοῖς μαθηταῖς· « Ἔτι (92) « πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὔπω δύνασθε χωρεῖν. « Ὅταν δὲ ἔλθῃ τὸ ἅγιον Πνεῦμα, διδάξει ὑμᾶς. » Εἶτά φησιν· « Ὥσπερ τοῖς μηδέπω χωρεῖν δυναμένοις τὰ τέλεια διαλέγεται ὁ Σωτὴρ, συγκαταβαίνων αὐτῶν τῇ σμικρότητι· τοῖς δὲ τελειουμένοις συγγίνεται (93) τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ δήπου τις ἐκ τούτων ἂν φαίη τὴν τοῦ Πνεύματος διδασκαλίαν ὑπερβάλλειν τῆς τοῦ Υἱοῦ διδαχῆς· ἀλλ' ὅτι ὁ μὲν Υἱὸς συγκαταβαίνει τοῖς ἀτελέσι, τὸ δὲ Πνεῦμα σφραγίς ἐστι τῶν τελειουμένων· οὕτως οὐ διὰ τὴν ὑπερβολὴν τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ἄφυκτός ἐστι καὶ ἀσύγγνωστος ἡ εἰς τὸ Πνεῦμα βλασφημία· ἀλλ' ὅτι ἐπὶ μὲν τοῖς ἀτελέσιν ἐστὶ συγγνώμη· ἐπὶ δὲ τοῖς γευσαμένοις τῆς οὐρανίου (94) δωρεᾶς καὶ τελειωθεῖσιν οὐδεμία πειλείπεται συγγνώμης ἀπολογία καὶ παραίτησις. » Ἐκεῖνοι μὲν οὖν ταῦτα.

12. Ἐγὼ δὲ ἀφ' ὧν ἔμαθον, νομίζω τὴν ἑκατέρου διάνοιαν μετρίας τινὸς δοκιμασίας ἐπιδεῖσθαι καὶ κατανοήσεως· μὴ ἄρα κεκρυμμένος (95) ἐστί τις ἐν αὐτοῖς τοῖς ὑπ' αὐτῶν εἰρημένοις βαθύτερος νοῦς. Δῆλον γὰρ, ὡς, ὁ Υἱὸς ἐν τῷ Πατρὶ ὢν, ἐν τούτοις ἐστὶν, ἐν οἷς καὶ ὁ Πατήρ ἐστι, καὶ τὸ Πνεῦμα οὐκ ἄπεστιν. Ἀδιαίρετος γάρ ἐστιν ἡ ἁγία καὶ μακαρία, καὶ τελεία Τριάς. Ἔτι δ' οὖν (96) εἰ πάντα διὰ Υἱοῦ γέγονε, καὶ ἐν αὐτῷ τὰ πάντα συνέστηκε, πῶς ἂν ἐκτὸς εἴη τῶν δι' αὐτοῦ γενομένων ; Μὴ ὄντων δὲ ἐκείνων αὐτοῦ μακρὰν, ἐν πᾶσιν ἂν καὶ αὐτὸς εἰκότως εἴη· ὡς ἐξ ἀνάγκης τὸν εἰς τὸν Υἱὸν ἁμαρτάνοντα καὶ βλασφημοῦντα ἁμαρτάνειν καὶ εἰς τὸν Πατέρα

(87) Reg. et Seg., μεταλαμβάνοντας. Alii et editi, μεταλαβόντας.

(88) Hæc ὅταν καταξιωθῶσι δωρεᾶς τῆς παλιγγενεσίας, desunt in Goblerian. et Felckman. 1. Infra iidem, ἁμαρτάνουσιν.

(89) Sic Regius et Seguer. Basiliensis vero, τυγχάνῃ. Editi, τύχοι.

(90) Reg. et Seguer., περὶ τοῦ Πατρός.

(91) Τόν deest in Regio et Seguer. Mox Regius, Seguer. Anglic. Gobler. et Felckm. 1, καὶ τῇ τοῦ Πνεύματος. Editi, καὶ τὸν ἐπὶ τῇ τοῦ Πνεύματος

(92) Regius et Seguerian., Ἐπεί. Paulo post in iisdem δέ deest post ὅταν. Ibidem Regius, Seguer. Gobler. et Felc. primus. τὸ ἅγιον Πνεῦμα. Editi, τὸ Πνεῦμα τὸ ἅγιον. Hic autem Scripturæ locus, quoad sententiam tantum, non ad verbum ab Athanasio affertur.

(93) Regius et Seguerian., συγγίγνεται.

(94) Regius et Seguerian., ἐπουρανίου.

(42) Hæc fidei confessio exstat apud Socratem lib. II, c. 37, ejus pars apud Nicephorum lib. IX, c. 39. De hac fuse disputavit Nicolaus Faber Præfat. ad Hilarii Fragmenta. Socrat., ἐξετέθη πίστις ἡ καθολικὴ ἐπὶ παρουσίᾳ τοῦ δεσπότου ἡμῶν Κωνσταντίου ἐν ὑπατείᾳ Φλαυίου, etc. Porro Latine illam primo editam, Græce deinde fuisse versam aiunt Socrates lib. II, c. 30, et Sozom. lib. IV, c. 17. Quos tamen hallucinari putant viri complures eruditissimi, quod a Marco Arethusio Græco homine ab aliis episcopis electo concinnata fuerit, ut Germinius oculatus testis enarrat in epistola sua ad Ruffianum, apud Hilarium fragmento 14, sub finem. Quod itidem confirmatur ex subscriptionibus, quas affert Epiphanius Hær. LXXIII, num. 22, ubi Marcus Arethusius prior subscribit, maximaque subscribentium pars Græci episcopi sunt. Et ne dicatur aliam esse illam fidei formulam a Germinio Epiphanioque laudatam, clausulam affert Germinius hic iisdem prorsus verbis expressam. Epiphanius vero verba affert Valentis qui ait se subscriptionem dedisse ea nocte, quæ diem Pentecostem præcessit, quæ ipsissima dies est quæ in fronte hujusce fidei formulæ designatur, videlicet undecimo kalendas Junias. Innuit item Epiphanius, Valentis consilium fuisse illam fidei formulam Ariminum deferre, quod huic rectissime convenit. Aliam profert V. Gl. Valesius rationem, ut probet eam Græce fuisse editam, quia nempe Athanasius, ubi **monumenta affert ex Latino Græce** versa, de ea re admonere perpetuo solet. **At non adeo firmum est hoc argumentum;** in *Apologia* quippe *ad Constantium imperatorem*, p. 245, epistolam affert S. doctor ex Latino **Græce versam**, quin illud indicet. Uno verbo **certum videtur** hanc ipsam esse fidei formulam quæ a **Marco Arethusio** dictata est, cujusque subscriptiones habentur apud Epiphanium Hær. LXXIII, num. 22. Græcene autem an Latine primo fuerit edita, ambiguum.

Titulum vero quod spectat, ex Athanasio forte colligatur, Ursacio, Valente et Gaio auctoribus, præmissum illum fuisse. Certe id non obscure innuit sanctus Pater, num. 3, ubi ait, eos cum sociis post editam fidei professionem, ei consulatum, diem atque imperatoris nomen præposuisse. Et liquidius, num. 5, ait Nicænos Patres nequaquam ausos esse consulatum, diem, vel mensem formulæ fidei præponere, quod tamen tres aut quatuor isti designarunt. Quod eo illi forte animo fecere, ut imperatoris consulumque nomen formulæ suæ auctoritatem daret, atque Ariminensibus Patribus terrorem incuteret.

(43) Sic omnes mss. et editio Commel. rectissime. Editores vero Parisienses imperite Φλαυίου posuerunt, Socratem videlicet secuti. At erant Eusebius et Hypatius fratres, atque adeo Flavii appellabantur ambo, quorum soror erat Eusebia Constantis conjux. Ibid. Niceph., πρὸς ἕνδεκα.

(44) Maii 22, anno 359.

(45) Editi, καὶ κτίστην. In Regio et Socrat. **καὶ deest.** Infra Socrat., πρὸ **πάσης καταληπτῆς ἐπινοίας.**

νετο (46)· γεγεννημένον δὲ μονογενῆ, μόνον ἐκ μόνου τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν Πατρὶ, κατὰ τὰς Γραφάς· οὗ τὴν γένεσιν οὐδεὶς ἐπίσταται, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν Πατήρ. Τοῦτον ἴσμεν τοῦ Θεοῦ μονογενῆ Υἱὸν, νεύματι πατρικῷ παραγενόμενον ἐκ τῶν οὐρανῶν εἰς ἀθέτησιν ἁμαρτίας, καὶ γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου, καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν, καὶ πᾶσαν τὴν οἰκονομίαν πληρώσαντα κατὰ τὴν πατρικὴν βούλησιν, σταυρωθέντα καὶ ἀποθανόντα, καὶ εἰς τὰ καταχθόνια κατελθόντα (47), καὶ τὰ ἐκεῖσε οἰκονομήσαντα, ὃν πυλωροὶ ᾅδου ἰδόντες ἔφριξαν, καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν, καὶ πᾶσαν τὴν οἰκονομίαν πληρώσαντα, καὶ τεσσαράκοντα (48) ἡμερῶν πληρουμένων ἀναληφθέντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς, καὶ ἐλευσόμενον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως τῇ δόξῃ τῇ πατρικῇ, ἀποδιδόντα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὃ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Ἰησοῦς Χριστὸς ἐπηγγείλατο (49) πέμψαι τῷ γένει τῶν ἀνθρώπων, τὸν Παράκλητον, κατὰ τὸ γεγραμμένον· « Ἀπέρχομαι πρὸς τὸν Πατέρα μου, καὶ παρακαλέσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν. Τὸ πνεῦμα τῆς ἀληθείας ἐκεῖνος ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ διδάξει, καὶ ὑπομνήσει ὑμᾶς πάντα. » Τὸ δὲ ὄνομα τῆς οὐσίας διὰ τὸ ἁπλούστερον ὑπὸ (50) τῶν Πατέρων τεθεῖσθαι, ἀγνοούμενον δὲ ὑπὸ τῶν λαῶν σκάνδαλον φέρειν, διὰ τὸ μήτε τὰς Γραφὰς τοῦτο περιέχειν, ἤρεσε τοῦτο περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας ἐπὶ Θεοῦ εἶναι τοῦ λοιποῦ· διὰ τὸ τὰς θείας Γραφὰς μηδαμοῦ (51) περὶ Πατρὸς καὶ Υἱοῦ οὐσίας μεμνῆσθαι. Ὅμοιον δὲ λέγομεν τὸν Υἱὸν τῷ Πατρὶ κατὰ πάντα· ὡς καὶ αἱ ἅγιαι Γραφαὶ λέγουσί τε καὶ διδάσκουσιν (52-53).

A sunt: natum unigenitum, solum ex solo Patre, Deum de Deo, similem Patri suo qui ipsum genuit, secundum Scripturas ; cujus generationem nemo novit, nisi solus qui ipsum genuit, Pater. Hunc scimus Dei unigenitum Filium, nutu paterno de cœlis advenisse, ad destruendum peccatum : et natum ex Maria Virgine, versatum cum discipulis, qui omnem dispensationem implevit secundum paternam voluntatem, crucifixum et mortuum : qui ad inferos descendit, et quæ illic agenda ordinavit : quem conspicati inferorum ostiarii exhorruerunt : qui tertia die resurrexit a mortuis; qui cum discipulis versatus, ubi omnem 577 dispensationem implesset, peractis quadraginta diebus, assumptus est in cœlos, sedetque ad dexteram Patris : qui venturus est ultima die resurrectionis cum gloria paterna, redditurus singulis juxta opera sua. Et in Spiritum sanctum, quem ipse unigenitus Dei Jesus Christus promisit se missurum generi hominum, Paracletum, id est Consolatorem, ut scriptum est : « Vado ad Patrem meum, et rogabo Patrem, et alium Paracletum mittet vobis. Spiritum veritatis ille de meo accipiet, et docebit vos ac suggeret vobis omnia [94]. Nomen autem substantiæ quod simpliciter a Patribus positum a populisque minime intellectum, offensionis causa sit, quod etiam in Scripturis non contineatur, de medio tolli, et nullam omnino substantiæ mentionem in Deo deinceps faciendam esse placuit ; quod divinæ Scripturæ nusquam de Patris et Filii substantia meminerint. Patri autem Filium secundum omnia similem dicimus, quemadmodum Scripturæ dicunt atque docent.

B

9. Τούτων ἀναγνωσθέντων, οὐ μακρὰν ἐγνώσθη τῶν γραψάντων ἡ πανουργία. Τῶν γὰρ ἐπισκόπων προτεινάντων ἀναθεματισθῆναι τὴν Ἀρειανὴν αἵρεσιν μετὰ καὶ τῶν ἄλλων αἱρέσεων, πάντων τε (53) ἐπὶ τούτῳ συνθεμένων, Οὐρσάκιος καὶ Οὐάλης, καὶ οἱ σὺν αὐτοῖς ἀνένευον. καὶ λοιπὸν κατεγνώσθησαν, ὡς οὐ γνησίως, ἀλλ' ἐπ' ἀναιρέσει τῶν ἐν Νικαίᾳ πραχθέντων γράψαντες ταῦτα, ἵνα τὴν δυσώνυμον αἵρεσιν ἀντεισάξωσι. Θαυμάσαντες γοῦν ἐπὶ τοῖς δολίοις αὐτῶν ῥήμασι καὶ πανούργῳ προαιρέσει, ἔλεγον· « Ἡμεῖς οὐ δεόμενοι πίστεως συνήλθομεν (ἔχομεν γὰρ ἐν ἑαυτοῖς ὑγιαίνουσαν τὴν πίστιν), ἀλλ' ἵνα τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ καὶ καινοτομεῖν ἐπιχειροῦντας ἐντρέψωμεν. Εἰ μὲν οὖν ὑμεῖς ὡς νῦν ἀρχόμενοι πιστεύειν

C

9. His perlectis, non diu postea eorum qui scripserant vafrities deprehensa est. Episcopis enim proponentibus ut Ariana cum aliis hæresibus anathemate damnaretur, acquiescentibusque omnibus, abnuerunt Ursacius et Valens cum sociis, atque demum compertum est illos non sincero ea scripsisse animo ; sed ut ea quæ Nicææ acta fuerant abrogarent, eorumque loco nefariam inducerent hæresim. Hominum itaque dolosa verba et vafrum consilium mirati episcopi aiebant : « Nos non ideo huc convenimus quod fide egeremus, in nobis enim ipsis sanam habemus fidem ; sed ut eos qui veritati repugnant, et nova moliuntur, pudore afficeremus. Quod si vos, quasi qui nunc credere incipiatis, ista

[94] Joan. XIV, 16, 17.

(46) Ita Regius. Editi, ἐγένοντο. Ibid. editio Paris. sola, γεγεννημένων, male. Paulo post editi, ἐκ μόνου ὑπὸ τοῦ Πατρός. Sed vocem ὑπό, cum desit in Regio, expunximus.

(47) In veteribus Socratis editis, σταυρωθέντα καὶ παθόντα καὶ ἀποθανόντα.

(48) Sic Socrat. et edit. Paris. ex Socrate, ut videtur. Nam in edit. Commel. et in omnibus codicibus, πεντήκοντα legitur, male. Mox Regius, τοὺς οὐρανούς, in editis τούς deest. Mox hæc, τῆς ἀναστάσεως desunt in Socrate, bene.

(49) Ita Regius et Socrat. Editi, μονογενὴς ἐπηγγείλατο, omissis mediis.

(50) Ita Regius et Socrat. Editi, παρά.

(51) Sic Regius et Socrat. Editi vero, μηδαμῶς. Ibid. veteres Socratis editi, περὶ Πνεύματος καὶ Υἱοῦ οὐσίας, male.

(52-53) Post διδάσκουσι in edit. Paris. legitur ταῦθ' αἱρετικοί. Sed desunt in edit. Commel. et in omnibus mss.

scripsistis, nondum clerici estis, quippe qui jam primum fide instituamini: si vero qua mente nos convenimus, eadem et vos accessistis, sit omnium concordia, et hæreses anathemate damnemus Patrumque nostrorum servemus traditiones, ne posthac synodorum cogendarum causæ passim occurrant, cum semel illi qui Nicææ convenerunt omnia præoccuparint, et nihil non pro catholica Ecclesia egerint.« Sed cum episcopi una omnes consentirent, abnuere tamen supradicti. Quapropter cum exploratum ipsis esset, ignaros, vafros, vel potius hæreticos esse homines, omnes Nicænam synodum suis suffragiis approbarunt, sufficereque illam omnibus visum est; prædictos autem, Ursacium scilicet, Valentem, Germinium, Auxentium, Gaium et Demophilum hæreticos declararunt, et cum illos deposuissent, utpote qui non vere Christiani, sed Ariani essent, hæc Latine scripsere, quæ ad sensum (55) Græce sic translata sunt :

A ἐγράψατε ταῦτα, οὕπω ἐστὲ κληρικοὶ, ἀρχὴν ἔχοντες τοῦ κατηχεῖσθαι· εἰ δὲ τῇ γνώμῃ ᾗ συνήλθομεν ἡμεῖς, ταύτην καὶ ὑμεῖς ἔχοντες ἀπηντήσατε, ἔστω πάντων ὁμοφροσύνη, καὶ τὰς μὲν αἱρέσεις ἀναθέματι ἀναθεματίσωμεν, τὰ δὲ τῶν Πατέρων φυλάξωμεν, ὑπὲρ τοῦ μηκέτι διατρέχειν προφάσεις συνόδων, ἅπαξ προλαβόντων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ πάντα πραξάντων ὑπὲρ τῆς καθολικῆς Ἐκκλησίας. » Ἀλλὰ καὶ οὕτω τῶν ἐπισκόπων πάλιν (54) πάντων συνθεμένων, ἀνένευσαν οἱ προειρημένοι· καὶ λοιπὸν καταγνόντες αὐτῶν, ὡς ἀμαθῶν δολίων τε καὶ μᾶλλον αἱρετικῶν, τῇ μὲν ἐν Νικαίᾳ γενομένῃ συνόδῳ συνεψηφίσαντο πάντες, καὶ ταύτῃ πάντες ἔκριναν ἀρκεῖσθαι· τοὺς δὲ προειρημένους Οὐρσάκιον καὶ Οὐάλεντα, Γερμίνιον, Αὐξέντιον, Γάϊον, Δημόφιλον, αἱρετικοὺς ἀπέφηναν, καὶ καθελόντες αὐτοὺς, ὡς μὴ ὄντας ἀληθῶς B Χριστιανοὺς, ἀλλ' Ἀρειανοὺς, ἔγραψαν κατ' αὐτῶν Ῥωμαϊστὶ μὲν, ἑρμηνευθέντα δὲ Ἑλληνιστὶ κατὰ δύναμιν, ταῦτα·

10. *Exemplum epistolæ Ariminensis concilii ad Constantium imperatorem, ubi episcopi prævaricati sunt a fide vera* (57).

I. Jubente Deo ex præcepto pietatis tuæ credimus fuisse dispositum ut ad Ariminensium locum ex diversis provinciis occidentalium episcopi **578** veniremus, ut fides claresceret omnibus Ecclesiis catholicis, et hæretici noscerentur. Dum enim omnes qui recte sapimus contractaremus, placuit quidem ut fidem ab antiquitate perseverantem, quam per prophetas, evangelia et apostolos, per ipsum Deum et Dominum nostrum Jesum Christum Salvatorem imperii tui et largitorem salutis tuæ, quam semper obtinuimus, teneamus. Nefas enim duximus sanctorum aliquid mutilare, et eorum qui in Nicæno tractatu consederant una cum gloriosæ memoriæ Constantino patre pietatis tuæ. Qui tractatus manifestatus est, et insinuatus mentibus populorum, et contra hæresim Arianam tunc positus invenitur, ut hæreses inde sint expugnatæ : a quo si aliquid demptum fuerit, venenis hæreticorum aditus panditur.

10. (56) Ἀντίγραφον ἐπιστολῆς παρὰ τῆς συνόδου πρὸς τὸν Αὔγουστον Κωνστάντιον (57).

Ἐκ τε τῆς τοῦ Θεοῦ κελεύσεως (58) καὶ τοῦ τῆς σῆς εὐσεβείας προστάγματος τὰ πάλαι δογματισθέντα γεγενῆσθαι πιστεύομεν. Εἰς γὰρ Ἀρίμινον (59) ἐκ πασῶν τῶν πρὸς δύσιν πόλεων εἰς τὸ αὐτὸ πάντες οἱ ἐπίσκοποι συνήλθομεν, ἵνα καὶ ἡ πίστις τῆς καθολικῆς Ἐκκλησίας γνωρισθῇ, καὶ οἱ τἀναντία φρονοῦντες ἔκδηλοι γένωνται. Ὡς γὰρ ἐπὶ πλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἀρεστὸν (60) ἐφάνη τὴν πίστιν τὴν ἐκ παλαιοῦ διαμένουσαν, ἣν καὶ οἱ προφῆται καὶ τὰ Εὐαγγέλια, καὶ οἱ ἀπόστολοι διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκήρυξαν, τοῦ καὶ τῆς σῆς βασιλείας φρουροῦ (61), καὶ τῆς σῆς ῥώσεως προστάτου· ἵνα ταύτην κατασχόντες φυλάξωμεν, καὶ φυλάττοντες μέχρι τέλους διατηρήσωμεν. Ἄτοπον γὰρ καὶ ἀθέμιτον ἐφάνη τῶν ὀρθῶς καὶ δικαίως ὡρισμένων τι (62) μεταλλάσσειν, καὶ τῶν ἐν Νικαίᾳ κοινῇ μετὰ τοῦ ἐνδοξοτάτου Κωνσταντίνου τοῦ σοῦ πατρὸς καὶ βασιλέως ἐσκεμμένων, ὧν ἡ διδασκαλία (63) καὶ τὸ φρόνημα διῆλθέ τε καὶ ἐκηρύχθη εἰς πάσας ἀνθρώπων ἀκοάς τε καὶ διανοίας, ἥτις ἀντίπαλος μόνη καὶ ὀλετὴρ τῆς Ἀρείου αἱρέσεως ὑπῆρξε· δι' ἧς οὐ μόνον αὕτη, ἀλλὰ καὶ αἱ λοιπαὶ αἱρέσεις καθηρέθησαν· ἐν ᾗ ὄντος καὶ τὸ προσθεῖναί τι σφαλερὸν (64), καὶ τὸ ἀφελέσθαι τι ἐπικίνδυνον ὑπάρχει· ὡς, εἴπερ τι θάτερον γένοιτο (65), ἔσται τοῖς ἐχθροῖς ἄδεια τοῦ ποιεῖν ἅπερ βούλονται.

(54) Sic Regius. In editis πάλιν deest.

(55) Sunt qui vertendum putant, *pro viribus*.

(56) Hæc Epistola Latine primum data fuit, ut est apud Hilarium fragmento 8, col. 1344, quam huc transcribere visum est. Exstat ea Græce apud Socratem lib. II, c. 37; Sozomenum lib. IV, c. 18; Theodoretum lib. II, c. 19; Nicephorum lib. IX, cap. 40. Prout scilicet apud Athanasium ex Græco versa habetur magis ad sententiam, quam ad verbum.

Titulus in Socrate : Ἐπιστολὴ τῆς ἐν Ἀριμίνῳ συνόδου πρὸς τὸν βασιλέα Κωνστάντιον· in Theodoreto : Ἐπιστολὴ συνοδικὴ παρὰ τ[illegible]ν αὐτόθι συνεληλυθότων ἐπισκόπων πρὸς τὸν βασιλέα γραφεῖσα Κωνστάντιον.

(57) Ex Hilarii fragmento 8, p. 1344.

(58) Sozom., τά τε ἐκ τῆς τοῦ Θεοῦ κελεύσεως. Mox Regius, εὐσεβείας, et ita quoque Socrat. Soz. et Theodor. Editi vero, εὐλαβείας. Ibid., τὰ πάλαι deest in Sozom. Idem ibi, γενέσθαι. D

(56) Regius, Sozom,, Ἀρίμηνον. Mox Socrat., ἐπὶ ταυτό.

(60) Theodor., ἄριστον. Mox Socrat. et Theodor., τὴν ἔκπαλαι.

(61) Sozom., ἐφόρου. Paulo post Theodor., κατέχοντες.

(62) Τι deest in editis, sed habetur in Regio, Socrat. Sozom. Theodor., qui postremus habet μεταλλάξαι.

(63) Socrat , τε post διδασκαλία.

(64) Hæc, ἐν ᾗ ὄντως, καὶ προσθεῖναί τι σφαλερόν, non exprimuntur in Latino. Mox Reg., ἀσφαλέσθαι, male. Theodor. omittit τι.

(65) Sozom., γένηται, in quo mox deest τοῦ ante ποιεῖν. Socrat,, βούλοιτο.

Ὅθεν Οὐρσάκιός τε καὶ Οὐάλης, ἐπειδὴ ἔκπαλαι (66) μέτοχοί τε καὶ συμφωνοι τοῦ Ἀρειανοῦ δόγματος ἦσαν καθεστηκότες, καὶ τῆς ἡμετέρας κοινωνίας χωρισθέντες ἀπεφάνθησαν· ἧς ἵνα μετάσχωσιν ἐφ' οἷς ἑαυτοῖς συνεγνώκεισαν πλημμελήσαντες, μετανοίας τε καὶ συγγνώμης ἠξίουν τυχεῖν, ὡς καὶ τὰ ἔγγραφα τὰ ὑπ' ἐκείνων γεγενημένα μαρτυρεῖ· δι' ὧν ἁπάντων φειδὼ γεγένηται, καὶ τῶν ἐγκλημάτων συγγνώμη. Ἦν δὲ ὁ καιρὸς, καθ' ὃν ταῦτα ἐπράττετο, ὅτε ἐν Μεδιολάνῳ τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο, συμπαρόντων δὲ (67) καὶ τῶν πρεσβυτέρων τῆς τῶν Ῥωμαίων Ἐκκλησίας· ἐγνωκότες δὲ ἅμα καὶ τὸν μετὰ τελευτὴν ἄξιον μνήμης Κωνσταντῖνον, μετὰ πάσης ἀκριβείας καὶ ἐξετάσεως τὴν συγγραφεῖσαν πίστιν ἐκτεθεικότα (68). Ἐπειδὴ δὲ, ὡς ἐξ ἀνθρώπων ἐγένετο βαπτισθεις, καὶ πρὸς τὴν ὀφειλομενην εἰρήνην ἀνεχώρησεν, ἄτοπον εἶναι μετ' ἐκεῖνό (59) τι καινοτομεῖν, καὶ τοσούτους ἁγίους ὁμολογητὰς, μάρτυρας, τοὺς καὶ τοῦδε τοῦ δόγματος συγγραφεῖς τε καὶ εὑρετὰς ὑπεριδεῖν· οἵτινες κατὰ τὸν παλαιὸν τῆς Ἐκκλησίας θεσμὸν ἅπαντα φρονοῦντες διαμεμενήκασιν· ὧν ὁ Θεὸς τὴν πίστιν, καὶ εἰς τοὺς σοὺς χρόνους τῆς βασιλείαν μετέδωκε διὰ τοῦ (70) Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι καὶ τὸ βασιλεύειν οὕτως ὑπῆρξεν, ὡς καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖν. Πάλιν γοῦν οἱ ἐλεεινοὶ καὶ οἰκκροὶ τῷ φρονήματι, ἀθεμίτῳ τολμήματι (71) τῆς δυσσεβοῦς φρονήσεως κήρυκας ἑαυτοὺς ἀνήγγειλαν) καὶ ἐπιχειροῦσιν ἀνατρέπειν πᾶν ἀληθείας σύνταγμα. Ὡς γὰρ κατα τὸ σὸν πρόσταγμα τὸ (72) συνέδριον τῆς συνόδου συνεκροτεῖτο, κἀκεῖνοι τῆς ἰδίας ἀπάτης ἐγύμνουν τὴν σκέψιν. Ἐπειρῶντο γὰρ πανουργίᾳ τινὶ καὶ ταραχῇ προσφέροντές τι καινοτομεῖν, τῆς τοιαύτης ἑταιρίας (73) συναλισκομένους εὑρόντες Γερμίνιον, Αὐξέντιον καὶ Γάϊον, τοὺς τὴν ἔριν καὶ διχοστασίαν ἐμποιοῦντας· ὧν ἡ διδασκαλία, μία μὲν οὖσα (74), πᾶν πλῆθος βλασφημιῶν ὑπερβέβηκεν. Ὡς δὲ συνεῖδον, οὐχὶ τῆς τοιαύτης προαιρέσεως (75) ὄντας, οὔτε ὁμογνωμονοῦντας, ἐφ' οἷς κακῶς ἐφρόνουν, εἰς τὸ συμβούλιον ἡμῶν μετήγαγον ἑαυτοὺς, ὡς δοκεῖν ἕτερόν τι γράφειν· ἦν δὲ ὁ καιρὸς βραχὺς ὁ καὶ τὰς γνώμας αὐτῶν ἐξελέγχων. Ἵνα οὖν μὴ τοῖς αὐτοῖς ἀεὶ τὰ τῆς Ἐκκλησίας περιπίπτῃ, καὶ ταραχὴ, καὶ θόρυβος καλινδούμενος ἅπαντα συγχέῃ (76), βέβαιον ἐφάνη τὰ πάλαι ὡρισμένα (77) ἔννομα καὶ ἀμετακίνητα διαφυλάττειν· τοὺς δὲ προειρημένους τῆς ἡμετέρας κοινωνίας ἀποκεχωρίσθαι· δι' ἣν αἰτίαν τοὺς ἀναδιδάξοντας (78) πρέσβεις πρὸς τὴν σὴν ἐπιείκειαν ἀπεστάλκαμεν, τὴν γνώμην τοῦ συνεδρίου διὰ τῆς ἐπιστολῆς μηνύσοντας· τοῖς δὲ πρέσβεσι πρό γε πάντων τοῦτο παρεκελευσάμεθα, τὸ τὴν ἀλήθειαν

A II. Ideo Ursacius et Valens in suspicionem ejusdem hæreseos Arianæ veneruntaliquando et suspensi erant a communione : et rogaverunt veniam, sicut eorum continent scripta,quam meruerant tunc temporis a concilio Mediolonensi, assistentibus etiam legatis Romanæ Ecclesiæ. Constantino præsente in hoc, cum magno examine fuisset conscriptum,quod tenens baptizatus ad quietem Dei commigravit; nefas putamus inde aliquid mutilare, et tot sanctos et confessores et successores martyrum ipsius tractatus conscriptores in aliquo removere, cum et ipsi præteritorum Catholicorum secundum Scripturas cunctas (79) servaverunt, mansisseque in hæc tempora, quibus pietas tua a Deo Patre per Deum et Dominum nostrum Jesum Christum regendi orbis
B accepit. Tunc etiam conabantur convellere, quod fuerat positum ratione. Etenim cum pietatis tuæ litteræ jusserunt tractari de fide, offerebatur nobis a supradictis turbatoribus Ecclesiarum, associato Germinio (Auxentio) et Gaio, novum nescio quid considerandum,quod multa perversæ doctrinæ continebat. Adeo cum videretur displicere quod offerebant **579** publice in concilio, putaverunt aliter esse conscribendum. Equidem hæc brevi tempore sæpe mutasse manifestum est. Et ne Ecclesiæ frequenter perturbentur, placuit instituta vetera rationabilia servari. Ad instruendam igitur tuam clementiam (80) (legatos misimus qui tibi sententiam synodi per epistolam indicent), quibus hoc ipsum solum mandamus ut non aliter legationem perferrent, quam statuta vetera permanerent firC missima, ut et sapientia tua cognosceret, non hoc quod promiserant supradicti Valens et Ursacius, Germinius et Gaius, si sublatum fuisset, pacem posse compleri. Mogis enim turbatio cunctis regionibus et Ecclesiæ Romanæ immissa est.

(66) Ἔκπαλαι deest in Theodor. Sozom. vero legit πάλαι. Mox Socrat. et Theodor., Ἀρειανικοῦ. Paulo post Theodor., καθεστῶτες τῆς ἡμετέρας.

(67) Theodor., δή.

(68) Regius mendose, ἐκτεθηκότες.

(69) Regius, μετ' ἐκείνου. Paulo post omnes manuscript. cum Socrat. Sozom. Theodor., τοσούτους ἁγίους. Editi, τούτους ἁγίους. Ibid. Socrat. Sozom. Theodor., καὶ μάρτυρας. Paulo post Theodor., παρἰδεῖν pro ὑπεριδεῖν.

(70) Theodor., καὶ διὰ τοῦ.

(71) Regius, φρονήματι, ἀθεμίτῳ φρονήματι.

(72) Sic Regius, Socrat., Sozom. In editis τό deest. Mox editi, συνεκρότητο. Regius, συγκεκροτητο. Socrat, Sozom. Theodor., συνεκροτεῖτο.

(73) Socrat., ἑτερείας. Sozom., ἑτερείας. Ibidem Regius, τοὺς συναλισκομένους. Mox Socrat. et Theodor., Γερμάνιος. Ibidem Auxentium Hilarius omittit. Theodor., τοὺς τὴν αἵρεσιν καὶ διχοστασίαν.

(74) Sozom.. διδασκαλία μὴ μένουσα. Nec possunt hæc in contextu Latino internosci, ita libera ver-
D sione Græca donatus est.

(75) Socrat. et Theodor., τῆς αὐτῆς προαιρέσεως. Sozom., τῆς αὐτῆς αἱρέσεως.

(76) Sozom., θόρυβος καλιοδούμενος ἅπαντας συνέχῃ.

(77) Ita Reg. Socrat. Theod. At Soz. cum Athanasii editis, διωρισμένα. Mox Sozom., φυλάττειν. Porro hujusmodi decretum videsis apud Hilar. fragm. 7, col. 1341. Mox in Latino desunt quædam.

(78) Sic Reg. Sozom. et Theodor. At editi cum Socrate, ἀναδιδάξαντας. Vide Hilarium ibid. Reg. Socrat. Sozom. Theedor,, μηνύσοντας. Editi, μηνύσαντες. Ibid. Socrat., τοῖς γε πρεσβεύουσι.

(79) Forte, *cuncta*. Locus vitiosus.

(80) Hilarii textus hic deficit.

πιστώσασθαι ἐκ τῶν πάλαι ἀρχαίων καὶ δικαίων ὁρμωμένους (81). οἵ καὶ τὴν σὴν ἀναδιδάξουσιν ὁσιότητα, ὅτι οὐχ, ὥσπερ ἔφησαν Οὐρσακί᾽ς τε καὶ Οὐάλης, ἔσται εἰρήνη, εἴπερ τι τῶν δικαίων ἀνατραπείη. Πῶς γὰρ εἰρήνην οἷόν τε ἄγειν τοὺς τὴν εἰρήνην καταλύοντας ; μᾶλλοι γὰρ ἔρις καὶ ταραχὴ ἐκ τούτων σὺν ταῖς λοιπαῖς πόλεσι καὶ τῇ τῶν Ῥωμαίων Ἐκκλησίᾳ γενήσεται.

III. Ob quam rem tuam rogamus clementiam, ut placidis auribus et sereno vultu universos legatos nostros et respicias et audias : neve aliquid permittat clementia tua injuria veterum convelli ; sed manere ea, quæ a majoribus nostris accepimus, quos fuisse et prudentes, et sine Spiritu sancto Dei non egisse confidimus, quia ista novitate non solum fideles populi perturbati sunt, verum etiam infideles ad credulitatem vetantur accedere. Oramus etiam ut præcipias tot episcopos, qui Arimino detinentur, inter quos plurimi sunt qui ætate et paupertate defecti sunt, ad suam provinciam remeare, ne destituti suis episcopis laborent populi Ecclesiarum. Hoc etiam frequentius postulamus, ut nihil innovetur, nihil minuatur; sed maneant incorrupta quæ patris sanctæ pietatis tuæ temporibus et tuis religiosis sæculis permanserunt. Nec jam nos fatigari aut convelli a sedibus nostris tua sancta prudentia permittat, sed quieti vacent semper postulationibus, quas habent semper et pro salute tua, et pro regno tuo, et pro pace quam tibi Divinitas pro meritis tuis profundam et perpetuam largiatur. Legati autem nostri et subscriptiones et nomina episcoporum vel legatorum perferent, sicut idem alia scriptura instruit tuam sanctam religiosamque prudentiam.

A Διὸ δὴ ἱκετεύομεν τὴν σὴν ἐπιείκειαν, ἵνα προσηνέσιν ἀκοαῖς καὶ γαληναίῳ βλέμματι τοὺς ἡμετέρους πρέσβεις ἀθρήσειας, μήτε (82) πρὸς ὕβριν τῶν τετελευτηκότων καινόν τι μεταλλάττειν ἐπιτρέψειας· ἀλλ᾽ ἐάσῃς ἐμμένειν ἡμᾶς τοῖς παρὰ τῶν προγόνων ὁρισθεῖσί τε καὶ νενομοθετημένοις· οὕς ἅπαντα μετὰ ἀγχινοίας τε καὶ φρονήσεως καὶ Πνεύματος ἁγίου πεποιηκέναι φήσαιμεν ἄν. Τὰ γὰρ νῦν παρ᾽ ἐκείνων καινοτομούμενα τοῖς μὲν πιστεύσασιν ἀπιστίαν ἐμποιεῖ (83) τοῖς δὲ ἀπιστοῦσιν ὠμότητα. Ἱκετεύομεν δὲ ἔτι, ἵνα κελεύσῃς ἐπισκόπους τοὺς ἐν (84) ταῖς ἀλλοδαπαῖς διατρίβοντας, οὕς καὶ τὸ τῆς ἡλικίας ἐπίπονον καὶ τὸ τῆς πενίας ἐνδεὲς τρύχει, τὴν εἰς τὰ οἰκεῖα ἀνακομιδὴν ῥᾳδίαν ποιήσασθαι· ἵνα μὴ ἔρημοι, τῶν ἐπισκόπων ἀφωρισμένων (85), αἱ Ἐκκλησίαι διαμένωσιν. Ἔτι δὲ πρὸς ἅπασι καὶ τοῦτο δεόμεθα, ἵνα B μηδὲν μήτε ἐλλείπῃ τῶν προϋπαρξάντων, μητε πλεονάζοι· ἀλλὰ πάντα ἄῤῥηκτα διαμείνῃ (86), ἐκ τῆς τοῦ σοῦ πατρὸς εὐσεβείας καὶ εἰς τὸν νῦν χρόνον (87) διαφυλαττόμενα· μήτε λοιπὸν ἡμᾶς μοχθεῖν, καὶ τῶν οἰκείων παροικήσεων ἀλλοτρίους ἐπιτρέψειας γίνεσθαι (88)· ἀλλ᾽ ἵνα οἱ ἐπίσκοποι σὺν τοῖς ἰδίοις λαοῖς μετ᾽ εἰρήνης εἰς εὐχάς τε καὶ λατρείας σχολὴν ἄγοιεν, ἱκετεύοντες ὑπὲρ τῆς σῆς βασιλείας, καὶ σωτηρίας, καὶ εἰρήνης, ἣν ἡ Θειότης (89) σοι εἰς τὸ διηνεκὲς χαρίσεται. Οἱ δὲ ἡμέτεροι πρέσβεις τάς τε ὑπογραφὰς καὶ τὰς τῶν ἐπισκόπων προσηγορίας κομίζουσιν, οἵτινες καὶ ἐξ αὐτῶν τῶν θείων Γραφῶν (90), τὴν σὴν ἀναδιδάξουσιν ὁσιότητα.

DECRETUM SYNODI.

C ΑΠΟΦΑΣΙΣ ΤΗΣ ΣΥΝΟΔΟΥ (91).

11. Quantum decuit, fratres charissimi, catholica synodus patientiam habuit, et piam Ecclesiam toties exhibuit juxta Ursacium et Valentem, Germinium, Gaium (et Auxentium); qui toties mutando quod crediderant, omnes Ecclesias turbaverunt, et nunc conantur hæreticum animum suum inserere animis Christianis. Subvertere enim volunt tractatum habitum apud Nicæam, 580 qui positus est contra Arianam hæresim et cæteras. Attulerunt nobis præterea conscriptam a se fidem, quam recipere nos non licebat. Jam quidem hæretici antehac nobis pronuntiati sunt, et multis diebus est com-

11. Ἕως προσῆκον ἦν καὶ δυνατὸν, ἀδελφοὶ τιμιώτατοι, ἡ καθολικὴ σύνοδος, καὶ ἡ ἁγία Ἐκκλησία τῇ ἰδίᾳ ὑπομονῇ καὶ ἀνεξικακίᾳ ἤνεγκεν οὐκ ἀγεννῶς Οὐρσάκιον, καὶ Οὐάλην καὶ Γάϊον, καὶ Γερμίνιον, καὶ Αὐξέντιον (92)· οἵτινες ἄλλοτε ἄλλο φρονοῦντες πάσας τὰς Ἐκκλησίας συνετάραξαν, οἵ καὶ νῦν ἐπιχειρῆσαι τετολμήκασι τὸν αἱρετικὸν λογισμὸν τῇ τῶν ὀρθοδόξων πίστει συνάψαι, καὶ διαλῦσαι τὴν ἐν Νικαίᾳ σύνοδον, ἥτις ἀντίμαχος ὑπάρχει τῇ τῶν Ἀρειανῶν αἱρέσει· ἔξωθεν ἰδίαν τινὰ καὶ ἀλλοτριωτάτην τῆς ἁγιωτάτης Ἐκκλησίας συγγραφεῖσαν πίστιν προσφέροντες· ἥντινα ἡμᾶς δέξασθαι ἀθέμιτον ἡγησάμεθα.

(81) Sozom., ἀρχαίων δικαίως ὡρισμένων. Mox Reg. Socrat. Sozom. Theodor., οἵ. Editi, οἱ. Ibid. Reg., ἀθεότητα, sed secunda manu superius scriptum est ὁσιότητα. Mox τε post Οὐρσάκιος abest a Sozom.

(82) Sozom., μηδέ. Paulo post Sozom. Theodor., ἐάσεις.

(83) Sozom., ἐνεπκίει.

(84) Ταῖς deest apud Sozom.

(85) Theodor., ἀφῃρημένων.

(86) Sozom., διαμένῃ, et in eodem καί sequens deest.

(87) Theodor., εἰς τὸν νῦν καὶ εἰς τὸν ἑξῆς χρόνον.

(88) Socrat., καὶ ἐκτὸς τῶν ἰδίων παροικιῶν ἐπιτρέψειας γενέσθαι. Sozom. et Theodor., καὶ τῶν ἰδίων παροικήσεων. Theodor., ἀλλοτρίους ἐπιτρέψειας γενέσθαι. Editi, ἐπιτρέψεις. Sed Regius melius, ἐπιτρέψειας. Mox Reg. Basil. Socrat. Soz. Theod., οἱ ἐπίσκοποι. In editis οἱ deest. Mox Theod. σὺν τῷ ἰδίῳ λαῷ μετ᾽ εἰρήνης εὐχαῖς τε καὶ λατρείαις σχολὴν ἄγοιεν Paulo post idem, βασιλείας τε καί.

(89) Theodor., ἡ θεότης.

(90) Sozom., γραμμάτων, et mox idem, θειότητα.

(91) Apud Hilar. fragm. 7, col. 1342, unde contextus Latinus desumptus est, legitur Græcianum a Calle decretum illud protulisse : quod cum Latine primum editum fuerit, ut ibidem jacet, Græce versum est.

(92) Auxentium omittit Hilarius de more.

ἔκπαλαι γὰρ οὗτοι αἱρετικοὶ ὄντες καὶ τἀναντία φρονοῦντες καὶ νῦν ἀπεδείχθησαν· οὓς πρὸς τὴν ἡμετέραν κοινωνίαν συνελθεῖν οὐκ ἐπιτρέπομεν, τῇ ἰδίᾳ φωνῇ παρόντας αὐτοὺς κατακρίναντες, καὶ καθαιροῦντες. Νῦν τοίνυν, ὅπερ δοκεῖ, ἀποφήνασθε· ἵνα ἑνός ἑκάστου ἡ γνῶσις ἐκ τῆς ὑπογραφῆς εἴη βέβαιος. Ὁμοθυμαδὸν οἱ ἐπίσκοποι φάσκομεν· Οἱ προειρημένοι ἐχθροὶ καθαιρεθῶσιν, ἵνα ἡ καθολικὴ πίστις ἐν εἰρήνῃ διαμείνῃ. Καὶ τὰ μὲν ἐν τῇ Ἀριμίνῳ (93) πραχθέντα ταχεῖαν καὶ τοιαύτην ἔσχε τὴν διάλυσιν. Οὐδεὶς γὰρ ἐκεῖ διεφώνησεν, ἀλλὰ πάντες συμφώνως ὡς ἔγραψαν τὰ δόξαντα, καὶ τοὺς Ἀρειανοὺς καθῄρησαν (94).

A probatum : quos et ad nostram communionem non admisimus, voce nostra damnantes eos præsentes. Nunc iterum quid vobis placet, iterum dicite, ut singulorum subscriptione firmetur. Universi episcopi dixerunt : Placet ut hæretici SS. (99) damnentur, quo possit Ecclesia fide inconcussa, quæ vere catholica est, in pace perpetua permanere. Rerum quidem Arimini gestarum celerrimus ejusmodi fuit exitus. Nulla enim ibi fuit sententiarum discrepantia : sed omnes una mente quæ decreta fuerant conscripserunt, Arianosque deposuerunt.

12. Τὰ δὲ ἐν Σελευκείᾳ τῇ Τραχείᾳ γενόμενα ταῦτά ἐστι. Μὴν μὲν ἦν ὁ κατὰ Ῥωμαίους καλούμενος Σεπτέμβριος, κατὰ δὲ τοὺς Αἰγυπτίους Θὼθ, καὶ κατὰ Μακεδόνας Γορπιαῖος, καὶ ἡμέρα τοῦ μηνὸς κατ' Αἰγυπτίους ἐκκαιδεκάτη, εἰς ἣν συνέδραμον πάντες οἱ κληθέντες συνελθεῖν· ἦσαν δὲ κἀκεῖ που ρξ' · πολλῶν δὲ ὄντων τῶν ἐν αὐτοῖς κατηγορουμένων, καὶ τῶν κατηγορούτων βοώντων κατ' αὐτῶν, Ἀκάκιος καὶ Πατρόφιλος, καὶ Οὐράνιος ὁ ἀπὸ Τύρου, καὶ Εὐδόξιος ὁ ἐπειστηδήσας τῇ Ἀντιοχέων Ἐκκλησίᾳ, Λεόντιός τε καὶ Θεόδοτος, καὶ Εὐάγριος, καὶ Θεόδουλος, καὶ Γεώργιος ὁ διωχθεὶς ἀπὸ τῆς οἰκουμένης, πράττουσί τι πανοῦργον (95). Φοβηθέντες γὰρ τοὺς κατ' αὐτῶν παρὰ τῶν κατηγόρων ἐλέγχους, προσελάβοντο τοὺς ἄλλους τῆς Ἀρείου μερίδος, τοὺς εἰς αὐτὸ τοῦτο μισθωτοὺς εἰς ἀσέβειαν γιομένους, καὶ κατὰσταθέντας παρὰ Σεκούνδου τοῦ καθαιρεθέντος παρὰ τῆς μεγάλης συνόδου· ἀπὸ μὲν τῆς Λιβύης Στέφανον καὶ Σεράτ (96), καὶ Πολυδεύκην, κατηγορουμένους ἐπὶ διαφόροις ἐγκλήμασι· καὶ λοιπὸν Ἡγκράτιον, καὶ Ἡτολεμαῖον, Μελιτιανόν τινα, καὶ σχηματισάμενοι δῆθεν περὶ πίστεως ζητεῖν, οὐκ ἐλάνθανον τοὺς κατηγόρους δεδιότες· καὶ τὴν αἵρεσιν ἐζεδίκουν, καὶ λοιπὸν ἰσχίσθησαν· καὶ οἱ μὲν μετὰ τῶν περὶ Ἀκάκιον ἦσαν ὕποπτοι, καὶ ὀλίγιστοι (97) παντελῶς· οἱ δὲ ἄλλοι τὸ πλῆθος ἦσαν. Οἱ μὲν οὖν περὶ Ἀκάκιον ἀποχρησάμενοι τῷ τῆς ἀπονοίας θράσει, τέλεον ἠρνοῦντο τὰ ἐν Νικαίᾳ γραφέντα, καὶ τὴν σύνοδον διέβαλλον· οἱ δὲ ἄλλοι (τὸ πλῆθος δὲ ἦσαν οὗτοι) τὰ μὲν ἄλλα πάντα τῆς συνόδου ἀπεδέχοντο· μόνην δὲ τὴν τοῦ ὁμοουσίου λέξιν, ὡς ἐκ τῆς ἀσαφείας ὕποπτον, ἐπροφασίζοντο. Ἐγχρονιζόντων τοίνυν ἐν τῷ τόπῳ, καὶ τῶν μὲν κατηγόρων ἐπικειμένων τῶν δὲ κατηγορουμένων φευγόντων, καὶ διὰ τοῦτο πλέον ἐξ ἀσεβείας (98) ἐξαγομένων, καὶ βλασφημούντων εἰς τὸν Κύριον, ἠγανάκτησε τὸ πλῆθος τῶν ἐπισκόπων, καὶ καθῄρησαν μὲν Ἀκάκιον, Πατρόφιλον, Οὐράνιον, Εὐδόξιον, καὶ τόν ἀπὸ ὑποδεκτῶν Γεώργιον, καὶ ἄλλους ἀπὸ τῆς Ἀσίας,

12. Seleuciæ vero Asperæ hæc acta sunt. Mensis erat a Romanis September, ab Ægyptis Thoth, a Macedonibus Gorpiæus nominatus; decimaque sexta mensis secundum Ægyptios : qua qui vocati fuerant convenere. Erantque ibi episcopi circiter centum sexaginta. Cum autem ex illis multi accusarentur, clamarentque accusatores adversus illos, Acacius, Patrophilus, Uranius Tyri, Eudoxius qui Antiochenam invasit Ecclesiam, Leontius, Theodotus, Evagrius, Theodulus, et Georgius ille ex toto terrarum orbe pulsus, callidam rem aggrediuntur. Veriti quippe accusatorum suorum probationes, alios secum Arianæ factionis assumpsere, qui pariter ad impietatem mercenarii, et a Secundo, per magnam synodum deposito, ordinati fuerant : ex Libya Stephanum, Seram, et Pollucem, de variis criminibus accusatos, ac deinde Pancratium et Ptolemæum quemdam Meletianum, et cum se de fide inquirere velle simularent, haudquaquam latuit eos reformidare accusatores suos; cumque hæresim vindicarent, disjuncti sunt episcopi, et alii quidem, Acacio juncti, paucissimi numero, suspecti erant, alii autem multitudo erant. Acaciani igitur amentiæ suæ audacia usi, quæ Nicææ scripta fuerant plane abnegarunt, ipsamque synodum criminabantur. Alii autem multo majore numero, reliquis omnibus synodi admissis verbis, solam consubstantialis vocem, eo scilicet obtentu quod præ obscuritate suspecta esset, improbabant. Cum igitur illic diutius immorarentur, instantibus accusatoribus, accusatis autem refugientibus, et ea de causa vehementius impietate sua concitatis, in Dominumque blasphemantibus, episcoporum multitudo rem indignissime ferens, Acacium quidem, Patrophilum, Uranium, Eudoxium, Georgiumque olim exactorem et alios ex Asia, Leontium, Theodosium, Evagrium, et Theodulum deposuere. A communione autem sua segregarunt Asterium, Eusebium, Augarum, Basi-

(93) Regius et Basil., Ἀριμήνῳ. Infra in editis post συμφώνως legitur ὡς, sed deest in Regio.

(95) Post hæc sequebatur in edit. Paris. hujusmodi titulus : Τῆς ἐν Σελευκείᾳ συνόδου πρόσταξις, ἐπίσκοποι, καὶ ἄλλα πραχθέντα, quæ, cum desint in edit. Commel. et in omnibus manuscript., omissa sunt. Porro de synodo Seleuciensi vide Socrat. lib. II, cap. 39 ; Sozom. lib. IV, cap. 22 ; Theodor. lib. II, cap. 26.

(95) Ita Regius. Editi vero, κακοῦργον.

(96) Sic Regius et Basil. et ita legitur apud Epiphanium Hæresi LXXIII, num. 26, Σέρας ἐπίσκοπος ἐκ Παρατονίου.

(97) Ita Regius. Editi vero, ὀλίγοι.

(98) Regius, ἐν ἀσεβείαις. Infra, Γεώργιον τὸν ἀπὸ ὑποδεκτῶν, de quo vide quæ diximus supra p. 307.

(99) Id est, *suprascripti*.

licum, Phœbum, Fidelium, Eutychium, Eustathium, et Magnum : eo quod in jus vocati, ut a multis allatas adversum se criminationes repellerent, non comparuissent : decreveruntque ut ita manerent, donec sese purgantes, ab ejusmodi criminibus se innocentes comprobarent. Cumque ad singulas diœceses judicium contra eos latum scripsissent, impiissimum Augustum Constantium adierunt, ut illi acta sua renuntiarent, ita enim jussum illis fuerat. Talisque fuit Seleucianæ synodi exitus.

A Λεόντιον καὶ Θεοδόσιον, Εὐάγριον καὶ Θεόδουλον · ἀκοινωνήτους δὲ πεποιήνασιν Ἀστέριον, Εὐσέβιον, Λύγαρον, καὶ Βασιλικὸν, καὶ Φοῖβον, καὶ Φιδήλιον, καὶ Εὐτύχιον, καὶ Εὐστάθιον, καὶ Μάγνον. Τοῦτο δὲ πεποιήκασιν, ἐπειδὴ, κληθέντες ἀπολογήσασθαι ἐφ' οἷς αὐτῶν πλεῖστοι κατηγόρουν, οὐκ ἀπήντησαν · καὶ ὥρισαν οὕτω μενειν αὐτοὺς, ἕως ἂν, ἀπολογησάμενοι, δείξωσιν ἑαυτοὺς καθαρους ἀπὸ τῶν ἐπιφερομένων αὐτοῖς ἐγκλημάτων. Γράψατές τε εἰς τὴν ἑκάστου παροικίαν τὴν κατ' αὐτῶν γενομένην κρίσιν, ἀνῆλθον παρὰ τὸν ἀσεβέστατον (2) Αὔγουστον Κωνστάντιον, ἀπαγγελοῦντες αὐτῷ τὰ πεπραγμένα · ταύτην γὰρ εἶχον πρόσταξιν. Καὶ τοῦτο τέλος γέγονε καὶ τῆς ἐν Σελευκείᾳ συνόδου.

13. Quis igitur non laudaverit episcoporum in Ariminensi synodo congregatorum pietatem ? qui **581** tanto itineris labore, tot maris periculis perfuncti sunt, ut eos qui cum Ario sentirent deponerent, Patrumque definitiones integras servarent, rebus sancte et canonice constitutis. Unicuique enim eorum persuasum erat, si majorum suorum decreta abrogarent, se posteris occasionem daturos, ut res a se constitutas irritas facerent. Quis contra non improbarit temeritatem Eudoxii et Acacii, qui Patrum suorum honorem, Ariomanitarum studio et gratiæ propinant ? Quænam fides eorum actis, si majorum solvantur acta ? aut cur Patres vocant eos quibus illi successere, quorum tamen sententiam criminantur ? Præsertim Acacius quidnam de magistro suo Eusebio dixerit, qui non modo Nicænæ synodo subscripsit, sed per epistolam plebi suæ significavit (1), hanc esse veram fidem, quæ in Nicæna synodo declarata esset ? Etenim licet arbitrio suo sese per epistolam excusarit, verba tamen non negavit, imo reprehendit Arianos, quod cum dicerent, Filius non erat antequam gigneretur, ne ante Mariam quidem eum esse vellent. Quid porro populos docebunt ab illis institutos ? an errasse Patres ? qui dictis eorum fidem habebunt discipuli, quibus suadent illi ut magistris non obtemperent ? Quibus oculis intuebuntur monumenta Patrum, quos nunc vocant hæreticos ? Cur Valentinianos, Cataphrygas et Manichæos insectantur, quos autem illis similia loqui arbitrantur, sanctos appellant ? Quove jure episcopi erunt ipsi, si ab iis quos ut hæreticos criminantur ordinati sunt ? Quod si male senserunt illi, et scriptis suis orbem terrarum in errorem deduxerunt, cesset penitus eorum memoria : et si scripta eorum abjiciantur, ite vos ipsi et eorum reliquias ex cœmeteriis abjicite, ut omnes intelligant, illos seductores, vos parricidas esse.

B 13. Τίς τοίνυν οὐκ ἂν ἀποδέξαιτο μὲν τὴν εὐλάβειαν τῶν ἐν τῇ Ἀριμίνῳ (3) συνόδῳ συνελθόντων ἐπισκόπων ; οἵ τοσοῦτον κάματον ὁδοῦ, καὶ θαλάττης κινδύνους ὑπέμειναν, ἵνα τοὺς μὲν φρονοῦντας τὰ Ἀρείου καθέλωσι, τοὺς δὲ τῶν Πατέρων ὅρους ἀκεραίους φυλάξωσιν, ὁσίως καὶ κανονικῶς τοῦτο βουλευσάμενοι. Ἠγεῖτο γὰρ ἕκαστος αὐτῶν, εἰ λύσιεν τὰ τῶν πρὸ αὐτῶν, πρόφασιν διδοναι τοῖς μετὰ ταῦτα, ὥστε λῦσαι τὰ παρ' αὐτῶν νῦν γιγνόμενα (4). Τίς δὲ οὐκ ἂν καταγνοίη τῆς εὐχερείας τῶν περὶ Εὐδόξιον καὶ Ἀκάκιον, οἳ τὴν τῶν ἑαυτῶν Πατέρων τιμὴν προπίνουσι τῇ πρὸς τοὺς Ἀρειομανίτας σπουδῇ καὶ χάριτι ; Ποία γὰρ πίστις τοῖς παρ' αὐτῶν γινομένοις, εἰ τὰ τῶν προτέρων καταλύεται ; ἢ πῶς Πατέρας ὀνομάζουσιν, οὓς διεδέξαντο, ὧν αὐτοὶ τῆς γνώμης κατήγοροι γίνονται ; Μάλιστα δὲ Ἀκάκιος τί ἂν εἴποι πρὸς Εὐσέβιον τὸν C ἑαυτοῦ διδάσκαλον, ὃς οὐ μόνον ὑπέγραψεν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ ἀλλὰ γὰρ (5) καὶ δι' ἐπιστολῆς ἐδήλωσε τοῖς ὑS' αὐτὸν λαοῖς ταύτην εἶναι πίστιν ἀληθῆ, τὴν ὁμολογηθεῖσαν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ ; εἰ γὰρ καὶ ὡς ἠθέλησεν ἀπελογήσατο διὰ τῆς ἐπιστολῆς, ἀλλά γε τὰς λέξεις οὐκ ἠρνήσατο, ἀλλὰ καὶ κατηγόρησε τῶν Ἀρειανῶν, ὅτι λέγοντες, Οὐκ ἦν πρὶν γεννηθῇ ὁ Υἱὸς οὐδὲ πρὸ Μαρίας αὐτὸν ἤθελον εἶναι. Τί ἄρα καὶ διδάξουσι (6) τοὺς λαοὺς, τοὺς παρ' ἐκείνων διδαχθέντας ; ὅτι ἐσφάλησαν οἱ Πατέρες ; καὶ πῶς αὐτοὶ πιστευθήσονται παρ' αὐτοῖς, οὓς διδάσκουσι παρακούειν τῶν διδασκάλων ; Ποίοις δὲ ὄμμασι ἐμβλέψονται καὶ τοῖς μνήμασι τῶν Πατέρων, οὓς ὀνομάζουσι νῦν αἱρετικούς ; Τί δὲ τοὺς ἀπὸ Οὐαλεντίνου (7), καὶ Φρυγίας, καὶ Μανιχαίους διασύρουσι, D τοὺς δὲ τὰ ὅμοια φθεγξαμένους, ὡς ὑπονοοῦσιν αὐτοὶ, ἁγίους ὀνομάζουσιν ; Ἢ πῶς ἔτι δύνανται αὐτοὶ εἶναι ἐπίσκοποι, εἰ παρ' αἱρετικῶν, ὡς αὐτοὶ διαβάλλουσι, κατεστάθησαν ; Εἰ δὲ καὶ κακῶς ξφρόνησαν, καὶ γράψαντες ἐπλάνησαν τὴν οἰκουμένην, παυθήτω τέλεον καὶ ἡ περὶ τούτων μνήμη · καὶ εἰ τὰ γράμματα αὐτῶν ἐκβάλλεται, ἐκβάλλετε (8) ὑμεῖς ἀπελθόντες ἀπὸ τῶν κοιμητηρίων τὰ λείψανα τούτων, ἵνα γνῶσιν ἅπαντες ἐκείνους μὲν πλάνους, ὑμᾶς δὲ πατροκτόνους.

14. Certe beatus Apostolus Corinthios laudat his verbis : « Quod per omnia mei memores estis : et

14. Ὁ μὲν οὖν ματάριος Ἀπόστολος ἀποδέχεται τοὺς Κορινθίους λέγων· « Ὅτι πάντα μου μέμνησθε,

(1) Eam epistolam habes supra post tractatum *De Nicæna synodo*.

(2) Sic Regius et sic legendum patet, nam ἀσεβέστατον item infra Constantium nuncupat. Editi, εὐσεβέστατον. Quam facili lapsu εὐ pro ἀ scribatur in codicibus, notatum sæpe superius est.

(3-4) Basil.. Ἀριμήνῳ.

(5) Sic Regius. In editis vero γάρ deest. Hæc autem confer cum iis quæ supra habentur, de sententia Nicænæ synodi, p. 166.

(6) Regius, διδάξωσι.

(7) Regius, mendose, Ἀλεντίνου.

(8) Regius, ἐκβάλετε.

καὶ καθὼς παρέδωκα ὑμῖν (8) τὰς παραδόσεις, οὕτω κατέχετε· » οὗτοι δὲ, τοιαῦτα περὶ τῶν πρὸ αὐτῶν ἐνθυμούμενοι, τἀναντία πάντως τοῖς λαοῖς καὶ εἰπεῖν τολμήσουσιν· Οὐκ ἐπαινοῦμεν ὑμᾶς μνημμονεύοντας τῶν Πατέρων, ἀλλ' ἀποδεχόμεθα μᾶλλον ὑμᾶς, ὅταν τὰς παραδόσεις αὐτῶν μὴ κατέχητε· καὶ λοιπὸν διαβαλλέτωσαν τὴν ἑαυτῶν δυσγένειαν, καὶ λεγέτωσαν· Ἡμεῖς οὐκ εὐσεβῶν, ἀλλ' ἐξ αἱρετικῶν γεγόναμεν. Τοιαῦτα γὰρ ἁρμόζει λέγειν τοῖς, ὡς προεῖπον, προπίνουσι τὴν τῶν Πατέρων τιμὴν, καὶ τὴν ἑαυτῶν σωτηρίαν τῇ Ἀρειανῶν (9) αἱρέσει, καὶ μὴ φοβουμένοις ἀκοῦσαι τὸ ἐν τῇ θείᾳ Παροιμίᾳ γεγραμμένον, « Ἔκγονον κακὸν πατέρα καταρᾶται, » καὶ τὴν ἐν τῷ νόμῳ κατὰ τῶν τοιούτων κειμένην ἀπειλήν. Ἐκεῖνοι μὲν οὖν διὰ τὴν ὑπὲρ τῆς αἱρέσεως σπουδὴν τοιοῦτον φιλόνεικον ἐσχήκασι καὶ τὸ φρόνημα· ὑμεῖς δὲ μὴ διὰ τοῦτο ταραχθῆτε, μηδὲ τὴν ἐκείνων τόλμαν ἀλήθειαν ἡγήσησθε (10). Καὶ γὰρ καὶ πρὸς ἑαυτοὺς ἀνθίστανται, καὶ τῶν Πατέρων ἀποστάντες, μίαν οὐκ ἔχουσι τὴν γνώμην, ἀλλὰ ποικίλαις καὶ διαφόροις νήχονται μεταβολαῖς· καὶ πρὸς τὴν ἐν Νικαίᾳ σύνοδον ἐρίζοντες, πολλὰς μὲν συνόδους πεποιήκασι καὶ αὐτοὶ, καθ' ἑκάστην δὲ πίστιν ἐκτιθέμενοι, ἐν οὐδεμιᾷ μεμενήκασιν· ἀλλὰ καὶ οὐ παύσονταί γε ἀεὶ τοῦτο ποιοῦντες, ὅτι, κακῶς ζητοῦντες, οὐχ εὑρήσουσιν ἣν ἐμίσησαν σοφίαν. Ὑπέταξα τοίνυν ἀναγκαίως ἀπὸ μέρους τά τε παρὰ Ἀρείου γραφέντα, καὶ ὅσα συναγαγεῖν ἠδυνήθην, ὧν ἐν διαφόροις οὗτοι συνόδοις ἐξέθεντο· ἵνα γνῶτε καὶ θαυμάσητε, τίνος ἕνεκα, πρὸς οἰκουμενικὴν σύνοδον, καὶ πρὸς τοὺς ἑαυτῶν Πατέρας φιλονεικοῦντες, οὐ καταδύονται. Ἄρειος καὶ οἱ σὺν αὐτῷ φρονήσαντες, καὶ λέγοντες, « Ἐξ οὐκ ὄντων πεποίηκε τὸν Υἱὸν ὁ Θεὸς, καὶ κέκληκεν ἑαυτῷ Υἱόν· ἓν τῶν κτισμάτων (11) ἐστὶν ὁ τοῦ Θεοῦ Λόγος, » καὶ. « Ἦν ποτε, ὅτε οὐκ ἦν· τρεπτὸς δέ ἐστι, δυνάμενος, ὅτε βούλεται, τραπῆναι, » ἐξεβλήθησαν τῆς Ἐκκλησίας παρὰ τοῦ μακαρίτου Ἀλεξάνδρου.

15. Ἀλλ' ἐκβληθεὶς καὶ ἐπιτριβεὶς Ἄρειος παρὰ τῶν περὶ Εὐσέβιον, συνέθηκεν ἑαυτοῦ τὴν αἵρεσιν ἐν χάρτῃ, καὶ ὡς ἐν Θαλίᾳ ζηλώσας οὐδένα τῶν φρονίμων, ἀλλὰ τὸν Αἰγύπτιον Σωσάτην ἐν τῷ ἤθει καὶ τῇ ἐκδύσει τοῦ (12) μέλους, γράφει μὲν πολλὰ, ἀπὸ μέρους δέ ἐστιν αὐτοῦ ταῦτα·

ΒΛΑΣΦΗΜΙΑΙ ΤΟΥ ΑΡΕΙΟΥ (13).

Αὐτὸς γοῦν ὁ Θεὸς καθό ἐστιν, ἄῤῥητος ἅπασιν ὑπάρχει. Ἴσον, οὐδὲ ὅμοιον, οὐχ ὁμόδοξον ἔχει μόνος οὗτος. Ἀγέννητον δὲ αὐτόν φαμεν διὰ τὸν τὴν φύσιν γεννητόν· τοῦτον ἄναρχον ἀνυμνοῦμεν διὰ τὸν ἐν χρόνῳ (14) γεγαότα. Ἀρχὴν τὸν Υἱὸν ἔθηκε τῶν γενητῶν ὁ ἄναρχος, καὶ ἤνεγκεν εἰς Υἱὸν ἑαυτῷ τόνδε τεκνοποιήσας. Ἴδιον οὐδὲν ἔχει τοῦ Θεοῦ καθ' ὑπό-

sicut tradidi vobis, præcepta mea tenetis [95]. » Ieti autem cum talia de majoribus suis cogitent, iis plane contaria populis dicere audebunt: Non vos laudamus quod Patrum memores sitis; sed potius eo vos probamus, quod eorum traditiones non retineatis: ac demum infaustum suum genus culpent, dicantque, Nos non ex piis viris, sed ex hæreticis originem duximus. Decet quippe ita loqui homines, qui uti supra dixi, et Patrum honorem, et salutem suam Arianæ hæresi propinant, qui non quod in divino Proverbio scriptum est, « Mala proles patrem exsecratur [96], » audire metuunt, non minas adversum ejusmodi homines in lege positas. Ob suum itaque pro hæresi studium, ita pertinace sunt animo. At vos ne ideo turbemini, neve audaciam eorum pro veritate habeatis. Etenim ipsi inter se mutuo dissident, et cum a Patribus defecerint, nequaquam una eademque sunt mente; sed variis diversisque sententiis fluctuant: disceptantesque adversus Nicænam synodum, multas et ipsi synodos celebrarunt, in quarum singulis cum fidem exposuerint, nulli tamen stetere professioni, nec alio unquam modo acturi sunt, male quippe quærendo, quam oderunt sapientiam nunquam invenient. Non ab re igitur aliquam Arii scriptorum partem subjunxi, item quascunque colligere potui fidei expositiones in variis synodis editas ab illis, ut cognoscatis, et quidem non sine admiratione, qua de causa, nullo afficiantur **582** pudore, dum adversus œcumenicam synodum et adversus patres suos disceptant. Arius et sectatores ejus cum hæc sentirent atque proferrent. « Ex non entibus Deus Filium fecit, et vocavit eum sibi Filium, Dei Verbum est una ex creaturis, » et, « Erat aliquando cum non esset, mutabilis autem est, potestque, cum voluerit, mutari, » a beatæ memoriæ Alexandro ab Ecclesia ejecti sunt.

15. Ejectus autem Arius dum apud Eusebium versaretur, suam hæresim in charta disposuit, et quasi in *Thalia*, neminem prudentium, sed Ægyptium Sotadem, moribus et dissolutione numerorum imitatus, multa scripsit, quorum pars hæc est:

BLASPHEMIÆ ARII (15).

Ipse igitur Deus secundum illud quod est, ineffabilis omnibus est. Hic solus nullum sibi vel æqualem vel similem vel æqualis gloriæ habet. Ingenitum autem illum dicimus, propter eum qui natura genitus est: hunc sine principio celebramus, propter eum qui initium habet. Æternum ipsum veneramur, propter eum qui in tempore natus est. Qui sine

[95] I Cor. xi, 2. [96] Prov. xxx, 11.

(8) Sic Regius Editi, ὑμᾶς.
(9) Regius, Ἀρειανῇ. Mox idem, φοβουμένους, male.
(10) Regius ἡγήσησθε. Editi vero, ἡγήσασθε.
(11) Basil., καὶ ἓν τῶν κτισμάτων. Infra editio Commel. et omnes mss., ὅτε βούλεται. Edit. Paris., ὅτι βούλεται.
(12) Sic Regius. In editis τοῦ deest. Hic Sosates vocatur Sotades supra.
(13) Ante Ἀρείου, τοῦ deest in editis, in Regio habetur. Ibid. Regius βλασφημία.
(14) Regius χρόνοις. Paulo post τόνδε deest in editis. In Regio legitur.
(15) Hæc paulo post annum 320 edita videntur.

initio est Filium posuit initium creaturarum, hunc- A στασιν ἰδιότητος· οὐδὲ γάρ ἐστιν ἴσος, ἀλλ' οὐδὲ
que tulit ac sibi in Filium adoptavit, qui nihil Deo ὁμοούσιος αὐτῷ (16). Σοφὸς δέ ἐστιν ὁ Θεὸς, ὅτι τῆς
proprium habet secundum propriam substantiam, σοφίας διδάσκαλος αὐτός. Ἱκανὴ δὲ ἀπόδειξις, ὅτι ὁ
non est enim æqualis aut substantialis illi. Sa- Θεὸς ἀόρατος ἅπασι, τοῖς τε διὰ Υἱοῦ καὶ αὐτῷ τῷ
piens vero est Deus, quia sapientiæ magister ipse Υἱῷ ἀόρατος ὁ αὐτός. Ῥητῶς δὲ λέξω. πῶς τῷ Υἱῷ
est. Evidens quoque res est, Deum invisibilem esse ὁρᾶται ὁ ἀόρατος· Τῇ δυνάμει ᾗ δύναται ὁ Θεὸς ἰδεῖν
omnibus quæ per Filium sunt, ipsique Filio invisi- ἰδίοις τε μέτροις ὑπομένει ὁ Υἱὸς ἰδεῖν τὸν Πατέρα,
bilem esse. Diserte autem dicam quo modo a Filio ὡς θέμις ἐστίν. Ἥγουν Τριὰς ἐστι δόξαις οὐχ ὁμοίαις·
videatur qui est invisibilis: Qua vi Deus videre po- ἀνεπίμικτοι ἑαυταῖς εἰσιν αἱ ὑποστάσεις αὐτῶν· μία
test, eadem propriis modis in Filium cadit Patrem τῆς μιᾶς ἐνδοξοτέρα δόξαις ἐπ' ἄπειρον. Ξένος τοῦ
videre, quatenus fas est. Nimirum Trinitas est non Υἱοῦ κατ' οὐσίαν ὁ Πατὴρ, ὅτι ἄναρχος ὑπάρχει.
simili gloria, substantiæ enim eorum inter se per- Σύνες, ὅτι ἡ μονὰς ἦν· ἡ δυὰς δὲ οὐκ ἦν, πρὶν ὑπάρ-
mistæ non sunt, altera altera gloriosior est in im- ξῃ. Αὐτίκα γοῦν, Υἱοῦ μὴ ὄντος, ὁ Πατὴρ Θεός ἐστι.
mensum. Extraneus a Filio secundum essentiam Λοιπὸν ὁ Υἱὸς οὐκ ὢν (ὑπῆρξε δὲ θελήσει πατρῴᾳ),
Pater est, quia sine principio est. Intellige unitatem μονογενὴς Θεός ἐστι, καὶ ἑκατέρων ἀλλότριος οὗτος.
fuisse, dualitatem vero non fuisse priusquam exsi- B Ἡ Σοφία σοφία ὑπῆρξε σοφοῦ Θεοῦ θελήσει. Ἐπινοεῖ-
steret. Igitur Filio nondum exsistente, Pater Deus ται γοῦν μυρίαις ὅσαις ἐπινοίαις Πνεῦμα, δύναμις,
est. Dehinc cum Filius aliquando non exstiterit σοφία, δόξα Θεοῦ, ἀλήθειά τε καὶ εἰκὼν, καὶ Λόγος,
(voluntate autem paterna exstitit), unigenitus Deus οὗτος. Σύνες, ὅτι καὶ ἀπαύγασμα καὶ φῶς ἐπινοεῖται.
est, et ab utroque alienus. Sapientia, Dei sapientis Ἴσον μὲν τοῦ Υἱοῦ γεννᾷν δυνατός ἐστιν ὁ κρείττων.
voluntate sapientia exstitit. Sexcentis igitur ratio- διαφορώτερον δὲ, ᾗ κρείττονα, ᾗ μείζονα, οὐχί (17).
nibus hic intelligitur, Spiritus virtus, sapientia, Θεοῦ θελήσει ὁ Υἱὸς ἡλίκος καὶ ὅσος ἐστὶν, ἐξ ὅτε
Dei gloria, veritas, imago, et Verbum. Intellige καὶ ἀφ' οὗ, καὶ ἀπὸ τότε ἐκ τοῦ Θεοῦ ὑπέστη, ἰσχυ-
illud etiam, splendorem et lucem concipi. Æqualem ρὸς Θεὸς ὤν, τὸν κρείττονα ἐκ μέρους δύνει. Συν-
Filio gignere potest Deus: at præstantiorem, vel ελόντι εἰπεῖν, τῷ Υἱῷ ὁ Θεὸς ἄῤῥητος ὑπάρχει· ἔστι
meliorem, vel majorem, nequaquam. Dei voluntate γὰρ ἑαυτῷ ὅ ἐστι, τοῦτ' ἔστιν ἄλεκτος· ὥστε οὐδὲν
Filius quantus quantus est, ex quo tempore a Deo τῶν λεγομένων κατά τε κατάληψιν συνίει ἐξειπεῖν ὁ
exstitit, Deus fortis cum sit, se præstantiorem ex Υἱός. Ἀδύνατα γὰρ αὐτῷ τὸν Πατέρα τε ἐξιχνιάσαι,
parte celebrat. Ut paucis dicam, Filio Deus est ὅς ἐστιν ἐφ' ἑαυτοῦ. Αὐτὸς γὰρ ὁ Υἱὸς τὴν ἑαυτοῦ
ineffabilis, est enim sibi quod est, hoc est inenar- οὐσίαν οὐκ οἶδεν· Υἱὸς γὰρ ὢν θελήσει Πατρός ὑπῆρ-
rabilis; ita ut nihil eorum quæ secundum compre- C ξεν ἀληθῶς. Τίς γοῦν λόγος συγχωρεῖ τὸν ἐκ Πατρὸς
hensionem dicuntur, intelligere, aut effari valeat ὄντα αὐτὸν τὸν γεννήσαντα γνῶναι ἐν καταλήψει;
Filius. Impossibile quippe est illi Patrem investi- δῆλον γὰρ (18), ὅτι τὸ ἀρχὴν ἔχον, τὸν ἄναρχον, ὡς
gare, qualis in se est. Nam ipse Filius ne suam ἔστιν, ἐμπεριτνοῆσαι, ἢ ἐμπεριδράξασθαι, οὐχ οἷόν τέ
quidem substantiam novit: Filius enim cum sit, ἐστιν.
paterna ex voluntate revera exstitit. Qua ratione fieri queat, ut qui ex Patre, ipsum genitorem
cognoscere atque comprehendere possit? Palam quippe est id quod habet initium, non posse id quod
non habet initium, ut est cogitare vel comprehendere.

16. Quæ vero Ariani per epistolam suam beatæ memoriæ viro Alexandro episcopo scripta tradidere, hæc sunt:

16. Ἃ δὲ καὶ δι' ἐπιστολῆς ἔγραψαν πρὸς τὸν μακαρίτην Ἀλέξανδρον τὸν ἐπίσκοπον, ἔστι ταῦτα·

583 *BEATO PAPÆ ET EPISCOPO NOSTRO ALEXANDRO PRESBYTERI ET DIACONI IN DOMINO SALUTEM.*

Nostra a majoribus fides quam et a te didicimus, beate papa, hæc est. Agnoscimus unum Deum, solum ingenitum, solum æternum, solum principio carentem, solum verum, solum immortalitate præditum, solum sapientem, solum bonum, D

(19) ΜΑΚΑΡΙΩ ΠΑΠΑ ΚΑΙ ΕΠΙΣΚΟΠΩ ΗΜΩΝ ΑΛΕΞΑΝΔΡΩ ΟΙ ΠΡΕΣΒΥΤΕΡΟΙ ΚΑΙ ΟΙ ΔΙΑΚΟΝΟΙ ΕΝ ΚΥΡΙΩ ΧΑΙΡΕΙΝ.

Ἡ πίστις ἡμῶν ἡ ἐκ προγόνων, ἣν καὶ ἀπὸ σοῦ μεμαθήκαμεν, μακάριε πάπα, ἔστιν αὕτη. Οἴδαμεν ἕνα Θεὸν, μόνον ἀγέννητον, μόνον ἀΐδιον, μόνον ἄναρχον, μόνον ἀληθινὸν, μόνον ἀθανασίαν ἔχοντα, μόνον σοφὸν, μόνον ἀγαθὸν, μόνον δυνάστην, πάντων κρι-

(16) Regius, αὐτοῦ.

(17) Sic habet interpunctio in Basiliensi codice, ita ut οὐχί ad superiora referatur, ut hæc sit sententia, Æqualem Filio potest gignere Deus, at præstantiorem, nequaquam. In editis vero οὐχί subsequentibus jungebatur male. Paulo infra Regius τὸ κρείττονα.

(18) Ita Regius in editis γάρ deest. Mox Regius, ὅς ἐστιν, et infra idem, οἷός τε.

(19) Habetur hæc fidei formula apud Epiphanum hæresi LXIX, num. 7; apud Hilarium bis, libro scilicet quarto de Trinitate, col. 833; libro item VI *De Trinit.*, col. 881. Apud Ambrosium, tom. II, pag. 786, in Gestis synodi Aquileiensis, hujus epistolæ seu fidei formulæ passim fit mentio, ejusque varia expenduntur loca, ab initio petita: atque ut ibi tetantur Patres in epistola ad imperatores numero decima, ea in synodo recitata fuit, atque isti ad imperatores epistolæ subjuncta, unde tamen excidit. Vocaturque ibi *Epistola Arii*, præcipui scilicet, at non solius ejus auctoris. — Regius et Epiph., καὶ ἐπισκόπῳ. In editis *καί* deest.

τὴν (20), διοικητὴν, οἰκονόμον, ἄτρεπτον, καὶ ἀναλ- A
λοίωτον, δίκαιον καὶ ἀγαθὸν, νόμου καὶ προφητῶν
καὶ Καινῆς Διαθήκης τοῦτον Θεόν· γεννήσαντα Υἱὸν
μονογενῆ πρὸ χρόνων αἰωνίων, δι' οὗ καὶ τοὺς αἰῶ-
νας καὶ τὰ ὅλα πεποίηκε (21)· γεννήσαντα δὲ οὐ δο-
κήσει, ἀλλὰ ἀληθείᾳ· ὑποστήσαντα ἰδίῳ θελήματι
ἄτρεπτον καὶ ἀναλλοίωτον κτίσμα τοῦ Θεοῦ τέλειον,
ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων· γέννημα, ἀλλ' οὐχ
ὡς ἓν τῶν γεγεννημένων (22), οὐδ' ὡς Οὐαλεντῖνος
προβολὴν τὸ γέννημα τοῦ Πατρὸς ἐδογμάτισεν· οὐδ'
ὡς ὁ Μανιχαῖος μέρος ὁμοούσιον τοῦ Πατρὸς τὸ γέν-
νημα εἰσηγήσατο· οὐδ' ὡς Σαβέλλιος τὴν μονάδα (23)
διαιρῶν, υἱοπάτορα εἶπεν· οὐδ' ὡς Ἱέρακας λύχνον
ἀπὸ λύχνου, ἢ ὡς λαμπάδα εἰς δύο· οὐδὲ τὸν ὄντα
πρότερον, ὕστερον γεννηθέντα, ἢ ἐπικτισθέντα εἰς
Υἱόν· ὡς καὶ σὺ αὐτὸς, μακάριε πάπα, κατὰ μέσην B
τὴν Ἐκκλησίαν καὶ ἐν συνεδρίῳ πλειστάκις τοὺς
ταῦτα εἰσηγησαμένους ἀπηγόρευσας, ἀλλ', ὡς φαμεν,
θελήματι τοῦ Θεοῦ πρὸ χρόνων καὶ πρὸ αἰώνων κτι-
σθέντα, καὶ τὸ ζῆν καὶ τὸ εἶναι παρὰ τοῦ Πατρὸς εἰλη-
φότα, καὶ τὰς δόξας συνυποστήσαντος αὐτῷ τοῦ Πα-
τρός. Οὐ γὰρ ὁ Πατὴρ, δοὺς αὐτῷ πάντων τὴν κλη-
ρονομίαν, ἐστέρησεν ἑαυτὸν, ὧν ἀγεννήτως ἔχει (24)
ἐν ἑαυτῷ· πηγὴ γάρ ἐστι πάντων. Ὥστε τρεῖς εἰσιν
ὑποστάσεις. Καὶ ὁ μὲν Θεὸς, αἴτιος τῶν πάντων τυγ-
χάνων, ἔστιν ἄναρχος μονώτατος (25). Ὁ δὲ Υἱὸς,
ἀχρόνως γεννηθεὶς ὑπὸ τοῦ Πατρὸς, καὶ πρὸ αἰώνων
κτισθεὶς καὶ θεμελιωθεὶς, οὐκ ἦν πρὸ τοῦ γεννηθῆ-
ναι (26), ἀλλ' ἀχρόνως πρό πάντων γεννηθείς, μόνος
ὑπὸ τοῦ Πατρὸς ὑπέστη. Οὐδὲ γὰρ ἐστιν ἀΐδιος, ἢ
συναΐδιος, ἢ συναγένητος (27) τῷ Πατρὶ· οὐδὲ ἅμα
τῷ Πατρὶ τὸ εἶναι ἔχει, ὥς τινες λέγουσι τὰ πρός τι, C
δύο ἀγεννήτους (28) ἀρχὰς εἰσηγούμενοι· ἀλλ' ὡς
μονὰς καὶ ἀρχὴ πάντων, οὕτως ὁ Θεὸς πρὸ πάντων
ἐστί. Διὸ καὶ πρὸ τοῦ Υἱοῦ (29) ἔστιν· ὡς καὶ παρὰ
σοῦ μεμαθήκαμεν κατὰ μέσην τὴν Ἐκκλησίαν κηρύ-
ξαντος. Καθὸ οὖν παρὰ τοῦ Θεοῦ τὸ εἶναι ἔχει, καὶ
τὰς δόξας καὶ τὸ ζῆν, καὶ τὰ πάντα αὐτῷ παρ-
εδόθη (30), κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ἐστιν ὁ Θεός.
Ἄρχει γὰρ αὐτοῦ, ὡς Θεὸς αὐτοῦ καὶ πρὸ αὐτοῦ ὤν.
Εἰ δὲ τὸ (31), « ἐξ αὐτοῦ, » καὶ τὸ, « ἐκ γαστρός, »
καὶ τὸ, « ἐκ τοῦ Πατρὸς ἐξῆλθον; καὶ ἥκω, » ὡς μέρος
αὐτοῦ ὁμοουσίου, καὶ ὡς προβολὴ ὑπό τινων νοεῖται,

18. Uno verbo ita illi scripsere, quasi singuli certarent atque contenderent, quisnam hæreseos impietatem plus augeret, et apertius eam detegeret. Porro epistolas illorum penes me non habeo, alioquin earum exemplaria vobis misissem, missurus sane si Deo volente nactus fuero. Item quidam Asterius ex Cappadocia, multiceps sophista, unus ex B Eusebianis, cum in priore persecutione sub Constantii avo diis sacrificasset, nec posset ab illis in clerum cooptari; ex sententia Eusebianorum opusculum edidit, eorum arbitrio conscriptum, quod sacrificii ejus scelus æquaret : in illo enim cum locustam et erucam Christo contulisset, imo prætulisset, ac diceret aliam esse in Deo sapientiam præter Christum, quæ et Christi et mundi creatrix esset, Syriæ Ecclesias aliasque, Eusebianorum commendatione 585 fretus, circuibat : ut quia semel Christum abnegare aggressus fuerat, ita nunc quoque adversus veritatem audacius insurgeret. Homo ille sane audacissimus in quæ loca sibi ingredi non liceret sese immisit, et in clericorum loco sedens opusculum publice legebat, cæteris tamen rem indigne ferentibus. Multa certe complectitur C opusculum illud : cujus hæc pars est : « Non enim ait beatus Paulus se Christum prædicare, propriam virtutem, aut sapientiam ejus, scilicet Dei, sed sine additamento, Dei virtutem, et Dei sapientiam : docens aliam quidem esse propriam ipsius Dei virtutem, ipsi innatam, non factam et cum ipso exsistentem quæ genitrix est, Christi scilicet, creatrix vero totius mundi : de qua in Epistola ad Romanos : « Invisibilia enim ipsius, inquit, a crea- « tura mundi, per ea quæ facta sunt, intellecta con- « spiciuntur : sempiterna quoque ejus virtus et divi- « nitas [3].» Sicut enim memoratam hic divinitatem nemo dixerit Christum esse, sed ipsum esse Patrem; sic puto, sempiternam ejus virtutem, non unigenitum Deum, sed eum qui genuit Patrem esse. D Aliam vero Dei virtutem et sapientiam docet, quæ scilicet per Christum exhibetur, et per ipsa ministerii ejus opera cognoscitur. » Et rursum : « Etsi sempiterna ejus virtus et sapientia, quam sine principio et generatione esse, veritatis ratiocinia de-

[3] Rom. I, 20.

(38) Regius et Basil., καὶ δι' ἄλλα.

(39) In edit. Paris. majusc. litteris scriptum erat : Ταῦτα τῆς Ἀλεξανδρείας πρεσβύτεροι, quæ desunt in edit. Commel. et in omnibus mss. Latina vero : *Hæc presbyteri Alexandrini*, a Commel. perperam adjecta sunt, cum in prioribus Latinis editis non exstarent. Græca a Parisiensibus addita sunt.

(40) Regius, δείξῃ.

(41) In Regio καί deletum est. Sed καί sequens potius delendum videtur. De Asterio autem et ejus scriptis vide supra in epistola De decretis Nicænis, p. 169.

(42) Sic Reg. et Basil. Editi vero ἀγεννήτως.

(43) Ita Reg. et Basil. In editis ἡ deest. Mox Reg. et Basil., οὐχ ὁ μονογενὴς Θεός. Editi, οὐχ ὁμογενὴς Θεός.

clarant, una eademque haud dubie fit : multæ tamen singulatim ab eo creatæ sunt, quarum primogenitus, unigenitus est Christus, quæ quidem omnes a possessore pendent, et omnes ipsius Creatoris qui illis utitur, virtutes jure appellantur. Ejusmodi est quod propheta locustam in pœnam humanorum scelerum divinitus immissam, non Dei virtutem solum, sed magnam virtutem ab ipso Deo vocari dicit[4]. Beatus autem David in plerisque psalmorum, non angelos solum sed et virtutes Deum laudare jubet, et omnes ad hymnum concinendum hortatur : quarum multitudinem declarat, easque ministros Dei vocare non renuit, ac illius voluntatem facere docet. »

A Χριστοῦ δεικνυμένην δηλονότι, καὶ διὰ τῶν ἔργων αὐτῶν τῆς διακονίας αὐτοῦ γνωριζομένην. » Καὶ πάλιν· « Καίτοιγε ἡ μὲν ἀΐδιος αὐτοῦ δύναμις καὶ σοφία, ἣν ἀναρχόν τε καὶ ἀγέννητον (44) οἱ τῆς ἀληθείας ἀποφαίνονται λογισμοί, μία ἂν εἴη δήπουθεν καὶ ἡ αὐτή· πολλαὶ δὲ αἱ καθ' ἕκαστον ὑπ' αὐτοῦ κτισθεῖσαι, ὧν πρωτότοκος καὶ μονογενὴς ὁ Χριστός· πᾶσαί γε μὴν ὁμοίως, εἰς τὸν κεκτημένον ἀνήρτηνται, καὶ πᾶσαι αἱ (45) δυνάμεις αὐτοῦ τοῦ κτίσαντος καὶ χρωμένου καλοῦνται δικαίως· οἷον ὁ μὲν προφήτης τὴν ἀκρίδα δίκην τῶν ἀνθρωπίνων ἁμαρτημάτων θεήλατον γινομένην οὐ δύναμιν μόνον Θεοῦ, ἀλλὰ καὶ μεγάλην φησὶν ὑπ' αὐτοῦ προσαγορεύεσθαι τοῦ Θεοῦ· ὁ δέ γε μακάριος Δαβὶδ ἐν πλείοσι τῶν ψαλμῶν οὐκ ἀγγέλοις μόνον, ἀλλὰ καὶ δυνάμεσιν αἰνεῖν παρακελεύεται τὸν Θεόν· καὶ πάσας γε ἐπὶ τὸν ὕμνον παρακαλῶν, καὶ τὸ πλῆθος παρίστησι, καὶ λειτουργοὺς Θεοῦ καλεῖν οὐ παραιτεῖται, καὶ ποιεῖν αὐτοῦ τὸ θέλημα διδάσκει. »

19. Hæc contra Salvatorem ausus, non hic tamen sceleris stetit, sed magis magisque blasphemias adauxit suas dicens : « Unus ex omnibus est Filius. Opificiorum enim primum est, et una ex intelligentibus naturis. Et quemadmodum sol in rebus quæ sub oculis cadunt, unus est ex iis quæ conspiciuntur : cum tamen universo mundo, juxta factoris sui mandatum, luceat; eodem prorsus modo Filius, cum una sit ex intelligentibus naturis, omnibus qui in intellectuali mundo sunt, lucet ac splendet. » Iterumque ait : « Erat aliquando cum non esset, » atque ita scribit : « Et quidem ante Filii generationem præexsistentem generandi scientiam habuit Pater; inerat quippe medico, antequam quos sanaret adessent, medendi scientia. » Et rursum : « Benefico, inquit, studio creatus est Filius, et virtutis copia Pater illum condidit. » Et iterum : « Si Dei voluntas per omnia deinde opificia pertransiit, liquet Filium opificium cum sit, voluntate exstitisse, et factum fuisse. » Hæc Asterius solus scripsit; Eusebiani vero hæc ipsa una cum illo sentiebant.

B 19. Τοιαῦτα τολμήσας κατὰ τοῦ Σωτῆρος οὐκ ἠρκέσθη, ἀλλὰ καὶ πλέον ἐπεκτείνει τὰς βλασφημίας αὐτοῦ, λέγων, ὅτι εἷς τῶν πάντων ἐστὶν ὁ Υἱός· « Πρῶτον γὰρ ἐστι τῶν γενητῶν, καὶ εἷς τῶν νοητῶν φύσεών ἐστι· καὶ ὥσπερ ἥλιος ἐν τοῖς βλεπομένοις εἷς μὲν ἔστι τῶν φαινομένων, λάμπει δὲ παντὶ τῷ κόσμῳ κατὰ πρόσταξιν τοῦ πεποιηκότος· οὕτως ὁ Υἱὸς, εἷς ὢν τῶν νοητῶν φύσεων, φωτίζει καὶ λάμπει καὶ αὐτὸς πᾶσι τοῖς ἐν τῷ νοητῷ κόσμῳ. » Πάλιν τέ φησιν· « Ἦν ποτε, ὅτε οὐκ ἦν, » οὕτω γράμων· « Καὶ πρὶν τῆς γενέσεως τοῦ Υἱοῦ ὁ Πατὴρ προϋπάρχουσαν εἶχε τὴν τοῦ γεννᾶν ἐπιστήμην· ἐπεὶ καὶ ἰατρὸς, πρὸ τοῦ ἰατρεύειν εἶχε (46) τὴν τοῦ ἰατρεύειν ἐπιστήμην. » Καὶ πάλιν φησίν· « Εὐεργετικῇ φιλοτιμίᾳ ἐκτίσθη ὁ Υἱὸς, καὶ περιουσίᾳ δυνάμεως ἐποίησεν αὐτὸν ὁ Πατήρ· » καὶ πάλιν, » Εἰ τὸ θέλειν τοῦ Θεοῦ C διὰ πάντων ἐφεξῆς τῶν ποιημάτων διεληλυθε, δηλονότι, καὶ ὁ Υἱὸς, ποίημα ὤν, βουλήσει γέγονε καὶ πεποίηται. » Ταῦτα δὲ Ἀστέριος ἔγραψε (47) μόνος· οἱ δὲ περὶ Εὐσέβιον ἐφρόνουν αὐτὰ κοινῇ μετ' αὐτοῦ.

20. Hæc sunt quorum causa decertant, et cum antiqua synodo pugnant, quia scilicet qui in ea convenere Patres suis similia non scripserunt, imo Arianam hæresim, quam hi stabilire studebant, percusserunt anathemate. Quocirca Asterium qui idolis sacrificarat, sophistam hominem impietatis suæ 586 advocatum designarunt; ne abstineret aut a verbis contra Dominum, aut a callidis argumentis ad simpliciores circumveniendos compositis. Verum ignorabant inscii illi, id sese in suam D agere perniciem. Fetor enim sacrificii ab advocato suo idolis oblati, hæresim magis magisque Christo inimicam coarguebat. Idcirco etiamnum omnia mo-

20. Ταῦτά ἐστιν, ὑπὲρ ὧν ἀγωνίζονται, διὰ ταῦτα μάχονται πρὸς τὴν ἀρχαίαν σύνοδον· ὅτι μὴ τὰ ὅμοια αὐτῶν ἔγραψαν οἱ συνελθόντες ἐν αὐτῇ, ἀλλὰ μᾶλλον ἀνεθεμάτισαν τὴν Ἀρειανὴν αἵρεσιν, ἣν ἐσπούδαζον οὗτοι συστῆσαι. Διὰ τοῦτο καὶ Ἀστέριον τὸν θύσαντα σοφιστὴν ὄντα, συνήγορον τῆς ἀσεβείας αὐτῶν (48), προύβάλλοντο, ἵνα μὴ φείδηται μήτε κατὰ τοῦ Κυρίου φθέγγεσθαι, μήτε τοὺς ἀκεραίους τῇ πιθανολογίᾳ πλανᾷν. Καὶ ἠγνόησάν γε οἱ ἀμαθεῖς, ὅτι καθ' ἑαυτῶν εἰργάζοντο τοῦτο. Ἡ γὰρ δυσωδία τῆς εἰς τὰ εἴδωλα θυσίας τοῦ συνηγόρου ἔτι πλέον τὴν αἵρεσιν χριστομάχον ἐδείκνυε. Διὰ τοῦτο καὶ νῦν πάντα κινοῦσι καὶ θορυβοῦσι, νομίζοντες, ὅτι κἂν πλείονας

[4] Joel II, 25,

(44) Sic Reg. et ita legit Nannius qui vertit, *ingenitam*. Editi, ἀγένητον.
(45) Al deest in Reg.
(46) Reg., πρὸ τῶν θεραπευομένων εἶχε.
(47) Reg. et Basil., ἔγραφε. Quæ sequuntur porro, οἱ δὲ περὶ Εὐσέβιον, etc., a præcedentibus sejungenda non sunt, ut in edit. Paris. Nam in edit. Comm. et in mss. consequenter ponuntur; quo item modo Nannius posuit.
(48) Reg., ἑαυτῶν. Editi, αὐτῶν. Mox idem Reg., μὴ φείδηται, recte. Editi, μὴ φείδητε.

ἀποκτείνωσι, καὶ συνόδους κατὰ μῆνα συγκροτήσωσι (49), παύσεταί ποτε ἡ κατὰ τῆς Ἀρειανῆς αἱρέσεως ἀπόφασις. Ἐοίκασι δὲ πάλιν ἀγνοεῖν, ἢ εἰδέναι μὲν, ἀποπροσποιεῖσθαι δὲ, ὅτι καὶ πρὸ τῆς Νικαίας ἡ αἵρεσις ἦν βδελυκτὴ, ὅτε ταύτην Ἀρτεμᾶς κατεβάλλετο, καὶ πρὸ αὐτοῦ τὸ τοῦ Καϊάφα, καὶ τὸ τῶν τότε Φαρισαίων συνέδριον. Καὶ ἀεὶ δὲ τὸ χριστομάχον ἐργαστήριον βδελυκτόν ἐστι, καὶ οὐ παύσεται τοῦ εἶναι μισητὸν, ἐρασμίου ὄντος τοῦ Κυριακοῦ ὀνόματος, καὶ καμπτούσης πάσης τῆς κτίσεως τὰ γόνατα, καὶ ἐξομολογουμένης, « ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. »

A vent et turbant, rati, si quamplurimos occidant, et singulis mensibus synodos convocent, vel sero tandem latam contra Arianos sententiam obliterandam esse. Videntur etiam nescire, aut scire quidem, sed simulare quasi nesciant, etiam ante Nicænam synodum hæresim istam abominabilem fuisse; quo tempore Artemas ejus fundamenta jaceret (50); et ante illum, Caiphæ et Pharisæorum illius temporis consessus. Imo semper Christi hostium officina exsecrabilis est, nec unquam cessabit esse odiosa, quod Dominicum nomen sit amabilissimum et omnis creatura genua flectat, et confiteatur, « quia Dominus Jesus Christus in gloria est Dei Patris. »

21. Πλὴν ὅτι συνόδους συνεχεῖς κατὰ τῆς οἰκουμενικῆς ποιοῦντες οὐδέπω κεκμήκασι. Μετὰ γὰρ τὴν ἐν Νικαίᾳ σύνοδον οἱ περὶ Εὐσέβιον κατῃρέθησαν· ἀλλὰ μετὰ χρόνον ἐπιβάντες (51) ἀναισχύντως ταῖς Ἐκκλησίαις ἤρξαντο τοῖς μὲν ἀντιλέγουσιν αὐτοῖς ἐπισκόποις ἐπιβουλεύειν, ἀντὶ δὲ τούτων τοὺς τῆς αἱρέσεως αὐτῶν (52) καθιστάνειν εἰς τὰς Ἐκκλησίας· ἵν' ὅτε βούλονται ποιήσωσι τὰς συνόδους, ἔχοντες τοὺς συντρέχοντας αὐτοῖς, οὓς ἐπίτηδες εἰς αὐτὸ τοῦτο προεχειρίσαντο. Συνέρχονται τοίνυν ἐν Ἱερουσαλὴμ (53), καὶ γράφουσι ταῦτα.

21. Cæterum illi frequentes synodos adversus universale illud concilium celebrantes nunquam fatiscunt. Nam tametsi post Nicænam synodum Eusebiani depositi sunt, postea tamen impudenter Ecclesias invadentes, cœperunt episcopis sibi repugnantibus insidiari, horumque vice hæresis suæ homines in Ecclesias constituere, ut arbitratu suo synodos cogant, quia scilicet episcopos habent qui secum concurrant : quos de industria, ea de causa, prius ordinarant. Coeunt igitur Jerosolymis atque hujusmodi litteras dedere.

Ἡ ἁγία σύνοδος, ἡ ἐν Ἱεροσολύμοις Θεοῦ χάριτι συναχθεῖσα, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ ἐν Ἀλεξανδρείᾳ, καὶ τοῖς (54) κατὰ πᾶσαν τὴν Λιβύην τε, καὶ Θηβαΐδα, καὶ Λιβύην, καὶ Πενταπόλιν, καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ διακόνοις, ἐν Κυρίῳ χαίρειν.

Sancta synodus, Hierosolymis per Dei gratiam congregata, Ecclesiæ Dei quæ est Alexandriæ, et iis quæ sunt per totum Ægyptum, Thebaidem, Libyam et Pentapolim. Item episcopis, presbyteris et diaconis per totum orbem, in Domino salutem (55).

Πᾶσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων ποὸς τῇ μεγάλῃ πανηγύρει, ἣν ἐπὶ τῇ ἀφιερώσει τοῦ σωτηρίου Μαρτυρίου, σπουδῇ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου (56), τῷ πάντων βασιλεῖ Θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ κατασκευασθέντος ἐπετελέσαμεν, πλείονα θυμηδίαν ἡ τοῦ Χριστοῦ χάρις (57) παρέσχεν, ἣν ἐποίησεν αὐτός τε ὁ θεοφιλέστατος βασιλεὺς διὰ γραμμάτων οἰκείων, τοῦθ' ὅπερ ἐχρῆν παρορμήσας· πάντα μὲν ἐξορίσας τῆς Ἐκκλησίας τοῦ Θεοῦ φθόνον, καὶ πᾶσαν μακρὰν ἀπελάσας βασκανίαν, δι' ἧς τὰ τοῦ Χριστοῦ μέλη πάλαι πρότερον διεστήκει· ἡπλωμένῃ δὲ καὶ εἰρηναίᾳ ψυχῇ δέξασθαι τοὺς περὶ Ἄρειον, οὓς πρός τινα καιρὸν ὁ μισόκαλος φθόνος ἔξω γενέσθαι τῆς Ἐκκλησίας εἰργάσατο. Ἐμαρτύρει δὲ τοῖς ἀνδράσιν ὁ θεοφιλέστατος βασιλεὺς διὰ τῆς ἐπιστολῆς πίστεως ὀρθοτομίαν, ἣν παρ' αὐτῶν πυθόμενος, αὐτός τε δι' ἑαυτοῦ παρὰ ζώσης φωνῆς αὐτῶν ἀκούσας ἀπεδέξατο, ἡμῖν τε φανερὰν κατειστήσατο, ὑποτάξας τοῖς ἑαυτοῦ

C Nobis omnibus unum in lacum ex diversis provinciis, ad magnam solemnitatem congregatis, quam celebravimus in Dedicatione Martyrii Salvatoris, a religiosissimo imperatore Constantio, in honorem omnium imperatoris Dei et Christi ejus excitati, ingentem animi voluptatem Christi gratia attulit, quam nobis ipse quoque religiosissimus imperator per proprias dedit litteras, nos ad officium hortatus : cum omnem invidiam ab Ecclesia Dei ejecisset et omne odium procul abegisset, quo Christi membra jam pridem disidebant; ut simplici et pacifio animo Arium cum suis reciperemus; quos ad aliquod temporis spatium omni infesta bono invidia extra Ecclesiam detinuit. Imo ipse religiosissimus imperator per epistolam suam D hujusmodi virorum rectam esse fidem testatus est : quam ipse ab illis sciscitatus, viva voce loquentes cum audisset, a se approbatam nobis indicavit, litterisque suis sanam virorum fidei formulam sub

(49) Reg., συγκροτήσουσι.

(50) Artemas seu Artemon, Christum merum hominem putabat. Vide Euseb *Histor. eccles.* lib. VI, pag. 195.

(51) Ita Reg. et Basil. Editi male ἐπίσαντες.

(52) Reg., ἑαυτῶν. Editi, αὐτῶν.

(53) Reg., ἐν τῇ Ἱερουσαλήμ. Epistola vero sequens habetur item in *Apologia* contra Arianos, p. 157.

(54) Reg., καὶ ταῖς non male. Editi et alii, καὶ τοῖς. Et ita habet ipse Reg. supra *Apologia contra Arianos*. Infra Reg. et Basil., οἰκουμένην. Editi male οἰκουμενικήν.

(55) Ita Regius probe. Editi, Κωνσταντίου perperam. In Basil. vero ita abbreviatum est ut neecias, Κωνσταντίνου an Κωνσταντίου sit legendum. Infra Regius, κατασκευασθέντος recte. Editi, κατασκευασθέντες.

(56) Supra p. 157, legitur ἡ τοῦ Θεοῦ χάρις ἐνεποίησεν, αὐτός τε, sed hic lucidior est pleniorque sententia, ut nemo non videt.

(57) Scripta anno 335.

junxit, quam nos omnes rectam et ecclesiasticam esse agnovimus. Et jure quidem hortabatur viros suscipi et Ecclesiæ Dei conjungi, ut vobis ex ejusdem epistolæ exemplari,quam nos ad pietatem vestram misimus, notum erit. Credimus vobis ipsis, utpote propria vestri corporis membra recuperantibus, magnum fore gaudium lætitiamque : dum vestra viscera, vestros fratres et patres agnoscitis **587** et recipitis; quippe non solum presbyteri Arii sequaces, sed omnis populus et multitudo universa vobis restituitur, quæ supra dictorum virorum occasione jamdiu a vobis dissidebat. Et revera docet vos, iis compertis quæ hic acta sunt, nempe viros illos nobiscum communicasse, et a tanta sacra synodo receptos fuisse, conjunctionem et pacem cum propriis membris libentissime amplecti : cum potissimum fides ab illis exposita, apostolicam traditionem atque doctrinam ab omnibus approbatam, absque contentione conservet.

τῶν πίστεως ἀναμφήριστον σώζει τὴν παρὰ τοῖς πᾶσιν ὁμολογουμένην ἀποστολικὴν παράδοσίν τε καὶ διδασκαλίαν (62).

22. Hoc illis fuit synodorum exordium, ubi cito concilium suum palam fecere, nec occultare potuerunt. Cum enim dicerent eliminatam omnem invidiam fuisse, et, postquam Athanasius Alexandriæ episcopus in exsilium missus esset,scriberent oportere Arium cum suis suscipi; plane ostenderunt se,ea de causa, Athanasio et aliis omnibus episcopis sibi repugnantibus insidias struxisse,ut Arium cum socîis reciperent, hæresimque introducerent in Ecclesiam, et quanquam omnes pravas Arii sententias in illo synodo laudassent, et ad communionem eos admitti statuissent,quod jam ab ipsis factum fuerat; attamen rati aliquid adhuc ad suum propositum desiderari, Antiochiæ synodum obtentu Encæniorum, ut vocant, cogerunt. Et quia semper ab omnibus de hæresi accusabantur, alia aliis diversisque modis scripta ediderunt. In aliqua autem epistolarum suarum hæc conscripsere :

« Nos neque Arii sectatores fuimus, quomodo enim episcopi presbyterum sequeremur ? neque aliam fidem, præter eam quæ ab initio tradita est, recepimus. Quinimo nos ejus fide examinata, exploarataque,eum potius admisimus,quam secuti sumus:

γράμμασιν ἔγγραφον τὴν τῶν ἀνδρῶν ὀρθοδοξίαν (58), ἣν ἐπέγνωμεν οἱ πάντες ὑγιῆ τε οὖσαν καὶ ἐκκλησιαστικήν. Καὶ εἰκότως παρεκάλει τοὺς ἄνδρας ὑποδεχθῆναι καὶ ἑνωθῆναι τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ὥσπερ οὖν καὶ αὐτοὶ ἐκ τῶν ἰσοτύπων (59) εἴσεσθε τῆς αὐτῆς ἐπιστολῆς, ἧς πρὸς τὴν ὑμετέραν εὐλάβειαν διεπεμψάμεθα. Πιστεύομεν, ὅτι καὶ ὑμῖν αὐτοῖς (60) ὡς ἂν τὰ οἰκεῖα μέλη τοῦ ὑμετέρου σώματος ἀπολαμβάνουσι, μεγάλη χαρὰ καὶ εὐφροσύνη γενήσεται, τὰ ἑαυτῶν σπλάγχνα καὶ τοὺς ἑαυτῶν ἀδελφούς τε καὶ πατέρας γνωρίζουσί τε καὶ ἀπολαμβάνουσιν· οὐ μόνον τῶν πρεσβυτέρων τῶν περὶ Ἄρειον ἀποδοθέντων ὑμῖν, ἀλλὰ καὶ παντὸς τοῦ λαοῦ καὶ τῆς πληθύος ἁπάσης, ἣ προφάσει τῶν εἰρημένων ἀνδρῶν μακρῷ χρόνῳ παρ' ὑμῖν διειστήκει (61). Καὶ πρέπει γε ἀληθῶς γνόντας ὑμᾶς τὰ πεπραγμένα, καὶ ὡς ἐκοινώνησαν οἱ ἄνδρες, παρεδέχθησάν τε ὑπὸ τῆς τοσαύτης ἁγίας συνόδου, προθυμότατα καὶ αὐτοὺς ἀσπάσασθαι τὴν πρὸς τὰ οἰκεῖα μέλη συνάφειάν τε καὶ εἰρήνην ὅτι μάλιστα τὰ τῆς ἐκτεθείσης ὑπ' αὐ-

22. Αὕτη τῶν συνόδων αὐτῶν ἡ ἀρχὴ γέγονεν, ἐν ᾗ καὶ τὴν προαίρεσιν ἑαυτῶν ταχέως ἐξήγγειλαν, καὶ οὐκ ἠδυνήθησαν κρύψαι. Εἰρηκότες γὰρ ἐξηλᾶσθαι (63) πάντα φθόνον, καὶ μετὰ τὸ ἐξορισθῆναι τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας Ἀθανάσιον, γράφοντες δεῖν δεχθῆναι Ἄρειον καὶ τοὺς σὺν αὐτῷ, ἔδειξαν, ὅτι διὰ τοῦτο αὐτῷ τε τῷ (64) Ἀθανασίῳ ἐπεβούλευον, καὶ τοῖς ἄλλοις πᾶσιν ἐπισκόποις τοῖς ἀντιλέγουσιν αὐτοῖς ἐπεβούλευσαν, ὑπὲρ τοῦ τοὺς περὶ Ἄρειον δέξασθαι, καὶ τὴν αἵρεσιν εἰς τὴν Ἐκκλησίαν εἰσαγαγεῖν· καὶ εἰ καὶ πᾶσαν (65) τὴν Ἀρείου κακοφροσύνην ἐπῄνεσαν ἐν ταύτῃ, καὶ εἰς κοινωνίαν προσέταξαν αὐτοὺς δεχθῆναι, αὐτοὶ πρότερον τοῦτο ποιήσαντες· ὅμως ἡγούμενοι λείπειν αὐτοῖς ἔτι, πρὸς ὃ βούλονται, συγχροτοῦσιν ἐν Ἀντιοχείᾳ σύνοδον προφάσει τῶν λεγομένων Ἐγκαινίων· καὶ ἐπειδὴ ἀεὶ ὑπὸ πάντων κατηγοροῦντο περὶ τῆς αἱρέσεως, γράφουσι διαφόρως, τὰ μὲν οὕτως, τὰ δὲ ἐκείνως. Καὶ τὰ μὲν ἐν μιᾷ ἐπιστολῇ γραφέντα παρ' αὐτῶν ἐστι ταῦτα·

(66) « Ἡμεῖς (67) οὔτε ἀκόλουθοι Ἀρείου γεγόναμεν· πῶς γὰρ ἐπίσκοποι ὄντες ἀκολουθοῦμεν πρεσβυτέρῳ; οὔτε ἄλλην τινὰ πίστιν παρὰ τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν (68) ἐδεξάμεθα. Ἀλλὰ καὶ αὐτοὶ ἐξετασταὶ καὶ δοκιμασταὶ τῆς πίστεως αὐτοῦ γενόμενοι,

(58) Τῶν ἀνδρῶν ὀρθοδοξίαν. In hæc verba desinit Athanasius supra pag. 157, ubi non est integra epistola.

(59) Sic Reg. et Basil. Editi vero τῆς ἰσοτύπης.

(60) Reg., καὶ ἡμῖν καὶ αὐτοῖς. Mox Regius quem sequimur ἀπολαμβάνουσι. Editi, ἀπολαμβάνωσι.

(61) Reg., διιστήκει.

(62) Post hæc in edit. Paris. sequitur ταῦτα σύνοδος, quæ verba desunt in edit. Commel. et in omnibus manuscriptis. Mov ἡ ante ἀρχή deest in Reg.

(63) Reg., ἐξηλάσθαι.

(64) Ita Reg. in editis τῷ deest.

(65) Reg. secunda manu καὶ εἰς πάσας.

(66) Prima fidei formula scripta anno 341.

(67) In edit. Paris. habetur hic titulus, Τῶν περὶ Εὐσέβιον ἐπιστολή, ab editoribus qui titulis omnia inferciere additus; in nullis enim codicibus legitur, neque in edit. Comm. Hæc porro fidei professio exstat apud Socratem lib. II, cap. 10; Niceph. lib. X, cap. 5, et quoad sententiam tantum apud Theodor. lib. III, cap. 5. Infra Socrat. et Niceph. ἀκολουθήσομεν. Decreveramus hic de synodo Antiochena an. 341 agere. Sed cum notarum harumce brevitas rem tantam capere nequeat, ad vitam Athanasii, ubi res necessarie pertractatur, remittimus.

(68) Socr. et Niceph., ἐκτεθεῖσαν. Mox Socr. Ἀλλ' ἡμεῖς, Niceph. Ἀλλὰ καὶ ἡμεῖς.

μᾶλλον αὐτὸν προσηκάμεθα, ἥπερ ἠκολουθήσαμεν· γνώσεσθε δὲ ἀπὸ τῶν λεγομένων. Μεμαθήκαμεν γὰρ ἐξ ἀρχῆς, εἰς ἕνα Θεὸν τὸν τῶν ὅλων Θεὸν πιστεύειν (69), τὸν πάντων νοητῶν τε καὶ αἰσθητῶν δημιουργόν τε καὶ προνοητήν· καὶ εἰς ἕνα Υἱὸν τοῦ Θεοῦ μονογενῆ, πρὸ πάντων αἰώνων ὑπάρχοντα, καὶ συνόντα τῷ γεγεννηκότι αὐτὸν (70) Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, τὸν καὶ ἐπ' ἐσχάτων ἡμερῶν κατ' εὐδοκίαν τοῦ Πατρὸς κατελθόντα, καὶ σάρκα ἐκ τῆς Παρθένου (71) ἀνειληφότα, καὶ πᾶσαν τὴν πατρικὴν αὐτοῦ βούλησιν συνεκπεπληρωκότα, πεπονθέναι, καὶ ἐγηγέρθαι, καὶ εἰς οὐρανοὺς ἀνεληλυθέναι, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζεσθαι, καὶ πάλιν (72) ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ διαμένοντα βασιλέα καὶ Θεὸν εἰς τοὺς αἰῶνας. Πιστεύομεν δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα· εἰ δὲ δεῖ προσθεῖναι, πιστεύομεν καὶ περὶ σαρκὸς ἀναστάσεως καὶ ζωῆς αἰωνίου. »

23. Ἃ δὲ καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ δεύτερον ἐν τοῖς αὐτοῖς Ἐγκαινίοις ἐκτίθενται, μεταγνόντες μὲν ἐπὶ τοῖς προτέροις, ἐπινοήσαντες δὲ καινότερά τινα καὶ πλείονα, ἔστι ταῦτα·

« Πιστεύομεν (73-74) ἀκολούθως τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ παραδόσει εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, τὸν τῶν ὅλων δημιουργόν τε καὶ ποιητὴν καὶ προνοητὴν (75), ἐξ οὗ τὰ πάντα· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν αὐτοῦ, τὸν μονογενῆ Θεὸν, δι' οὗ τὰ πάντα, τὸν γεννηθέντα πρὸ τῶν αἰώνων (76) ἐκ τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, ὅλον ἐξ ὅλου, μόνον ἐκ μόνου, τέλειον ἐκ τελείου, βασιλέα ἐκ βασιλέως, Κύριον ἀπὸ Κυρίου (77), Λόγον ζῶντα, σοφίαν ζῶσαν, φῶς ἀληθινὸν, ὁδὸν, ἀλήθειαν, ἀνάστασιν, ποιμένα, θύραν, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον τῆς θεότητος (78), οὐσίας τε καὶ βουλῆς καὶ δυνάμεως, καὶ δόξης τοῦ Πατρὸς ἀπαράλλακτον εἰκόνα, τὸν πρωτότοκον πάσης κτίσεως (79), τὸν ὄντα ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, Λόγον Θεὸν κατὰ τὸ εἰρημένον ἐν τῷ Εὐαγγελίῳ· « Καὶ Θεὸς ἦν ὁ Λόγος· » δι' οὗ τὰ πάντα ἐγένετο, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκε· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἄνωθεν, καὶ γεννηθέντα ἐκ Παρθένου κατὰ τὰς Γραφὰς, καὶ ἄνθρωπον γενόμενον (80)· μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἀπόστολόν τε τῆς πίστεως ἡμῶν, καὶ ἀρχηγὸν τῆς ζωῆς, ὥς φησιν, ὅτι « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ

A quod ex verbis nostris cognituri estis. Ab initio namque didicimus, in unum et universorum Deum credere, omnium intelligibilium et sensibilium opificem et provisorem. Et in unum Filium Dei unigenitum, qui ante omnia sæcula exsistit, et una exstat cum eo qui se genuit Patre; per quem etiam omnia facta sunt, visibilia et invisibilia; qui novissimis diebus, secundum Patris voluntatem, descendit, et carnem ex Virgine assumpsit; qui postquam paternam ejus voluntatem adimplevisset, passus est, et resurrexit, in cœlos ascendit, et in dextera Patris sedet; et rursum venturus est judicare vivos et mortuos, et permanet rex et Deus in sæcula. Credimus quoque in Spiritum sanctum. Et si hoc addere oporteat: credimus carnis resurrectionem et vitam æternam. »

B

23. Iterumque in alia epistola eorumdem Encæniorum tempore, cum priorum pœniteret, ac nova quædam et plura excogitassent, hæc edidere:

« Credimus juxta evangelicam et apostolicam traditionem in unum Deum Patrem omnipotentem: omnium rerum conditorem et opificem et provisorem; per quem omnia. Et in unum Dominum Jesum Christum Filium ejus, unigenitum Deum, per quem omnia; genitum **588** ex Patre ante sæcula; Deum ex Deo, totum ex toto, solum ex solo, perfectum ex perfecto, regem ex rege, Dominum ex Domino, Verbum vivens, sapientiam viventem, ve-
C ram lucem, viam, veritatem, resurrectionem, pastorem, portam, nec mutationi nec conversioni obnoxium, paternæ divinitatis, substantiæ, consilii, potestatis et gloriæ in nullo dissimilem imaginem, primogenitum omnis creaturæ; qui erat in principio apud Deum; Deum Verbum, ut scriptum est in Evangelio[5]: « Et Deus erat Verbum; » per quem omnia facta sunt, et in quo omnia consistunt; qui novissimis diebus descendit desuper, natus est ex Virgine secundum Scripturas, et homo factus est: mediator Dei et hominum, apostolus fidei nostræ, et auctor vitæ, ut ipse ait: « Descendi de cœlo, non ut factam voluntatem meam, sed voluntatem ejus qui misit me[6]: » qui passus est pro nobis, et

[5] Joan. I, 1. [6] Joan. VI, 38.

(69) Socr., εἰς ἕνα τὸν τῶν ὅλων Θεὸν πιστεύειν· Niceph., εἰς ἕνα Θεὸν τὸν τῶν ὅλων πιστεύειν.

(70) Nicephorus αὐτοῦ. Ibidem Regius, Socrates, Nicephor., δ' οὗ καὶ τά. In editis *καί* deest. Mox Regius, Socrat., Niceph., τῶν καὶ ἐπ'. In editis τὸν δὲ ἐπ'.

(71) Socrat. et Niceph., ἐκ τῆς ἁγίας Παρθένου. Paulo post Socrat. et Niceph., τὴν αὐτοῦ βουλήν.

(72) Πάλιν deest in Socr. et Niceph. In iisdem infra post πιστεύομεν, δέ deest.

(73-74) Secunda fidei formula scripta anno 341. Exstat apud Socr. lib. II, cap. 10, et apud Hilarium *De synodis* pag. 1168, quam teste Sozomeno lib. III, cap. 6, aiebant Ariani sed reperisse scriptam manu ipsius Lucíani martyris.

D (75) Ita Reg. et Basil., et sic legit Nannius qui vertit *et Procuratorem*, et similiter Hilarius qui habet, *et Provisorem*. In editis hoc deerat. Ibidem hæc, ἐξ οὗ τὰ πάντα absunt a Socrate. Infra post δι' οὗ τὰ πάντα, habet Socrates, ἐγένετο.

(76) Hæc πρὸ τῶν αἰώνων non exprimuntur apud Hilarium.

(77) Sic Reg. et Socr. Editi, ἐκ Κυρίου. Mox ζῶντα, non exprimitur apud Hilarium. Socr. σοφίαν, ζωήν, et Hilar. *sapientiam, vitam*. Paulo post Socr. ὁλὸν ἀληθείας. Hilarius *viam veram*.

(78) Socr., τὴν τῆς θεότητος.

(79) Ita Reg. et Socr. Editi vero, τῆς κτίσεως.

(80) Sic habet Hilarius: *Et agnus factus est, mediator Dei et hominum prædestinatus fidei nostræ*.

resurrexit tertia die : et ascendit in cœlum, sedetque ad dexteram Patris : et iterum venturus est cum gloria et potestate, judicare vivos et mortuos. Et in Spiritum sanctum, qui ad consolationem, et sanctificationem, et ad initiationem credentibus datur, sicut et Dominus noster Jesus Christus præcepit discipulis dicens : « Euntes docete omnes gentes, baptizantes eos, in nomine Patris, et Filii, et Spiritus sancti [7], » Patris, scilicet vere Patris ; et Filii vere Filii ; et Spiritus sancti vere Spiritus sancti ; nominibus non temere aut inutiliter positis, sed accurate propriam singulorum qui nominantur hypostasim, ordinem et gloriam significantibus adeo ut hypostasi quidem tria sint ; concordia autem, unum. Hanc igitur tenentes fidem, eamque ab initio ad finem usque in conspectu Dei et Christi servantes, pravam omnem hæreticam doctrinam anathemate damnamus. Et si quis præter sanam rectamque Scripturarum fidem docuerit, dicens, aut tempus, aut ævum, au sæculum, esse, vel exstitisse, priusquam Filius gigneretur, anathema esto. Et si quis dixerit Filium creaturam, ut unam ex creaturis, aut genitum, ut unum ex genitis, aut opificium, ut unum ex opificiis, neque singula ut divinæ Scripturæ tradiderunt, prout ordine dicta sunt, profiteatur ; aut si aliquid docuerit, aut evangelizaverit, præter id quod accepimus, anathema esto. Nos enim omnia quæ sacris in Scripturis traduntur, cum a prophetis tum ab apostolis, vere ac religiose credimus sectamurque. »

A πέμψαντός με· » τὸν παθόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα (81) τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς οὐρανούς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ Πατρός · καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως, κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ εἰς παράκλησιν, καὶ ἁγιασμὸν, καὶ τελείωσιν τοῖς πιστεύουσι διδόμενον, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διετάξατο τοῖς μαθηταῖς λέγων · « Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· » δηλονότι Πατρὸς, ἀληθῶς (82) Πατρὸς ὄντος, Υἱοῦ δὲ ἀληθῶς Υἱοῦ ὄντος, τοῦ δὲ ἁγίου Πνεύματος ἀληθῶς ἁγίου Πνεύματος ὄντος, τῶν ὀνομάτων οὐχ ἁπλῶς οὐδὲ ἀργῶς κειμένων, ἀλλὰ σημαινόντων ἀκριβῶς τὴν οἰκείαν ἑκάστου τῶν ὀνομαζομένων ὑπόστασίν τε καὶ τάξιν καὶ B δόξαν· ὡς εἶναι τῇ μὲν ὑποστάσει τρία, τῇ δὲ συμφωνίᾳ ἕν. Ταύτην οὖν ἔχοντες τὴν πίστιν, καὶ ἐξ ἀρχῆς καὶ μέχρι τέλους ἔχοντες ἐνώπιον τοῦ Θεοῦ (83) καὶ τοῦ Χριστοῦ, πᾶσαν αἱρετικὴν κακοδοξίαν ἀναθεματίζομεν. Καὶ εἴ τις παρὰ τὴν ὑγιῆ τῶν Γραφῶν ὀρθὴν πίστιν διδάσκει, λέγων ἢ χρόνον (84), ἢ καιρὸν, ἢ αἰῶνα, ἢ εἶναι, ἢ γεγονέναι, πρὸ τοῦ γεννηθῆναι τὸν Υἱὸν, ἀνάθεμα ἔστω. Καὶ εἴ τις λέγει τὸν Υἱὸν κτίσμα, ὡς ἓν τῶν κτισμάτων, ἢ γέννημα ὡς ἓν τῶν γεννημάτων (85), ἢ ποίημα, ὡς ἓν τῶν ποιημάτων, καὶ μὴ ὡς αἱ θεῖαι Γραφαὶ παραδέδωκαν, τῶν προειρημένων ἕκαστον ἀφ' ἑκάστου· ἢ εἴ τι ἄλλο διδάσκει, ἢ εὐαγγελίζεται, παρ' ὃ παρελάβομεν, ἀνάθεμα ἔστω. Ἡμεῖς γὰρ πᾶσι τοῖς ἐκ τῶν θείων Γραφῶν παραδεδομένοις ὑπό τε προφητῶν καὶ ἀποστόλων ἀληθινῶς τε καὶ ἐμφόβως (86) καὶ πιστεύομεν καὶ ἀκολουθοῦμεν. »

24. Theophronius porro quidam episcopus Thyanensis, hanc fidei formulam a se compositam coram omnibus proposuit, cui, hominis approbata fide, subscripserunt omnes :

C 24. Καὶ Θεοφρόνιος δέ τις ἐπίσκοπος Τυάνων (87) συνθεὶς καὶ αὐτὸς ἐξέθετο τὴν πίστιν ταύτην ἐμπροσθεν τῶν πάντων, ᾗ καὶ πάντες ὑπέγραψαν, ἀποδεξάμενοι τὴν τοῦ ἀνθρώπου πίστιν·

« Novit Deus, quem testem in animam meam advoco, me ita credere, scilicet, in unum Deum Patrem omnipotentem, universorum creatorem et factorem, ex quo omnia. Et in Filium ejus unigenitum, Deum, Verbum, potentiam, sapientiam, Dominum nostrum Jesum Christum, per quem omnia, ex Patre natum ante sæcula, Deum perfectum ex Deo perfecto ; qui est apud Deum in hypostasi ; qui in novissimis diebus descendit, et natus est ex Virgine, secundum Scripturas, 589 homo factus est, passus est, resurrexit a mortuis, et ascendit in cœlos, sedetque ad dexteram Patris sui. Et iterum venturus est cum gloria et potestate, judicare vivos et mortuos, manetque in sæcula. Et in Spiri-

(88) « Οἶδεν ὁ Θεὸς, ὃν μάρτυρα καλῶ ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι οὕτως πιστεύω· εἰς Θεὸν Πατέρα παντοκράτορα, τὸν τῶν ὅλων κτίστην καὶ ποιητὴν, ἐξ οὗ τὰ πάντα· καὶ εἰς τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, Θεὸν (89), Λόγον, δύναμιν καὶ σοφίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δι' οὗ τὰ πάντα, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς πρὸ τῶν αἰώνων, Θεὸν τέλειον ἐκ Θεοῦ τελείου, καὶ ὄντα πρὸς τὸν Θεὸν ἐν ὑποστάσει· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν κατελθόντα, καὶ γεννηθέντα ἐκ τῆς Παρθένου κατὰ τὰς Γραφὰς, ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα ἀπὸ τῶν νεκρῶν, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ D καθεσθέντα ἐκ δεξιῶν τοῦ Πατρὸς αὐτοῦ· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως κοῖναι ζῶντας

[7] Matth. XXVIII, 19.

(81) Socr. post ἀναστάντα, repetit, ὑπὲρ ἡμῶν. Hilar. vero : *Qui passus est et resurrexit pro nobis tertia die.*

(82) Socrates bis ἀληθινῶς habet, tertio ἀληθῶς ut in Regio habetur, quod postremum in editis deest. Infra Regius et Socrates, ἑκάστου. Editi, ἑκάστῳ.

(83) Hæc habentur apud Niceph. lib. X, cap. 5, pag. 680. Ibidem Socr., ἐχοντες τὴν πίστιν ἐνώπιον τοῦ Θεοῦ, omissis intermediis.

(84) Ἢ χρόνον deest in Socrate. Mox idem, πρὸ τοῦ τὸν Υἱόν, omisso γεννηθῆναι.

(85) Ita Reg. cui consentit Hilar. Editi, τῶν κτισμάτων, καὶ μὴ ὡς αἱ, omissis interpositis. Socrat. hæc omittit, ἢ ποίημα, ὡς ἓν των ποιημάτων. Mox Socrat., παραδεδώκασι τῶν προειρημένων ἕκαστα· ἢ εἴ τις ἄλλο, et ita legit Hilarius.

(86) Socr., ἐμφανῶς. Mox Reg. ἀκολουθῶμεν.

(87) Reg. Τοιάνων.

(88) Tertia fidei formula scripta anno 342.

(89) Reg. Θεὸν Λόγον, absque virgula.

καὶ νεκροὺς, καὶ μένοντα εἰς τοὺς αἰῶνας· καὶ εἰς τὸ Πνεῦμα ἅγιον, τὸν Παράκλητον, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ καὶ διὰ τοῦ προφήτου ἐπηγγείλατο ὁ Θεὸς ἐκχέειν ἐπὶ τοὺς ἑαυτοῦ δούλους, καὶ ὁ Κύριος ἐπηγγείλατο πέμψαι τοῖς ἑαυτοῦ μαθηταῖς, ὃ καὶ ἔπεμψεν, ὡς αἱ Πράξεις τῶν ἀποστόλων μαρτυροῦσιν. Εἰ δέ τις παρὰ ταύτην τὴν πίστιν διδάσκει, ἢ ἔχει ἐν ἑαυτῷ, ἀνάθεμα ἔστω· καὶ Μαρκέλλου τοῦ Ἀγκύρας, ἢ Σαβελλίου, ἢ Παύλου τοῦ Σαμοσατέως, ἀνάθεμα ἔστω καὶ αὐτὸς, καὶ πάντες οἱ κοινωνοῦντες αὐτῷ (90). »

A tum sanctum, consolatorem, Spiritum veritatis, quem per prophetam promisit Deus se effusurum super servos suos [8], et Dominus promisit se missurum suis discipulis [9], quem etiam misit, ut testantur apostolorum Acta [10]. Si quis autem quidpiam præter hanc fidem docet, aut intra se sentit, anathema esto. Et qui cum Marcello Ancyræ, aut Sabellio, vel Paulo Samosatensi sentit, anathema is quoque sit, et quicunque cum eo communicant.»

25. (91) Ἦσαν δὲ οἱ συνελθόντες ἐν τοῖς Ἐγκαινίοις ἐπίσκοποι ἐνενήκοντα, ὑπατείᾳ Μαρκελλίνου καὶ Προβίνου, ἰνδικτιῶνος ιδ', ἐκεῖ ὄντος Κωνσταντίου τοῦ ἀσεβεστάτου. Ταῦτα πράξαντες ἐν Ἀντιοχείᾳ τοῖς Ἐγκαινίοις, νομίσαντες δὲ μὴ τελείως γεγραφέναι, ῥεμβομένην δὲ τὴν διάνοιαν ἔχοντες, αὖθις πάλιν συντιθέασιν ἄλλο γράμμα δῆθεν περὶ πίστεως μετὰ μῆνας ὀλίγους, καὶ ἀποστέλλουσιν εἰς τὰς Γαλλίας Νάρκισσον, Μάριν, Θεόδωρον καὶ Μάρκον. Κἀκεῖνοι ὡς ἀπὸ συνόδου πεμφθέντες ἐπιδεδώκασι τῷ τῆς μακαρίας μνήμης Κώνσταντι τῷ Αὐγούστῳ, καὶ τοῖς ἐκεῖ πᾶσι, ταῦτα·

25. Porro qui ad Encænia convenerant episcopi, nonaginta numero erant, coss. Marcellino et Probino, indictione 14, cum ibi esset impiissimus Constantius. Hæc cum Antiochiæ Encæniorum tempore B gessissent, rati se nondum perfecte fidem suam scripsisse, utpote fluctuandi mente præditi; aliud denuo edunt de fide rescriptum paucis interjectis mensibus : atque Narcissum, Marin, Theodorum, et Marcum in Gallias mittunt : qui quasi a synodo legati, hæc beatæ memoriæ Constanti Augusto, cæteris qui aderant, tradiderunt :

(92) « Πιστεύομεν εἰς ἕνα Θεὸν (93), Πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός· δι' οὗ ἐγένετο τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς (94), τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα, καὶ σοφίαν, καὶ δύναμιν, καὶ ζωὴν, καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου, τὸν σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα· καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν (95), καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ Πατρός· καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάλυτος (96) οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. Ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τουτέστι, τὸν Παράκλητον (97)· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε, διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα· δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρι-

« Credimus in unum Deum, Patrem omnipotentem, conditorem et factorem omnium, ex quo omnis paternitas in cœlis et in terra nominatur. Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, ante omnia sæcula ex Patre natum; Deum ex Deo, lumen ex lumine; per quem omnia facta sunt in cœlis et in terra, visibilia et C invisibilia; qui est Verbum, sapientia, potentia, vita et lux vera. Qui in novissimis diebus propter nos homo factus, et natus est ex sancta Virgine, crucifixus etiam, mortuus et sepultus est; et resurrexit ex mortuis tertia die, et assumptus est in cœlum, sedetque ad dexteram Patris. Et venturus est in consummatione sæculi judicare vivos et mortuos, et reddere unicuique secundum opera sua; cujus regnum interminatum permanet in infinita sæcula. Sedebit enim ad dexteram Patris, non solum in hoc sæculo, sed etiam in futuro. Et in Spiritum sanctum, id est, Paracletum; quem apostolis pollicitus, post suum ad cœlos ascensum misit, ut doceret illos et suggereret omnia; per quem etiam sanctificabuntur animæ illorum qui sincere in ipsum crediderint. Illos autem qui dicunt, ex non exstantibus Filium, aut ex alia sub- D

[8] Joel II, 28. [9] Joan. XV, 26. [10] Act. II.

(90) Post hæc addiderunt Parisienses de more, ταῦτα Θεοφρόνιος, quæ non habentur in mss. nec nisi Latine, in edit. Comm.

(91) De his vide Socrat. lib. II, c. 18, Sozom. lib. III, c. 5, et quæ diximus in Monito.

(92) Quarta fidei formula scripta anno 341.

(93) In edit. Parisiens. præpositus fuit hic titulus ἑτέρα πίστεως ὁμολογία, qui non exstat in mss. nec nisi Latine in edit. Comm. Hæc fidei confessio habetur apud Socr. lib. II, c. 18. Et apud Niceph. lib. IX, c. 10. Socr. in edit. Christophors,, πιστεύω, in Valesiana, πιστεύομεν. Infra Reg. Socr. et Niceph., ποιητὴν τῶν πάντων. Editi, ποιητὴν τῶν ὄντων.

(94) Sic Reg. Socr. Niceph. et edit. Paris. Edit. Comm. male, καὶ τῆς γῆς.

(95) Socr. et Niceph., καὶ ἀνελήλυθότα εἰς τοὺς οὐρανούς. Mox iidem et Reg., καθεσθέντα. Editi, καθεζόμενον. Paulo post Socrat. et Nicephor., τῶν αἰώνων.

(96) Socrat. et Nicephor., ἀκατάπαυστος.

(97) Socrat. et Nicephor., καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι, τὸν Παράκλητον

stantia,et non ex Deo esse : et,fuit aliquando tempus, quo non erat, alienos agnoscit Ecclesia catholica. »

26. Sed, quasi se horum pœniteret, rursum post tres annos concilium suum cogerunt, miseruntque Eudoxium, Martyrium, et Macedonium, in Cilicia episcopum, cum iisque alios quosdam, in Italiam, qui fidei formulam plurimis conscriptam deferrent, multisque additamentis auctiorem quam superiores ; num quasi recentiora quædam excogitassent, hæc secum attulere.

I. « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem omnium, ex quo omnis paternitas in cœlo et in terra nominatur.Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, **590** ante omnia sæcula ex Patre natum : Deum ex Deo, lumen ex lumine,per quem omnia facta sunt, in cœlis et in terra, visibilia et invisibilia ; qui est Verbum, sapientia, potentia, vita et lux vera. Qui in novissimis diebus propter nos homo factus est, et natus est ex sancta Virgine, crucifixus, mortuus et sepultus ; et resurrexit ex mortuis tertia die, et assumptus est in cœlum, sedetque ad dexteram Patris ; qui venturus est in consummatione sæculi judicare vivos et mortuos, et reddere unicuique secundum opera sua ; cujus regnum interminatum permanet in infinita sæcula. Sedet enim ad dexteram Patris non solum in hoc sæculo, verum etiam in futuro. Credimus etiam in Spiritum sanctum, hoc est in Paracletum, quem apostolis pollicitus post suum in cœlos ascensum misit, ut doceret illos et suggereret omnia, per quem etiam sanctificabuntur animæ eorum qui sincere in illum crediderint.

II.« Illos autem qui dicunt Filium ex non extantibus, aut ex alia substantia, non autem ex Deo esse ; aut tempus aliquando vel sæculum fuisse cum non esset, alienos agnoscit catholica Ecclesia. Similiter eos qui dicunt tres Deos esse, aut Christum non esse Deum : aut eum ante sæcula neque Christum esse, neque Filium Dei : aut eumdem esse Patrem atque Filium vel Spiritum san-

A νῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ· καὶ, Ἦν ποτε χρόνος, ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ Ἐκκλησία (98). »

26. Ἐπὶ τούτοις ὥσπερ μεταγνόντες, συλλέγουσι πάλιν τὸ συνέδριον ἑαυτῶν μετὰ ἔτη τρία, καὶ ἀποστέλλουσιν Εὐδόξιον, Μαρτύριον, καὶ Μακεδόνιον τὸν ἀπὸ Κιλικίας, καὶ σὺν αὐτοῖς ἑτέρους τινὰς εἰς τὰ μέρη τῆς Ἰταλίας, ἀποφέροντας πίστιν διὰ πολλῶν γραφεῖσαν, προσθήκας τε ἔχουσαν πλείστας παρὰ τὰς προτέρας· ὡς γὰρ καινότερά τινα ἐπινοήσαντες, ἀπεδήμησαν ἔχοντες ταῦτα.

B (99) I. « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα (1), κτίστην καὶ ποιητὴν τῶν πάντων, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν (2) αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα ἐν οὐρανοῖς (3) καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν, καὶ δύναμιν, καὶ ζωὴν, καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτων (4) τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου, σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα (5), καὶ ἀναστάντα ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ Πατρός· καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος (6) κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. Καθέζεται γὰρ ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. C Πιστεύομεν (7) καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι, τὸν Παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανὸν ἄνοδον, ἀπέστειλε διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα, δι' οὗ καὶ ἁγιασθήσονται (8) οἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί.

II. « Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν (9), ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν χρόνος ποτὲ, ἢ αἰὼν, ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ (10) καὶ ἁγία Ἐκκλησία. Ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι Θεοὺς, ἢ τὸν Χριστὸν μὴ εἶναι Θεὸν, ἢ πρὸ τῶν αἰώνων μήτε Χριστὸν μήτε Υἱὸν αὐτὸν εἶναι Θεοῦ, ἢ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν, ἢ ἅγιον Πνεῦμα (11)· ἢ ἀγέννητον Υἱὸν, ἢ ὅτι

(98) Quæ sequebantur hic, τέλος ταύτης τῆς ὁμολογίας, addita a Parisiensibus editoribus, expuncta sunt. Non enim habentur in mss., nec nisi Latine in edit. Commel. Infra, αὐτός post διδάξαι abest a Socrat. et Nicephor.

(99) Quinta fidei formula scripta anno 344 vel 345. Hæc item fidei professio exstat apud Socrat. lib. III, cap. 19, et apud Nicephor. lib. IX, cap. 11.

(1) Titulus Latine primum in edit. Comm. et Græce postea in edit. Parisiens. præfixus sic, ἑτέρα τῆς πίστεως ὁμολογία, in nullis habetur mss. expunctusque a nobis est.

(2) Τῶν deest in Reg., hæc τῶν αἰώνων desunt in Nicephor.

(3) Socrat., ἐν τοῖς οὐρανοῖς.Mox τά deest in Reg.

(4) Socrat., ἐπ' ἐσχάτου.

(5) Ita Reg., Socr. et Niceph. In editis hæc καὶ ταφέντα desunt. Infra τόν ante οὐρανόν deest in Reg. Socr· Niceph. In editis habetur.

(6) Socr. et Nice ph., τῶν αἰώνων.Paulo post Reg. Socr. Niceph.. κατὰ τὰ ἔργα. In editis τά deest. Mox τούς ante ἀπείρους deest in Socr. et Niceph.

(7) Post πιστεύομεν Socr. et Niceph. habent δε. Mox iidem, εἰς τὸν Παράκλητον.

(8) Socr. et Niceph., ἁγιάζονται. et mox iidem, πιστευόντων·

(9) Socr. et Niceph., τὸν Υἱόν, rectius ut videtur, quam editi et mss, qui habent Θεόν.

(10) Socr. et Niceph., ἡ ἁγία καθολική.

(11) Socr. et Niceph., καὶ ἅγιον Πνεῦμα. Infra edit. Paris. Socr. et Niceph., ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία. Edit. vero Comm. et Reg., ἡ ἁγία καθολικὴ Ἐκκλ.

οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησε ὁ Πατὴρ τὸν Υἱὸν, ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία.

III. « Οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν Υἱὸν λέγειν ἀσφαλὲς, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεοπνεύστων Γραφῶν φέρεται (12) περὶ αὐτοῦ, οὔτε μὴν ἐξ ἑτέρας τινὸς ὑποστάσεως παρὰ τὸν Πατέρα προϋποκειμένης· ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διοριζόμεθα (13)· Ἓν γὰρ τὸ ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ Πατέρα ὁ θεῖος διδάσκει λόγος. Ἀλλ' οὐδὲ τὸ, ἦν ποτε, ὅτε οὐκ ἦν, ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας (14), χρονικόν τι διάστημα προενθυμητέον αὐτοῦ, ἀλλ' ἢ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα Θεόν· καὶ χρόνοι γὰρ καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. Οὔτε μὴν συνάναρχον καὶ συναγέννητον τῷ Πατρὶ τὸν Υἱὸν εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου οὐδεὶς κυρίως πατὴρ ἢ υἱὸς λεχθήσεται. Ἀλλὰ τὸν μὲν Πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀγέννητον (15) γεγεννηκέναι ἀνεφίκτως, καὶ πᾶσιν ἀκαταλήπτως οἴδαμεν· τὸν δὲ Υἱὸν γεγεννῆσθαι πρὸ αἰώνων, καὶ μηκέτι ὁμοίως τῷ Πατρὶ ἀγέννητον εἶναι καὶ αὐτὸν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα Πατέρα κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός.

IV. « Οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος κατὰ τὰς Γραφὰς, τρεῖς διὰ τοῦτο τοὺς Θεοὺς ποιοῦμεν· ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον ἄναρχόν τε καὶ ἀόρατον Θεὸν ἕνα μόνον οἴδαμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ (16) τοῖς ἄλλοις πᾶσιν ἀφθόνως τοῦτο χαριζόμενον. Οὔτε μὴν, ἕνα Θεὸν μόνον λέγοντες εἶναι τὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Πατέρα, τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα καὶ τὸν Χριστὸν Θεὸν εἶναι πρὸ αἰώνων (17)· ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως, ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τεθεοποιῆσθαι λέγοντες, τῷ τὴν φύσιν ψιλὸν ἄνθρωπον γεγονέναι. Οἴδαμεν γὰρ καὶ αὐτὸν, εἰ καὶ ὑποτέτακται τῷ Πατρὶ καὶ τῷ Θεῷ (18), ἀλλ' ὅμως πρὸ αἰώνων γεννηθέντα ἐκ τοῦ Θεοῦ, Θεὸν κατὰ φύσιν τέλειον εἶναι καὶ ἀληθῆ, καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα Θεὸν, ἀλλ' ἐκ Θεοῦ ἐνανθρωπῆσαι δι' ἡμᾶς, καὶ μηδέποτε ἀπολωλεκότα τὸ εἶναι (19).

V. « Βδελυσσόμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς Λόγον μὲν μόνον αὐτὸν ψιλὸν τοῦ Θεοῦ καὶ ἀνύπαρκτον ἐπιπλάστως καλοῦντας, ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα (20), νῦν μὲν ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον· Χριστὸν

A cium : aut ingenitum esse Filium : vel Patrem non arbitrio suo aut voluntate genuisse Filium ; anathemate ferit sancta et catholica Ecclesia.

III. « Neque enim tutum est dicere Filium ex non exstantibus esse, cum nusquam divinarum Scripturarum hoc de ipso feratur : vel ex alia prius exsistente substantia quæ Patris non esset ; sed ex solo Deo eum vere genitum esse definimus ; unum enim ingenitum et sine principio Christi Patrem esse divinus sermo docet. Sed neque eos qui citra Scripturæ auctoritatem temere dicunt : Erat tempus cum non esset, aliquod temporis spatium antecedens cogitare oportet ; sed solum Deum qui sine tempore illum genuit. Tempora enim et sæcula per illum facta sunt. Neque item existimandum est

B Filium una cum Patre non genitum et principio expertem ; quippe simul non geniti et principio carentis, nemo proprie pater aut filius dici poterit. Sed Patrem qui solus principio carens et ingenitus est, modo ineffabili et omnibus incomprehensibili genuisse novimus Filium autem ante sæcula genitum fuisse, nec proinde velut Patrem ipsum quoque ingenitum esse ; sed principium habere, Patrem nempe qui se genuit : caput enim Christi Deus [11].

IV. « Nec tamen quia tres res et tres personas Patris, et Filii, et Spiritus sancti secundum Scripturas confitemur, ideo tres deos facimus. Unum enim solum ex seipso perfectum, ingenitum, principio carentem, et invisibilem Deum novimus,

C Deum et Patrem Unigeniti, qui solus ex seipso habet esse, solus copiose illud aliis largitur. Porro tametsi unum Deum solum dicimus Patrem Domini nostri Jesu Christi, solum ingenitum, non ideo negamus Christum quoque Deum esse ante sæcula ; ut faciunt 591 Pauli Samosatensis discipuli, affirmantes eum post incarnationem, ex profectu Deum factum esse, postquam natura simplex homo factus fuisset. Scimus enim eum, quamvis Patri et Deo subjectus sit, ante sæcula tamen a Deo genitum, Deum secundum naturam perfectum et verum esse, neque ex homine postea Deum, sed ex Deo hominem propter nos factum esse, neque unquam esse desivisse.

V. « Exsecramur præterea et anathemate damna-

D mus eos, qui illum solum ac simplex Dei Verbum non subsistens, quod in alio suam exsistentiam habeat, falso appellant, quodque modo velut prolatitium a quibusdam dicitur, modo internum nomi-

[11] I Cor. xi, 3.

(12) Socr. et Niceph., ἐμφέρεται.
(13) Socr. et Niceph., διδασκόμεθα. Mox Niceph., ἕνα γὰρ τὸν ἀγέννητον.
(14) Niceph., τοῖς ἐξ ἀγράφων ἐπισφαλῶς λέγουσιν, ὡς χρονικόν.
(15) Socr. et Niceph., καὶ ἀνέφικτον. Infra Reg. edit. Comm. Socr., et Niceph., γεγεννῆσθαι. Edit. Paris., γεγενῆσθαι.
(16) Ita Reg. Socr. et Niceph. In editis δὲ deest Mox Socr., ἀφθένως τὸ ειναι παρεχόμενον. Niceph., ἀφθόνως χαριζόμενον τὸ εἶναι.
(17) Socr. et Niceph., προαιώνιον.
(18) Τῷ deletum in Reg. deest apud Nic. Mox, πρὸ αἰώνων deest apud Socr. et Niceph.
(19) Socr, et Nic., καὶ μηδεπώποτε ἀπολωλεκότα τὸ εἶναι Θεόν.
(20) Sic Reg. Socr. et Niceph. Editi vero, ἔχοντι.

natur. Christum autem ipsum et Filium Dei, mediatorem, et imaginem Dei, non fuisse ante sæcula contendunt; sed eo tempore Christum ipsum et Filium Dei factum esse, ex quo nostram carnem ex Virgine assumpsit, non integris abhinc quadringentis annis. Ex eo enim tempore initium regni habuisse Christum contendunt : et hoc regnum, post consummationem et judicium, finem habiturum.

A δὲ αὐτὸν, καὶ Υἱὸν τοῦ Θεοῦ, καὶ μεσίτην, καὶ εἰκόνα τοῦ Θεοῦ μὴ εἶναι (21) πρὸ αἰώνων θέλοντας· ἀλλ' ἐκ τότε Χριστὸν αὐτὸν γεγονέναι καὶ Υἱὸν τοῦ Θεοῦ (22), ἐξ οὗ τὴν ἡμετέραν ἐκ τῆς Παρθένου σάρκα ἀνείληφε, πρὸ τετρακοσίων οὐχ (23) ὅλων ἐτῶν. Ἐκ τότε γὰρ τὸν Χριστὸν ἀρχὴν βασιλείας ἐσχηκέναι ἐθέλουσι· καὶ τέλος ἕξειν αὐτὴν (24) μετὰ τὴν συντέλειαν καὶ τὴν κρίσιν.

VI. « Hujusmodi sunt sectatores Marcelli, et Scotini Ancyrogalatarum, qui Christi ante sæcula exsistentiam et divinitatem, ejusque perpetuum regnum cum Judæis inficiantur, ut monarchiam constituere videantur. Scimus enim eum, non esse duntaxat prolatum, et internum Dei Verbum, sed vivum Deum Verbum per se subsistens, Deique B Filium et Christum, eumque ante omnia sæcula non per solam præscientiam simul cum Patre exstitisse, et cum illo versatum fuisse, ipsique ad creationem omnium visibilium sive invisibilium ministrasse. Hic enim est cui Pater dixit : « Faciamus hominem ad imaginem et similitudinem nostram [12]. » Qui patriarchis facie ad faciem visus est, qui legem dedit, et locutus est per prophetas, qui tandem homo factus est, et Patrem suum omnibus hominibus manifestavit : qui regnat in infinita sæcula. Nullam enim novam dignitatem accepit Christus : sed eum antea perfectum Patrisque per omnia similem esse credimus.

VI. « Τοιοῦτοι δέ εἰσιν οἱ ἀπὸ Μαρκέλλου καὶ Σκοτεινοῦ (25) τῶν Ἀγκυρογαλατῶν, οἳ τὴν προαιώνιον ὕπαρξιν τοῦ Χριστοῦ, καὶ τὴν θεότητα, καὶ τὴν ἀτελεύτητον αὐτοῦ βασιλείαν ἡμοίως Ἰουδαίοις ἀθετοῦσιν, ἐπὶ προφάσει τοῦ συνίστασθαι δοκεῖν τῇ μοναρχίᾳ (26). Ἴσμεν γὰρ αὐτὸν ἡμεῖς, οὐχ ἁπλῶς Λόγον προφορικὸν, ἢ ἐνδιάθετον τοῦ Θεοῦ, ἀλλὰ ζῶντα Θεὸν Λόγον καθ' ἑαυτὸν ὑπάρχοντα, καὶ Υἱὸν Θεοῦ καὶ Χριστὸν, καὶ οὐ προγνωστικῶς συνόντα καὶ συνδιατρίβοντα πρὸ αἰώνων τῷ ἑαυτοῦ Πατρὶ, καὶ πρὸς πᾶσαν διακονησάμενον αὐτῷ τὴν δημιουργίαν, εἴτε τῶν ὁρατῶν εἴτε τῶν ἀοράτων (27). Οὗτος γάρ ἐστι, πρὸς ὃν εἶπεν ὁ Πατὴρ, ὅτι, « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· » ὁ καὶ τοῖς πατριάρχαις αὐτοπροσώπως ὀφθεὶς (28), δεδωκὼς τὸν νόμον, καὶ λαλήσας διὰ τῶν προφητῶν, καὶ τὰ τελευταῖα ἐνανθρωπήσας, καὶ τὸν ἑαυτοῦ Πατέρα πᾶσιν ἀνθρώποις φανερώσας, καὶ βασιλεύων εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Οὐδὲν γὰρ πρόσφατον ὁ Χριστὸς προσείληφεν ἀξίωμα, ἀλλ' ἄνωθεν τέλειον αὐτὸν, καὶ τῷ Πατρὶ κατὰ πάντα ὅμοιον εἶναι πεπιστεύκαμεν.

VII. « Illos vero qui dicunt Patrem et Filium et Spiritum sanctum eumdem esse ; tria hæc nomina de una eademque re ac persona impie accipientes, merito ab Ecclesia proscribimus : eo quod Patrem qui nec comprehendi, nec pati potest, comprehensioni et passioni per incarnationem subjiciant ; cujusmodi sunt qui apud Latinos Patropassiani, apud nos Sabelliani vocantur. Nos enim scimus Patrem qui misit, in propria immutabilis divinitatis conditione permansisse. Christum autem qui missus est, Incarnationis implevisse dispensationem.

VII. « Καὶ τοὺς λέγοντας δὲ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματός τε καὶ προσώπου τὰ τρία ὀνόματα ἀσεβῶς ἐκλαμβάνοντας, εἰκότως ἀποκηρύσσομεν τῆς Ἐκκλησίας· ὅτι τὸν ἀχώρητον καὶ ἀπαθῆ Πατέρα χωρητὸν ἅμα καὶ παθητὸν διὰ τῆς ἐνανθρωπήσεως ὑποτίθενται· τοιοῦτοι γὸρ εἰσιν οἱ Πατροπασσιανοὶ μὲν παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ καλούμενοι παρ' ἡμῖν. Οἴδαμεν γὰρ ἡμεῖς τὸν μὲν ἀποστείλαντα Πατέρα ἐν τῷ οἰκείῳ τῆς ἀναλλοιώτου θεότητος ἤθει μεμενηκέναι, τὸν δὲ ἀποσταλέντα Χριστὸν τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν πεπληρωκέναι.

VIII. « Itemque illos qui summa impietate dicunt non arbitrio neque voluntate Filium genitum fuisse : involuntariam et invitam quamdam necessitatem Deo attribuentes ; ita ut nolens genuerit Filium, impiissimos et ab Ecclesia alienos censemus ; quod D præter communes de Deo sententias, imo contra mentem Scripturæ divinitus inspiratæ, ejusmodi de

VIII. « Ὅμως δὲ καὶ τοὺς οὐ βουλήσει οὐδὲ θελήσει γεγεννῆσθαι (29) τὸν Υἱὸν εἰρηκότας ἀνυλαβῶς, ἀνάγκην δὲ δηλονότι ἀβούλητον καὶ ἀπροαίρετον περιτεθεικότας τῷ Θεῷ, ἵνα ἄκων γεννήσῃ τὸν Υἱὸν, δυσσεβεστάτους καὶ τῆς Ἐκκλησίας ξένους ἐπιγινώσκομεν (30)· ὅτι τε παρὰ τὰς κοινὰς περὶ Θεοῦ ἐννοίας, καὶ δὴ καὶ παρὰ τὸ βούλημα τῆς θεοπνεύστου

[12] Genes. I, 26.

(21) Niceph., μὲν εἶναι male.
(22) Eusebium vide in Marcellum.
(23) Apud Socr. et Nic., οὐκ deest, minus recte.
(24) Ita Reg. Socrat. et Nic. Editi, αὐτόν minus recte.
(25) Sic edit. Comm. et omnes manuscripti codd. Edit. vero Parisiensis ex Socrate sic emendavit, Φωτεινοῦ quasi mendum esset. At Σκοτεινὸν vocatum existimamus per antiphrasin.
(26) Τὴν μοναρχίαν Socr. et Nic.
(27) Socr. et Nic., τῶν ἀοράτων, ἀλλ' ἐνυπόστατον Λόγον ὄντα τοῦ Πατρὸς, καὶ Θεὸν ἐκ Θεοῦ. Οὗτος γάρ ἐστι πρὸς ὃν εἶπεν, etc.
(28) Socr. et Nic., ὃς . . . . ὤφθη.
(29) Sic edit. Comm. et omnes mss. Edit. vero Paris., γεγενῆσθαι.
(30) Sic Reg. Socr. et Nic. Editi, γινώσκομεν. Mox Reg., καινάς, male. Ibidem editi, τοῦ περὶ Θεοῦ male, τοῦ deest in Reg. Socr. et Nic.

Γραφῆς, τοιαῦτα τετολμήκασι περὶ αὐτοῦ διορίσασθαι. Αὐτοκράτορα γὰρ ἡμεῖς τὸν Θεὸν καὶ (31) Κύριον αὐτὸν ἑαυτοῦ εἰδότες, ἑκουσίως αὐτὸν καὶ ἐθελοντὴν τὸν Υἱὸν γεγεννηκέναι εὐσεβῶς ὑπειλήφαμεν. Πιστεύοντες δὲ ἐμφόβως (32) καὶ τῷ περὶ ἑαυτοῦ λέγοντι· « Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, » οὐχ ὁμοίως αὐτὸν τοῖς δι' αὐτοῦ γενομένοις κτίσμασιν ἢ ποιήμασι γεγενῆσθαι νοοῦμεν. Ἀσεβὲς γὰρ καὶ τῆς ἐκκλησιαστικῆς πίστεως ἀλλότριον τὸ τὸν κτίστην τοῖς δι' αὐτοῦ κεκτισμένοις (33) δημιουργήμασι παραβάλλειν, καὶ τὸν αὐτὸν τῆς γενέσεως τοῖς ἄλλοις τρόπον ἔχειν καὶ αὐτὸν νομίζειν. Μόνον γὰρ καὶ μόνως τὸν μονογενῆ Υἱὸν γεγεννῆσθαι (34) γνησίως τε καὶ ἀληθῶς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι Γραφαί.

A illo ausi sint definere. Nos enim Deum sibi ipsi imperantem, ac sui Dominum agnoscentes, eum sponte ac libere Filium genuisse pie censemus. Porro licet cum timore credamus illi de se dicenti : « Dominus creavit me principium 592 viarum suarum ad opera sua [13] ; » non tamen quo modo creaturæ et opificia ab illo facta sunt, eodem et illum factum esse intelligimus. Impium enim est, et ab ecclesiastica fide alienum, creatorem cum rebus quas creavit conferre, et eodem generationis modo atque alias creaturas illum editum esse arbitrari. Quippe unigenitum Filium, unum et unice genitum fuisse, germane ac vere docent nos divinæ Scripturæ.

IX. « Ἀλλ' οὐδὲ τὸν Υἱὸν καθ' ἑαυτὸν εἶναι, ζῆν τε καὶ ὑπάρχειν ὁμοίως τῷ Πατρὶ λέγοντες, διὰ τοῦτο χωρίζομεν αὐτὸν τοῦ Πατρὸς, τόπους (35) καὶ διαστήματά τινα μεταξὺ τῆς συναφείας αὐτῶν σωματικῶς ἐπινοοῦντες. Πεπιστεύκαμεν γὰρ ἀμεσιτεύτως αὐτοὺς καὶ ἀδιαστάτως ἀλλήλοις (36) ἐπισυνῆφθαι, καὶ ἀχωρίστου ὑπάρχειν ἑαυτῶν· ὅλου μὲν τοῦ Πατρὸς ἐνστερνισμένου τὸν Υἱὸν, ὅλου δὲ τοῦ Υἱοῦ ἐξηρτημένου καὶ προσπεφυκότος τῷ Πατρὶ, καὶ μόνου τοῖς πατρῴοις κόλποις ἀναπαυομένου διηνεκῶς (37). Πιστεύοντες οὖν εἰς τὴν παντέλειον Τριάδα τὴν ἁγιωτάτην, τουτέστιν εἰς τὸν Πατέρα, καὶ εἰς τὸν Υἱὸν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ Θεὸν μὲν τὸν Πατέρα λέγοντες, Θεὸν δὲ καὶ τὸν Υἱὸν, οὐ δύο τούτους Θεοὺς, ἀλλ' ἓν ὁμολογοῦμεν τῆς θεότητος ἀξίωμα, καὶ μίαν ἀκριβῆ τῆς βασιλείας τὴν συμφωνίαν (38)· παντάρχουντος μὲν καθόλου πάντων, καὶ αὐτοῦ τοῦ Υἱοῦ, μόνου τοῦ Πατρός· τοῦ δὲ Υἱοῦ ὑποτεταγμένου τῷ Πατρὶ· ἐκτὸς δὲ αὐτοῦ πάντων μετ' αὐτὸν βασιλευόντος τῶν δι' αὐτοῦ γενομένων, καὶ τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀφθόνως τοῖς ἁγίοις δωρουμένου πατρικῷ βουλήματι. Οὕτω γὰρ τὸν περὶ τῆς εἰς Χριστὸν μοναρχίας συνίστασθαι λόγον παρέδοσαν ἡμῖν οἱ ἱεροὶ λόγοι.

B IX. « Sed neque tametsi dicimus Filium per seipsum esse, vivere ac subsistere, perinde atque Patrem, illum idcirco a Patre separamus, spatia quædam et intervalla quibus disjuncti sunt corporali modo intelligentes. Credimus enim, eos absque ullo medio et interstitio conjunctos esse, nec a se invicem posse ullatenus separari : ita ut totus Pater Filium in sinu suo complectatur, et totus Filius a Patre pendeat, illi adhæreat, solusque in Patris sinu perpetuo conquiescat. Credentes igitur in undique perfectam et sanctissimam Trinitatem, id est in Patrem, et in Filium, et in Spiritum sanctum : cum Deum Patrem Deum, item Filium dicimus, non hos, duos Deos, sed unam confitemur divinitatis dignitatem, et unam absolutam regni concordiam ; ita ut solus Pater omnibus omnino, et ipsi quoque C Filio dominetur ; Filius vero Patri subjiciatur, et illo excepto omnibus post illum dominetur quæ ab ipso facta sunt ; et Spiritus sancti gratiam Patris voluntate, sanctis affatim largiatur. Sic enim ejus quæ in Christo est monarchiæ rationem constare, sacra nobis eloquia tradiderunt.

X. « Ταῦτα ἠναγκάσθημεν μετὰ τὴν ἐν ἐπιτομῇ προεκτεθεῖσαν πίστιν πλατύτερον ἐπεξεργάσασθαι οὐ κατὰ περιττὴν φιλοτιμίαν, ἀλλ' ἵνα πᾶσαν τὴν τῆς ἡμετέρας ὑπολήψεως ἀλλοτρίαν ἀνακαθάρωμεν ὑποψίαν παρὰ τοῖς τὰ καθ' ἡμᾶς ἀγνοοῦσι, καὶ γνῶσιν οἱ κατὰ τὴν δύσιν πάντες, ὁμοῦ μὲν τῆς συκοφαντίας τῶν ἑτεροδόξων τὴν ἀναίδειαν, ὁμοῦ δὲ τῶν

X. « Hæc coacti sumus, post fidem compendio antehac editam, fusius explicare, non superflua ambitione impulsi, sed ut alienam omnem de fide nostra suspicionem levaremus, eorum maxime qui rerum nostrarum imperiti sunt, utque Occidentales omnes cum adversariorum sycophantiæ impudentiam, tum Orientalium ecclesiasticam in Domino sen-

[13] Prov. VIII, 22.

(31) Καὶ deest in Socr. Infra idem et Nic., καὶ θέλοντα.

(32) Sic Reg. Socr. Nic. Edit. vero Comm., ἐμφόσως. Edit. Parisiens., ἐμφόιος. Ibid. Socrat. et Niceph., τὸ περὶ αὐτοῦ λεγόμενον. Ibid. Reg. post λέγοντι habet ὅτι.

(33) Sic omnes mss. et editi. Socr. et Nicephor., ἐκτισμένοις. Paulo post Socr., τοῖς ἀλλοτρίοις τρόπον. Mox Reg., καὶ αὐτόν. Particula καί in editis deest.

(34) Ita Reg. et Basil. bene. Editi cum Socr. et Niceph., γεγενῆσθαι. Mox Reg. Socr. et Nicephor., ἡμᾶς. Editi, ὑμᾶς perperam.

(35) Sic Reg. Socr. et Niceph. In editis vero, οὐ τόπους. Ibid. Nicephor., τόπους δὲ καί. Infra Reg. Socr. et Nicephor., σωματικῶς. Editi, σωματικῶν perperam.

(36) Regius codex, διαστάτως ἀλλήλοις : deest illud in Socr. et Nicephor. Mox iidem ὅλον.

(37) Ita Reg. Editi, ἐπαναπαυομένου. Totum hunc locum sic habent Socr. et Niceph., καὶ μόνον τοῖς πατρῴοις κόλποις ἀναπαυόμενον. Paulo post iidem, ἁγιωτάτην, τὸν Πατέρα λέγοντες Θεὸν, καὶ τὸν Υἱὸν οὐ δύο τούτους Θεοὺς, ἀλλ' ἕνα ὁμολογοῦμεν, μετὰ (Nic., κατὰ) τὸ τῆς θεότητος ἀξίωμα.

(38) Socr. et Nic., συνάφειαν. Mox μόνου deest in Socrate et Nicephoro.

tentiam, exploratam habeant, sinceroque divinitus inspiratarum Scripturaaum testimonio confirmatam, apud eos qui mente minime perversa sunt. »

27. Sed neque his steterunt : iterum namque Sirmii adversus Photinum coacti, aliam fidei formulam ediderunt, non ita prolixam, neque tot verbis conscriptam : sed plurimis detractis, alia addiderunt, veluti ea a quibusdam sibi suggerentibus accepissent.

« Credimus in unum Deum, Patrem omnipotentiam, creatorem et factorem omnium : ex quo omnis paternitas in cœlo et in terra nominatur. Et in unigenitum ejus Filium,Dominum nostrum Jesum Christum, ex Patre natum ante omnia sæcula : Deum ex Deo, lumen ex lumine, per quem omnia facta sunt, quæ in cœlis et quæ in terra, visibilia et invisibilia.Qui Verbum est et sapientia, lux vera, et vita ; qui in novissimis diebus propter nos homo factus est ; natusque ex sancta Virgine, crucifixus, mortuus et sepultus ; qui resurrexit ex mortuis tertia die, et assumptus est in cœlum, sedetque ad dexteram Patris. Et venturus **592** est in consummatione sæculi judicare vivos et mortuos, et reddere unicuique secundum opera sua,cujus regnum perpetuum permanet in infinita sæcula. Erit enim sedens ad dexteram Patris, non solum in hoc sæculo,sed etiam in futuro. Et in Spiritum sanctum, hoc est, Paracletum, quem apostolis pollicitus, se, post ascensum suum in cœlos, missurum, misit, ut doceret eos et suggereret eis omnia ; per quem omnes animæ, quæ in eum sincere credunt, sanctificantur.

I. « Eos porro qui dicunt,Filium ex non exstantibus, aut ex alia substantia, et non ex Deo esse : aut tempus vel sæculum fuisse cum exsisteret, alienos a se agnoscit sancta et catholica Ecclesia.

II. « Iterum ergo dicimus: Si quis Patrem et Filium duos Deos dicit, anathema esto.

III. « Et si quis, cum dicat Deum Christum, et ante sæcula Dei Filium esse, eumdem non confiteatur ad creationem universorumPatri ministrasse, anathema esto.

IV. « Si quis ingenitum illum, aut partem ejus ex Maria natum dicere ausit, anathema esto.

V. « Si quis secundum præscientiam ante Ma-

A ἀνατολικῶν τὸ ἐκκλησιαστικὸν ἐν Κυρίῳ (39) φρόνημα, μαρτυρούμενον ἀδιάστως ὑπὸ τῶν θεοπνεύστων Γραφῶν, παρὰ τοῖς ἀδιαστρόφοις (40). »

27. Ἀλλ' οὐδὲ τούτοις ἐνέμειναν· πάλιν γὰρ ἐν Σιρμίῳ συνελθόντες κατὰ Φωτεινοῦ, τότε συνέθηκαν αὖθις πίστιν, οὐκέτι μὲν οὕτω σχοινοτενῆ, οὐδὲ τοσαύτην τοῖς ῥήμασιν· ἀφελόντες δὲ τὰ πλεῖστα καὶ προσθέντες ἄλλα, ὥσπερ ἐξ ὑποβολῆς παρά τινων ἀκούσαντες, ἔγραψαν ταῦτα.

(41) « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, τὸν κτίστην καὶ ποιητὴν τῶν πάντων, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ (42) καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα, τά γε (43) ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν, καὶ φῶς ἀληθινὸν, καὶ ζωήν· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα· καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου, καὶ σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα· καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθεσθέντα (44) ἐν δεξιᾷ τοῦ Πατρός· καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία, ἀκατάπαυστος οὖσα, διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν Παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς

B

C

αὐτοῦ ἄνοδον ἀποστεῖλαι, διδάξαι καὶ ὑπομνῆσαι αὐτοὺς πάντα, ἔπεμψε· δι' οὗ καὶ ἁγιάζονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί.

I. « Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν χρόνος ἢ αἰὼν, ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ ἁγία καὶ (45) καθολικὴ Ἐκκλησία.

II. « Πάλιν οὖν ἐροῦμεν· Εἴ τις τὸν Πατέρα καὶ τὸν Υἱὸν δύο λέγει Θεοὺς, ἀνάθεμα ἔστω.

III. « Καὶ εἴ τις, λέγων Θεὸν τὸν Χριστὸν πρὸ αἰώνων (46) Υἱὸν τοῦ Θεοῦ, ὑπουργηκότα τῷ Πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ ὁμολογοίη, ἀνάθεμα ἔστω.

IV. « Εἴ τις τὸν ἀγέννητον (47). ἢ μέρος αὐτοῦ ἐκ Μαρίας λέγειν γεγενῆσθαι (48) τολμᾷ, ἀνάθεμα

D ἔστω.

V. « Εἴ τις κατὰ πρόγνωσιν πρὸ Μαρίας λέγει τὸν

(39) Ἐν Κυρίῳ deest apud Niceph. Socr. habet ἐν Χριστῷ.

(40) Socr. et Nic., παρ' αὐτοῖς ἀδιαστρόφως. Quæ sequebantur, τέλος ταύτης τῆς ὁμολογίας, a Parisiensibus de more addita, expunximus, quod in nullis legantur codicibus.

(41) Sexta fidei formula scripta anno 351. — In edit. Paris., ἑτέρα τῆς πίστεως ὁμολογία, quæ cum desunt in edit. Comm. et in omnibus manuscriptis, omissa sunt. Hæc fidei confessio exstat apud Socratem libro II, cap. 30, apud Nicephorum lib. IX, cap. 31, et apud Hilarium *De synodis*, col. 1174.

(42) Socr. et Nic., ἐν οὐρανοῖς.

(43) Τε deest in Socr. et Niceph. Infra καὶ σοφίαν deest apud Nicephorum.

(44) Socr. et Nicephor., καθίσαντα.

(45) In Regio καὶ deest.

(46) Niceph., προαιώνιον.

(47) Regius et Basil. ἀγέννητον minus recte.

(48) Sic mss. et editi omnes. Socr. et Niceph., γεγεννῆσθαι, et ita legendum videtur. Mox Socrat. et Niceph., εἴ τις κατὰ πρόγνωσιν τὸν ἐκ Μαρίας, et ita legit Hilarius.

Υἱὸν εἶναι, καὶ μὴ πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς γεγεννημένον πρὸς τὸν Θεὸν εἶναι, καὶ δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα, ἀνάθεμα ἔστω. A

VI. « Εἴ τις τὴν οὐσίαν τοῦ Θεοῦ πλατύνεσθαι. ἢ συστέλλεσθαι φάσκοι, ἀνάθεμα ἔστω.

VIII. « Εἰ τις πλατυνομένην τὴν οὐσίαν τοῦ Θεοῦ τὸν Υἱὸν λέγοι ποιεῖν, ἢ τὸν πλατυσμὸν τῆς οὐσίας αὐτοῦ Υἱὸν ὀνομάζοι, ἀνάθεμα ἔστω.

VIII. (49) « Εἴ τις ἐνδιάθετον ἢ προφορικὸν λόγον λέγει τὸν Υἱὸν τοῦ Θεοῦ ἀνάθεμα ἔστω.

IX. « Εἴ τις ἄνθρωπον μόνον λέγει τὸν ἐκ Μαρίας Υἱὸν, ἀνάθεμα ἔστω.

X. « Εἴ τις Θεὸν καὶ ἄνθρωπον τὸν ἐκ Μαρίας λέγων, Θεὸν τὸν ἀγέννητον οὕτω νοεῖ (50), ἀνάθεμα ἔστω.

XI. « Εἴ τις τὸ, « Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεὸς, » ἐπ' ἀναιρέσει εἰδώλων καὶ τῶν μὴ ὄντων θεῶν εἰρημένον, ἐπ' ἀναιρέσει τοῦ Μονογενοῦς πρὸ αἰώνων Θεοῦ Ἰουδαϊκῶς ἐκλαμβάνοι, ἀνάθεμα ἔστω. B

XII. « Εἴ τις τὸ, « Ὁ Λόγος σὰρξ ἐγένετο, » ἀκούων, τὸν Λόγον εἰς σάρκα μεταβεβλῆσθαι νομίζοι, ἢ τροπὴν ὑπομεμενηκότα ἀνειληφέναι τὴν σάρκα λέγοι (51), ἀνάθεμα ἔστω.

XIII. « Εἴ τις, τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ἐσταυρωμένων ἀκούων, τὴν θεότητα αὐτοῦ (52) φθορὰν, ἢ πάθος, ἢ τροπὴν, ἢ μείωσιν, ἢ ἀναίρεσιν ὑπομεμενηκέναι λέγοι, ἀνάθεμα ἔστω.

XIV. « Εἴ τις τὸ, « Ποιήσωμεν ἄνθρωπον, » μὴ τὸν Πατέρα πρὸς τὸν Υἱὸν λέγειν, ἀλλ' αὐτὸν πρὸς ἑαυτὸν λέγοι τὸν Θεὸν εἰρηκέναι, ἀνάθεμα ἔστω.

XV. (53) » Εἴ τις μὴ τὸν Υἱὸν λέγοι τὸν Ἀβραὰμ ἑωρᾶσθαι, ἀλλὰ τὸν ἀγέννητον Θεὸν, ἢ μέρος αὐτοῦ, ἀνάθεμα ἔστω. C

XVI. « Αἴ τις τῷ Ἰακὼβ μὴ τὸν Υἱὸν ὡς ἄνθρωπον πεπαλαικέναι, ἀλλὰ τὸν ἀγέννητον **Θεὸν**, ἢ μέρος αὐτοῦ λέγοι, **ἀνάθεμα ἔστω.**

XVII. « Εἴ τις τὸ, « Ἔβρεξε Κύριος πῦρ παρὰ Κυ« ρίου, » μὴ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκλαμβάνοι, ἀλλ' αὐτὸν παρ' ἑαυτοῦ λέγει Βεβρεχέναι, ἀνάθεμα ἔστω· ἔβρεξε γὰρ Κύριος ὁ Υἱὸς παρὰ Κυρίου τοῦ Πατρός.

XVIII. « Εἴ τις, ἀκοάων Κύριον τὸν Πατέρα, καὶ τὸν Υἱὸν Κύριον, καὶ Κύριον τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἐπεὶ Κύριος ἐκ Κυρίου (54), δύο λέγει Θεοὺς, ἀνάθεμα ἔστω. Οὐ γὰρ συντάσσομεν Υἱὸν τῷ Πατρὶ, ἀλλ' ὑποτεταγμένον τῷ Πατρί. Οὔτε γὰρ κατῆλθεν ἐπὶ Σόδομα (55) ἄνευ βουλῆς τοῦ Πατρὸς, οὔτε ἔβρεξεν ἀφ' ἑαυτοῦ, ἀλλὰ παρὰ Κυρίου, αὐθεντοῦντος δηλαδὴ D

riam Filium esse dicit, et non ante sæcula ex Patre genitum apud Deum esse,ac per eum non omnia fuisse facta, anathema sit.

VI. « Si quis Dei substantiam dilatari, aut contrahi dixerit, anathema sit.

VII. « Si quis dilatatam Dei substantiam Filium facere dixerit, aut dilatationem substantiæ ejus Filium nominet, anathema esto.

VIII. « Si quis internum aut prolatitium, esse Dei Filium dixerit, anathema sit.

IX. « Si quis Filium ex Maria natum, hominem tantum esse dicat, anathema sit.

X. « Si quis Deum et hominem ex Maria natum, Deum ingenitum ipsum intelligat, anathema sit.

XI. « Si quis illud, « Ego Deus primus, et ego postea et præter me non dest Deus [14],»quod ad idolorum, falsorumque deorum subversionem dictum est, subversionem Unigeniti, ante sæcula Dei, Judaico more accipiat, anathema sit.

XII. « Si quis illud, « Verbum caro factum « est [15], » audiens Verbum in carnem mutatum esse existimet, aut mutationem quamdam, in assumendo carnem, passum esse dicat, anathema sit.

XIII. « Si quis unigenitum Filium Dei crucifixum audiens, divinitatem ejus corruptionem, passionem, mutationem, diminutionem aut destructionem subiisse dicat, anathema sit.

XIV. « Si quis illud, « Faciamus hominem [16], » non Patrem Filio, sed sibi ipsi Deum dixisse affirmaverit, anathema sit.

XV. « Si quis dixerit Abraham non vidisse Filium, sed ingenitum Deum aut partem ejus, anathema sit.

XVI. « Si quis cum Jacobo non Filium ut hominem colluctatum esse dicat, sed ingenitum Deum, aut partem ejus, anathema sit.

XVII. « Si quis, illud, « Pluit Dominus a Domino [17], » non de Patre ac Filio accipiat, sed ipsum a seipso pluisse dicat, anathema sit : pluit enim Filius Dominus, a Domino Patre.

XVIII. « Si quis audiens Dominum Patrem et Dominum Filium, aut Dominum Patrem et Filium, **594** quod Dominus ex Domino sit,duos dicat Deos, anathema esto. Non enim Filium exæquamus Patri,sed subditum illi esse intelligimus.Neque enim sine voluntate Patris descendit Sodomam, neque pluit a semetipso, sed a Domino, id est per aucto-

[14] Isa. XLIV, 6. [15] Joan. I, 14. [16] Gen. I, 26. [17] Gen. XIX, 24.

(49) Ita Regius. Totus hic anathematismus in editis deest. Socrat. vero et Niceph., προφορικὸν Λόγον λέγοι τὸν Υἱόν, et ita legit Hilarius, quam lectionem sequi visum est. In Regio Λόγον deest.

(50) Socrat. et Niceph., αὐτόν. Sed Hilarius cum Athanasio legit. Sequens anathematismus apud Hilarium et XXIII.

(51) Λέγοι deest in Socrat.et Niceph., sed lectum fuit ab Hilario.

(52) Socrat. non habet τὴν θεότητα αὐτοῦ. Niceph., κατὰ τὴν θεότητα.

(53) Totus hic anathematismus deest apud Niceph.

(54) Socrat. et Niceph., καὶ Κύριον τὸν Πατέρα καὶ τὸν Υἱὸν εἴποι, καὶ Κύριος ἐκ Κυρίου λέγων, δύο λέγοι Θεούς.

(55) Socrat. et Nicephor. minus recte οὔτε γὰρ κατῆλθεν εἰς σῶμα, nobiscum legit Hilarius : *Neque enim descendit in Sodomam.*

ritatem Patris; neque sedet ad dexteram Patris a semetipso, sed audit Patrem dicentem : « Sede a « dextris meis [18]. »

XIX. « Si quis Patrem et Filium et Spiritum sanctum, unam personam dicat, anathema sit.

XX. « Si quis Spiritum sanctum Paracletum dicens, ingenitum Deum dixerit, anathema sit.

XXI. « Si quis, ut nos docuit Dominus, non alium Paracletum dicat præter Filium, dixit enim: « Et alium Paracletum mittet vobis Pater, quem « ego rogabo [19], » anathema sit.

XXII. « Si quis Spiritum sanctum partem Patris aut Filii dixerit, anathema sit.

XXIII. « Si quis Patrem et Filium et Spiritum sanctum tres Deos dixerit, anathema sit.

XXIV. « Si quis voluntate Dei, ut unam ex rebus factis Filium Dei factum esse dixerit, anathema sit.

XXV. « Si quis Filium non volente Patre genitum esse dicat, anathema sit. Non enim coactus Pater, vel naturali necessitate ductus, cum nollet genuit Filium : sed simul ac voluit, sine tempore, et sine passione ex se genitum illum edidit.

XXVI. Si quis ingenitum et principio carentem dixerit Filium, ita ut duo principio carentia, et duo ingenita dicat, duosque Deos faciat, anathema sit. Caput enim quod est principium omnium Filius est; caput vero quod est principium Christi, Deus est; ita enim ad unum, qui est sine principio omnium principium, omnia per Filium pie referimus.

XXVII. « Et iterum Christianismi sententiam accurate exponentes dicimus: Si quis negaverit Christum Deum, Filium Dei esse ante sæcula, et Patri ad universorum creationem ministrasse; sed ex quo tempore ex Maria genitus est, Christum ac Filium appellatum fuisse, et tunc incepisse Deum esse, anathema sit. »

28. His omnibus rejectis, quasi præstantiora excogitassent, fidei doctrinam formulamque statuunt, et hæc Sirmii Latine scribunt, quæ Græce translata sunt :

« Cum nonnulla putaretur esse de fide disceptata-

[18] Psal. CIX, 1. [19] Joan. XIV, 16.

τοῦ Πατρός· οὔτε κάθηται ἐκ δεξιῶν ἀφ' ἑαυτοῦ, ἀλλ' ἀκούει λέγοντος τοῦ Πατρός· « Κάθου ἐκ « δεξιῶν μου (56). »

XIX. « Εἴ τις τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα ἕν πρόσωπον λέγει (57), ἀνάθεμα ἔστω.

XX. « Εἴ τις, τὸ Πνεῦμα τὸ ἅγιον Παράκλητον λέγων, τὸν ἀγέννητον λέγοι Θεὸν (58)· ἀνάθεμα ἔστω.

XXI. « Εἴ τις, ὡς ἐδίδαξεν ἡμᾶς ὁ Κύριος, μὴ ἄλλον λέγοι τὸν Παράκλητον παρὰ τὸν Υἱόν· εἴρηκε γάρ· « Καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν ὁ Πατήρ, ὃν « ἐρωτήσω ἐγώ, » ἀνάθεμα ἔστω.

XXII. « Εἴ τις τὸ Πνεῦμα τὸ ἅγιον μέρος λέγοι τοῦ Πατρὸς, ἢ τοῦ Υἱοῦ, ἀνάθεμα ἔστω.

XXIII. « Εἴ τις τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα τρεῖς λέγοι (59) Θεοὺς, ἀνάθεμα ἔστω.

XXIV. « Εἴ τις βουλήσει τοῦ Θεοῦ ὡς ἓν τῶν ποιημάτων γεγονέναι λέγοι τὸν Υἱὸν τοῦ Θεοῦ, ἀνάθεμα ἔστω.

XXV. « Εἴ τις μὴ θελήσαντος τοῦ Πατρὸς γεγεννῆσθαι (60) λέγοι τὸν Υἱόν, ἀνάθεμα ἔστω. Οὐ γὰρ βιασθεὶς ὁ Πατὴρ ὑπὸ ἀνάγκης φυσικῆς ἀχθεὶς, ὡς οὐκ ἤθελεν (61), ἐγέννησε τὸν Υἱὸν, ἀλλ' ἅμα τε ἠβουλήθη, καὶ ἀχρόνως καὶ ἀπαθῶς ἐξ ἑαυτοῦ αὐτὸν γεννήσας ἐπέδειξεν (62).

XXVI. « Εἴ τις ἀγέννητον καὶ ἄναρχον λέγοι τὸν Υἱὸν, ὡς δύο ἄναρχα καὶ δύο ἀγέννητα λέγων, καὶ δύο ποιῶν Θεοὺς, ἀνάθεμα ἔστω. Κεφαλὴ γὰρ, ὅ ἐστιν ἀρχὴ πάντων, ὁ Υἱός· κεφαλὴ δὲ, ὁ ἐστιν ἀρχὴ τοῦ Χριστοῦ ὁ Θεός (63)· οὕτω γὰρ εἰς μίαν ἄναρχον τῶν ὅλων ἀρχὴν δι' Υἱοῦ εὐσεβῶς τὰ πάντα ἀνάγομεν.

XXVII. « Καὶ πάλιν συνδιακριβοῦντες (63) τοῦ Χριστιανισμοῦ τὴν ἔννοιαν λέγομεν, ὅτι, Εἴ τις Χριτὸν Θεὸν Υἱὸν τοῦ Θεοῦ προαιώνιον ὄντα, καὶ ὑπουργηκότα τῷ Πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ λέγοι· ἀλλ' ἐξ οὗ ἐκ Μαρίας ἐγεννήθη, ἐκ τότε καὶ Χριστὸν καὶ Υἱὸν κεκλῆσθαι, καὶ ἀρχὴν εἰληφέναι τοῦ Θεὸν εἶναι, ἀνάθεμα ἔστω (65). »

28. Ταῦτα πάντα παρωσάμενοι· καὶ ὥσπερ βελτίονα ἐπινοήσαντες, δογματίζουσιν ἄλλην πίστιν, καὶ γράφουσι ταῦτα ἐν Σιρμίῳ Ῥωμαϊστὶ μὲν, ἑρμηνευθέντα δὲ Ἑλληνιστί.

(66) « Ἐπειδὴ περὶ πίστεως ἔδοξέ τινα διάσκεψιν

(56) In editis Athanasii et in mss. male hic legebatur ἀνάθεμα ἔστω, quod cum desit in Niceph. et Hilario expunctum est.

(57) Socrat. et Niceph., λέγοι.

(58 Regius λέγει solus. Infra ὁ Κύριος deest apud Socratem, cujus loco apud Niceph. legitur ἡ Γραφή.

(59) Regius solus λέγει. Mox Socrat. et Niceph., ὡς ἓν τῶν κτισμάτων.

(60) Ita Reg. Socrat. et Niceph. Editi vero, γεγενῆσθαι. Mox Socrat., φυσικῆς αὐθις. Niceph. totum hunc locum invertit.

(61) Reg. Socrat. et Niceph., ὡς οὐκ ἤθελεν. Editi, ὡς οὐκ ἠθέλησεν.

(62) Socrat., ἀπέδειξεν. Post hanc vocem editi et codices Athanasii, itemque editi Socr. addunt, ἀνάθεμα ἔστω. Sed hæc cum absint a Niceph. et Hilar. maleque posita sint, expunximus.

(63) Socrat. et Niceph., Κεφαλὴ γάρ ἐστι καὶ ἀρχὴ πάντων ὁ Υἱός. Niceph., Ὁ Θεός. κεφαλὴ δέ ἐστι τοῦ Χριστοῦ ὁ Θεός.

(64) Socrat. et Niceph., οὖν διακριβοῦντες. Paulo post Socrat et Niceph., ὅτι εἴ τις Χριστὸν Ἰησοῦν Υἱοῦ τοῦ Θεοῦ πρὸ αἰώνων ὄντα.

(65) Socrat. et Niceph. post ἀνάθεμα ἔστω addunt ὡς ὁ Σαμοσατεύς.

(66) Septima fidei confessio anno 357. Hæc fidei formula Latine primum scripta fuit, ut habetur apud

γενέσθαι, πάντα ἀσφαλῶς ἐζητήθη καὶ διηρευνήθη ἐν τῷ Σιρμίῳ ἐπὶ παρουσίᾳ Οὐάλεντος, καὶ Οὐρσακίου, καὶ Γερμινίου, καὶ τῶν λοιπῶν. Συνέστηκεν ἕνα Θεὸν εἶναι Πατέρα παντοκράτορα (67), καθὼς καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ καταγγέλλεται· καὶ ἕνα μονογενῆ Υἱὸν αὐτοῦ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων γεννηθέντα. Δύο Θεοὺς (68) μὴ χρῆναι λέγειν· ἐπειδὴ αὐτὸς ὁ Κύριος εἰρηκε· « Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, « καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. » Διὰ τοῦτο καὶ πάντων Θεός ἐστι, καθὼς καὶ ὁ Ἀπόστολος ἐδίδαξεν· « Ἢ « Ἰουδαίων μόνων ὁ Θεὸς, οὐχὶ καὶ ἐθνῶν ; Ναὶ καὶ « ἐθνῶν· ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν « ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ πίστεως (69)· » καὶ τὰ μὲν λοιπὰ πάντα συμφωνεῖ, καὶ οὐδεμίαν ἔχει ἀμφιβολίαν. Ἐπειδὴ δὲ πολλούς τινας κινεῖ περὶ τῆς λεγομένης Ῥωμαϊστὶ μὲν σουβσταντίας (70), Ἑλληνιστὶ δὲ λεγομένης οὐσίας, τουτέστιν, ἵνα ἀκριβέστερον γνωσθῇ, τὸ ὁμοούσιον, ἢ τὸ λεγόμενον ὁμοιοούσιον (71)· οὐ χρή τινα τούτων παντελῶς μνήμην γίνεσθαι, οὐδὲ περὶ τούτων ἐξηγεῖσθαι ἐν τῇ Ἐκκλησίᾳ διὰ ταύτην τὴν αἰτίαν, καὶ διὰ τοῦτον τὸν λογισμὸν, ὅτι ἐν ταῖς θείαις Γραφαῖς οὐ γέγραπται περὶ τούτων· καὶ ὅτι ταῦτα ὑπὲρ τὴν ἀνθρώπων γνῶσιν καὶ τὸν ἀνθρώπων νοῦν ἐστι· καὶ ὅτι οὐδεὶς δύναται τὴν γενεὰν τοῦ Υἱοῦ διηγήσασθαι, καθὼς γέγραπται· « Τὴν γενεὰν (72) αὐτοῦ τίς διηγήσεται ; » Μόνον γὰρ εἰδέναι τὸν Πατέρα φανερόν ἐστι, πῶς τὸν Υἱὸν ἐγέννησε, καὶ πάλιν τὸν Υἱὸν, πῶς αὐτὸς γεγέννηται παρὰ τοῦ Πατρός (73). Οὐδενὶ δὲ ἀμφιβολόν ἐστι, μείζονα εἶναι τὸν Πατέρα· οὐδὲ γὰρ διστάσειεν ἄν τις τὸν Πατέρα (74), τιμῇ, καὶ ἀξίᾳ, καὶ θεότητι, καὶ αὐτῷ τῷ ὀνόματι τῷ πατρικῷ μείζονα εἶναι, διαμαρτυρουμένου αὐτοῦ τοῦ Υἱοῦ· « Ὁ ἐμὲ « πέμψας Πατὴρ μείζων μού ἐστι. » Καὶ τοῦτο δὲ καθολικὸν εἶναι οὐδεὶς ἀγνοεῖ, δύο πρόσωπα εἶναι, Πατρὸς καὶ Υἱοῦ· καὶ τὸν μὲν Πατέρα μείζονα, τὸν δὲ Υἱὸν ὑποτεταγμένον τῷ Πατρὶ (75) μετὰ πάντων, ὧν αὐτῷ ὁ Πατὴρ ὑπέταξε. Τὸν δὲ Πατέρα ἀρχὴν μὴ ἔχειν, καὶ ἀόρατον εἶναι, καὶ ἀθάνατον εἶναι (76), καὶ ἀπαθῆ εἶναι· τὸν δὲ Υἱὸν γεγεννῆσθαι ἐκ τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός. Καὶ τούτου τὴν γένεσιν, καθὼς προείρηται, μηδένα γινώσκειν, εἰ μὴ μόνον τὸν Πατέρα. Αὐτὸν δὲ τὸν Υἱὸν καὶ Κύριον καὶ Θεὸν ἡμῶν σάρκα ἤτοι σῶμα, τουτέστιν ἄνθρωπον,

A tio, diligenter omnia apud Sirmium tractata sunt et discussa, præsentibus Valente, Ursacio, Germinio et cæteris. Unum constat Deum esse et Patrem omipotentem, ut sic per universum orbem creditur. Et unicum Filium ejus Jesum Christum Dominum Salvatorem nostrum, ex ipso ante sæcula genitum. Duos autem Deos nec posse nec debere prædicari, quia ipse Dominus dixit : « Ibo ad « Patrem meum et ad Patrem vestrum, ad Deum « meum et ad Deum vestrum[20].» Ideo omnium Deus unus est, sicut Apostolus docuit : « An Judæorum « Deus tantum ? nonne et gentium ? Imo et gen- « tium. Quoniam quidem unus est Deus, qui justifi- « cat circumcisionem ex fide, et præputium per fi- « dem [21] ; » sed et cætera convenerunt nec ullam habere potuerunt discrepantiam. Quod vero quosdam B aut multos movebat, **595** de substantia, quæ Græce *usia* appellatur, id est (ut expressius intelligatur) homousion, aut quod dicitur homœusion : nullam omnino fieri oportere mentionem nec quemquam prædicare, ea de causa et ratione, quod nec in divinis Scripturis contineatur ; et quod super hominis scientiam sit, nec quisquam possit nativitatem Filii enarrare, de quo scriptum est : « Ge- « nerationem ejus quis enarrabit [22] ? » Scire autem manifestum est solum Patrem quomodo genuerit Filium suum ; et Filium quomodo genitus sit a Patre. Nulla ambiguitas est majorem esse Patrem. Nulli potest dubium esse Patrem, honore, dignitate, claritate, majestate et ipso nomine Patris majorem esse, Filio ipso testante : « Qui me misit Pater, major C « me est [23]. » Et hoc catholicum esse, nemo ignorat, duas personas esse Patris et Filii. Majorem Patrem, Filium subjectum, cum omnibus his quæ ipsi Pater subjecit. Patrem initium non habere, invisibilem esse immortalem esse, impassibilem esse : Filium autem natum esse ex Patre, Deum ex Deo, lumen ex lumine. Cujus Filii generationem, ut ante dictum est, neminem scire, nisi Patrem suum. Ipsum autem Filium Dei, Dominum et Deum nostrum, sicuti legitur, carnem vel corpus, id est hominem suscepisse ex utero Virginis Mariæ, sicut angelus prædicavit. Ut autem Scripturæ omnes docent, et præcipue ipse magister gentium Apostolus, hominem suscepisse de Maria Virgine, per quem compassus

[20] Joan. xx, 17. [21] Rom. iii, 29, 30. [22] Isa. liii, 8. [23] Joan. xiv, 28.

Hilarium *De synodis*, col. 1156, unde illam transcripsimus. Legitur ea item apud Socratem lib. ii, c. 30, et apud Niceph. lib. ix, c, 31.

Titulus apud Hilarium : *Exemplum blasphemiæ apud Sirmium per Osium et Potamium conscriptæ.* At non putatur Osius illam conscripsisse, sed cum eidem subscripsisset, fraude fortasse Arianorum obtinuit, ut ea Osii confessio vocaretur. Vide quæ ea de re dicuntur in Hilariana postrema editione, et in vita Athanasii nostra ad annum 357.

(67) Sic Reg. Socrat. et Niceph. In editis Πατέρα deest. Infra Socrat. et Niceph., Ἰησοῦν Χριστὸν τὸν Κύριον καὶ Θεὸν καὶ Σωτῆρα ἡμῶν.

(68) Socrat. et Niceph., δύο δὲ Θεούς.

(69) Hæc καὶ ἀκροουστίαν διὰ πίστεως desunt in D Socrat. et Niceph.

(70) Socrat., σουβστανίας. Niceph., σουνσταντίας.

(71) Sic Regius. Editi vero, ὁμοιούσιον.

(72) Ita Reg. et Nic. Editi vero cum Socrat., Τὴν δὲ γενεάν.

(73) Socrat. et Niceph., Ἀπὸ τοῦ Πατρός.

(74) Hæc Οὐδὲ γὰρ διστάσειεν ἄν τις τὸν Πατέρα, absunt a Socrat. et Niceph. Mox Regius, Θειότητι· Paulo post Regius secunda manu, διαμαρτυρόμενον.

(75) Τῷ Πατρὶ deest in Socrat. et Niceph.

(76) Sic Regius, Socrat. et Niceph. εἶναι deest in editis hic tantum. Mox edit. Paris., γεγεννῆσθαι. mendose. Alii omnes, γεγεννῆσθαι.

est, illa autem clausula est totius fidei, et illa confirmatio quod Trinitas semper servanda est, sicut legimus in Evangelio : « Ite et baptizate omnes gentes in «nomine Patris et Filii et Spiritus sancti[84].» Integer, perfectus numerus Trinitatis est, Paracletus autem Spiritus per Filium est ; qui missus venit juxta promissum, ut apostolos et omnes credentes instrueret, doceret, sanctificaret. »

A εἰληφέναι (77) ἀπὸ Μαρίας τῆς Παρθένου, καθάπερ καὶ ὁ ἄγγελος προευηγγελίσατο· καθὼς δὲ πᾶσαι αἱ Γραφαὶ διδάσκουσι, καὶ μάλιστα αὐτὸς ὁ Ἀπόστολος ὁ διδάσκαλος (78) τῶν ἐθνῶν, ἄνθρωπον ἀνέλαβεν ὁ Χριστὸς ἀπὸ Μαρίας τῆς Παρθένου, δι' οὗ πέπονθε. Τὸ δὲ κεφάλαιον πάσης τῆς πίστεως, καὶ ἡ βεβαιότης ἐστὶν, ἵνα Τριὰς ἀεὶ φυλάττηται, καθὼς ἀνέγνωμεν (79) ἐν τῷ Εὐαγγελίῳ· « Πορευθέντες, βαπτίζετε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Ἀκέραιος δὲ καὶ τέλειός ἐστιν ὁ ἀριθμὸς τῆς Τριάδος (80). Ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, δι' Υἱοῦ ἀποσταλὲν, ἦλθε κατὰ τὴν ἐπαγγελίαν, ἵνα τοὺς ἀποστόλους καὶ πάντας τοὺς πιστεύοντας ἀναδιδάξῃ καὶ ἁγιάσῃ (81). »

29. Hæc cum scripsissent, consilio iterum mutato, eam edidere fidei formulam, quam se cum consulatu edidisse postea erubere. De more autem, quasi hanc item improbarent, curarunt ut per Martinianum notarium exempla ab iis qui haberent auferrentur. Et cum Constantio imperatori auctores B fuissent ut adversus eam edictum promulgaret, aliam rursus tradidere; additisque, uti solent, quibusdam verbis, hæc in Isauria conscripserunt :

596 « Non subterfugimus authenticam fidem in Encæniis Antiochiæ expositam in medium proferre, etsi Patres nostri tunc temporis ad propositam quæstionem concurrerint. At, cum hæ voces ὁμοούσιον, et ὁμοιοούσιον præteritis temporibus atque etiam nunc multos conturbarint : imo a quibusdam ἀνόμοιον (sive dissimilem Patri Filium) jam innovari dicatur, ὁμοούσιον, et ὁμοιοούσιον, utpote voces a Scripturis alienas rejicimus : ἀνόμοιον au-

29. Ταῦτα γράψαντες καὶ μεταγνόντες, συνέθηκαν μὲν ἐκείνην, ἣν μετὰ τῆς ὑπατείας ἐπιδείξαντες ἠρυθρίασαν (82). Συνήθως δὲ, ὥσπερ καταγνόντες καὶ ταύτης, ἐποίησαν μὲν αὐτὴν ἁρπασθῆναι ἀπὸ τῶν ἐχόντων ἀντίγραφα διὰ Μαρτινιανοῦ (83) νοταρίου. Καὶ ποιήσαντες τὸν βασιλέα Κωνστάντιον κατ' αὐτῆς προθεῖναι διάταγμα, δογματίζουσι πάλιν ἄλλην, καὶ προσθέντες, ὡς εἰώθασι, λέξεις τινὰς, γράφουσι ταῦτα ἐν τῇ Ἰσαυρίᾳ·

(84) « Οὐ φεύγομεν τὴν ἐκτεθεῖσαν αὐθεντικὴν πίστιν ἐν τοῖς Ἐγκαινίοις τοῖς κατὰ Ἀντιόχειαν, προκομίζοντες αὐτὴν· εἰ καὶ τὰ μάλιστα οἱ πατέρες ἡμῶν κατ' ἐκεῖνο καιροῦ πρὸς τὸ ὑποκείμενον τῆς ζητήσεως συνέδραμον. Ἐπειδὴ δὲ πολλοὺς (85) ἐθορύβησε τὸ ὁμοούσιον καὶ τὸ ὁμοιοούσιον ἐν τοῖς παρελθυθόσι χρόνοις καὶ μέχρι νῦν· ἀλλὰ καὶ ἀρτίως (86) λέγεται καινοτομεῖσθαι ὑπό τινων τὸ ἀνόμοιον Υἱοῦ πρὸς Πατέρα τούτου χάριν τὸ μὲν ὁμοούσιον καὶ τὸ ὁμοιοού-

[84] Matth. xxviii, 19.

(77) Sic Regius, Socrat. et Nic. Editi vero, ἀνειλῆφναι. Mox hæc, ἀπὸ Μαρίας τῆς Παρθένου desunt in Socrat. et Nic. Paulo post Socrat. et Nic.. εὐηγγέλισάτο. Ibid. Nic., καθὰ δὲ καὶ.

(78) Ita Regius, Socrat et Niceph. In editis, ὁ διδάσκαλος deest.

(79) Sic Regius, Socrat. et Nic. Editi vero, ἀνάγνωμεν male. Ibid. Socrat et Niceph., Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, etc.

(80) Sic Regius, Socrat. et Niceph., et ita legit Hilar. In edit., τῆς ἁγίας Τριάδος.

(81) Socrat., ἁγιάσῃ καὶ ἐναδείξῃ. Quæ mox sequebantur in editis, Ταῦτα οἱ περὶ Εὐσέβιον, a Parisiensibus editoribus addita, expunximus : quippe cum uullis in codicibus legantur. Latina vero, *Hæc Eusebiani*, non sunt Nannianæ versionis, sed a Commelinianis adjecta Græce a Parisiensibus versa sunt, quod actum sæpe fuit in superioribus.

(82) Octava fidei formula, edita anno 359 quæ habetur supra num. 8.

(83) Ita Regius quem sequimur. Editi vero, Μαρτιανοῦ. Infra Regius, διάταγμα. Editi, διατάγματα.

Quod autem ait hic Athanasius, exempla confessionis tertiæ Sirmiensis, cui ascripti consules erant, a Martiniano ablata fuisse, ad secundum Sirmiensem superius editam num. 28 nequicquam, Socratis testimonio nixi, referre conati sunt eruditi viri, qui hoc loco lapsum Athanasium immerito arbitrantur.

Nam quod objiciunt vix potuisse Formulam in synodo 400 episcoporum Arimini lectam obliterari, infirmum plane censebitur, si advertatur, eam præ manibus fuisse Ursacii solum et sociorum ejus, qui ea perlecta, ubi adverterunt Patres indigne ferre præpositum consulatum esse fidei professioni, in C promptu sane fuit illis eam occultare, corrareque ut nemini traderetur ejus exemplum. Qui tamen quantalibet sua sollicitudine assequi non potuere ut ne ea in manus veniret Athanasii, qui semper secretiora eorum acta ignotis nactus est modis. Nec plus valet quod aiunt, tertiam Sirmiensem Formulam, nedum sublata de medio fuerit, laudatam in synodi Seleucianæ professione, atque paucis immutatis, ablatoque titulo, Nice in Thracia propositam denuo fuisse, cui episcopi Occidentales fere omnes subscripsere. Ob solum namque titulum et appositum consulatum, ut ait Athanasius, non doctrinæ causa eam obliterare curarunt Ariani. Quare nil mirum, si suppresso titulo, eam postea memorarint, atque nonnullis mutatis iterum proposuerint. Contra vero credi vix potest secundæ Sirmiensis Formulæ exempla omnia de medio tolli potuisse, quæ ubi primum edita fuit, in Galliam missa, ac sancti Phœbadii scriptis exagitata est : quæ item in Africam, aliasque regiones transmeavit? Qui, quæso, Martinianus notarius, ubique terrarum fere dispersa exemplaria colligere atque auferre potuit? Hinc videas quam periculosum sit Athanasium arguere in iis maxime quæ suo tempore suaque causa gesta sunt.

(84) Nova formula scripta anno 359, Octobris 29, habetur apud Epiphanium hæresi LXXIII, cap. 25; Socrat. lib. I, c. 40; Niceph. lib. IX, c. 43. Ubi multa præmittuntur, quæ videsis. Mox ἐκτεθεῖσαν deest in Epiphanio similiter vox αὐτὴν proxime sequens. Idem, οἱ καὶ αὐτοὶ μάλιστα.

(85) Epiphanius, Ἐπειδὴ πολλούς. Socrat. et Nic., Ἐπεὶ δὲ πολλούς. Mox Reg. Epiph. Socrat. et Nic., ὁμοιοούσιον. Editi perperam ὁμοιούσιον de more et sic iterum infra. Ibid. Epiphan. et Socrat., ἐν τοῖς παρελθοῦσι. Niceph., ἐν τοῖς παροῦσι.

(86) Epiph.. ἕως ἄρτι. Niceph. ἄρτι solum.

σιον (87) ἐκβάλλομεν, ὡς ἀλλότριον τῶν Γραφῶν· τὸ δὲ ἀνόμοιον ἀναθεματίζομεν, καὶ πάντας, ὅσοι τοιοῦτοι τυγχάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς Ἐκκλησίας. Τὸ δὲ ὅμοιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα σαφῶς ὁμολογοῦμεν κατὰ τὸν Ἀπόστολον, τὸν λέγοντα περὶ τοῦ Υἱοῦ· « Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. » Ὁμολογοῦμεν δὲ καὶ πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα (88) παντοκράτορα, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν πάντων καὶ ἀοράτων. Πιστεύομεν δὲ καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν αὐτοῦ (89), τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀπαθῶς πρὸ πάντων τῶν αἰώνων, Θεὸν Λόγον, Θεὸν ἐκ Θεοῦ (90) Μονογενῆ, φῶς, ζωὴν, ἀλήθειαν, σοφίαν, δύναμιν, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴτε ἀόρατα. Τοῦτον πιστεύομεν ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῆς ἁμαρτίας σάρκα ἀνειληφέναι (91) ἐκ τῆς ἁγίας Παρθένου καὶ ἐνανθρωπήσαντα· παθόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναστάντα, καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καθέζεσθαι ἐν δεξιᾷ τοῦ Πατρός· πάλιν (92) ἐρχόμενον ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὃ καὶ Παράκλητον ὠνόμασεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ἐπαγγειλάμενος μετὰ τὸ ἀπελθεῖν (93) αὐτὸν πέμψαι τοῖς μαθηταῖς τοῦτο, ὃ καὶ ἀπέστειλε· δι' οὗ καὶ ἁγιάζει τοὺς ἐν τῇ Ἐκκλησίᾳ πιστεύοντας, καὶ βαπτιζομένους ἐν ὀνόματι Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Τοὺς δὲ (94) παρὰ ταύτην τὴν πίστιν ἄλλο τι κηρύττοντας ἀλλοτρίους οἶδεν ἡ καθολικὴ Ἐκκλησία. Ὅτι δὲ ταύτῃ τῇ πίστει ἰσοδυναμεῖ καὶ ἡ ἐκ Σιρμίου πρώην ἐκτεθεῖσα πίστις ἐπὶ τῆς εὐσεβείας τοῦ βασιλέως ἡμῶν, γνωρίζουσιν οἱ ἐντυγχάνοντες (95). »

30. Ταῦτα γράψαντες ἐν τῇ Ἰσαυρίᾳ, ἀνελθόντες εἰς τὴν Κωνσταντινούπολιν, ὥσπερ μεταγνόντες, ἤλλαξαν συνήθως ταῦτα, καὶ προσθέντες λεξείδιά τινα· ὥστε μηδὲ ὑπόστασιν λέγειν ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, διεπέμψαντο αὐτὰ τοῖς ἐν Ἀριμήνῳ, καὶ ἠνάγκαζον καὶ τοὺς ἐν τοῖς μέρεσι τούτοις ὑπογράφειν· τοὺς δὲ ἀντιλέγοντας αὐτοῖς ἐποίουν ἐξορίζεσθαι παρὰ Κωνσταντίου. Ἔστιν οὖν ταῦτα.

(96) « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα· καὶ εἰς τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, τὸν πρὸ πάντων αἰώνων, καὶ πρὸ πάσης ἀρχῆς γεννηθέντα ἐκ τοῦ Θεοῦ· δι' οὗ τὰ πάντα ἐγένετο, τὰ

A tem anathemate damnamus : et omnes quotquot hujus sententiæ fuerint, ab Ecclesia alienos sentimus. Similem vero Patris Filium plane confitemur, juxta Apostolum qui de Filio dicit : « Qui « est imago Dei invisibilis [25] » Confitemur autem et credimus in unum Deum Patrem omnipotentem, factorem cœli et terræ, visibilium omnium et invisibilium. Credimus item in Dominum nostrum Jesum Christum, Filium ejus, sine passione ab eo genitum ante omnia sæcula, Deum Verbum, Deum ex Deo Unigenitum, lumen, vitam, veritatem, sapientiam, potentiam; per quem omnia facta sunt, quæ in cœlis et quæ in terra, sive visibilia, sive invisibilia. Hunc credimus in consummatione sæculorum, ad abolendum peccatum carnem suscepisse ex sancta Virgine, et hominem factum esse : B passum esse pro peccatis nostris, resurrexisse, assumptum fuisse in cœlos, ac sedere ad dextram Patris : et iterum venturum esse in gloria judicare vivos et mortuos. Credimus et in Spiritum sanctum quem Paracletum quoque nuncupavit Salvator et Dominus noster; quem se post discessum suum discipulis missurum pollicitus est, et revera misit; per quem cunctos in Ecclesia fideles sanctificat, qui baptizantur in nomine Patris et Filii et Spiritus sancti. Eos porro qui præter hanc fidem aliud prædicant, alienos agnoscit catholica Ecclesia. Quod autem fides Sirmii nuper edita coram pietate imperatoris nostri, huic paria contineat, norunt omnes qui legerint. »

C

30. His in Isauria scriptis, Constantinopolim profecti, quasi se scriptorum pœniteret, ea de more mutaverunt, additis tamen quibusdam voculis; ita ut neque hypostasin in Patre et Filio et Spiritu sancto dicerent; eademque ipsa iis transmisere qui Ariminum convenerant, coactis omnibus harum regionum episcopis ut iis subscriberent. Et si qui repugnabant, eos a Constantio in exsilium pelli curarunt. Sic autem se habent illa :

« Credimus in unum Deum, Patrem omnipotentem, ex quo omnia; et in Unigenitum Filium Dei, ante omnia sæcula, et ante omne principium ex D Deo genitum : per quem omnia facta sunt visibilia

[25] Coloss. I, 15.

(87) Hæc καὶ τὸ ὁμοιοούσιον desunt apud Epiphanium.

(88) Πατέρα deest in editis, sed habetur in Reg. Epiph. Socrat. et Niceph.

(89) Epiph., τὸν Υἱὸν τοῦ Θεοῦ.

(90) Socrat. et Niceph., Θεὸν Λόγον ἐκ Θεοῦ. In iisdem paulo post δύναμιν deest.

(91) Socrat., εἰληφέναι. Mox Epiph. Socrat. et Niceph., Παρθένου Μαρίας.

(92) Sic Reg. Epiph. Editi vero cum Socrat. et Nic., καὶ πάλιν. Paulo post Epiph., Πιστεύομεν δὲ καὶ εἰς ἓν ἅγιον Πνεῦμα.

(93) Epiph., ἀνελθεῖν. Mox τοῦτο deest in editis. Sed habetur in Reg. Epiph. Socrat. et Nic.

(94) Epiph., τοῦτο δέ, mendose. Mox Socrat. et Nic., ἀλλοτρίους εἶναι τῆς καθολικῆς Ἐκκλησίας.

(95) Addit Epiph., τῇ πίστει. Quæ mox sequuntur in edit., Paris., Ταῦθ' οἱ περὶ Εὐσέβιον, addita de more, expunximus, quia in nullo habentur cod. nec in edit. Commel. Quæ sequuntur porro usque ad num. 32 aliquot post datam epistolam annis huc adjecta fuisse diximus in Monito.

(96) Decima formula scripta anno 300. Qui titulus in edit. Paris. legitur, Ἑτέρα τῆς πίστεως ὁμολογία, a Parisiensibus de more additus absque ulla auctoritate, omissus a nobis est. Theodoretus hanc affert lib. II, cap. 21 ; Socrat., lib. II, cap. 51 ; Nic., lib. IX, c. 44.

Theodor., εἰς ἕνα καὶ μόνον ἀληθινὸν Θεόν. Socr. et Nic., εἰς ἕνα μόνον Θεόν.

stantia,et non ex Deo esse : et,fuit aliquando tempus, quo non erat, alienos agnoscit Ecclesia catholica. »

26. Sed, quasi se horum pœniteret, rursum post tres annos concilium suum cogerunt, miseruntque Eudoxium, Martyrium, et Macedonium, in Cilicia episcopum, cum iisque alios quosdam, in Italiam, qui fidei formulam plurimis conscriptam deferrent, multisque additamentis auctiorem quam superiores ; num quasi recentiora quædam excogitassent, hæc secum attulere.

I. « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem omnium, ex quo omnis paternitas in cœlo et in terra nominatur. Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, **590** ante omnia sæcula ex Patre natum : Deum ex Deo, lumen ex lumine, per quem omnia facta sunt, in cœlis et in terra, visibilia et invisibilia ; qui est Verbum, sapientia, potentia, vita et lux vera. Qui in novissimis diebus propter nos homo factus est, et natus est ex sancta Virgine, crucifixus, mortuus et sepultus ; et resurrexit ex mortuis tertia die, et assumptus est in cœlum, sedetque ad dexteram Patris ; qui venturus est in consummatione sæculi judicare vivos et mortuos, et reddere unicuique secundum opera sua ; cujus regnum interminatum permanet in infinita sæcula. Sedet enim ad dexteram Patris non solum in hoc sæculo, verum etiam in futuro. Credimus etiam in Spiritum sanctum, hoc est in Paracletum, quem apostolis pollicitus post suum in cœlos ascensum misit, ut doceret illos et suggereret omnia, per quem etiam sanctificabuntur animæ eorum qui sincere in illum crediderint.

II.« Illos autem qui dicunt Filium ex non extantibus, aut ex alia substantia, non autem ex Deo esse ; aut tempus aliquando vel sæculum fuisse cum non esset, alienos agnoscit catholica Ecclesia. Similiter eos qui dicunt tres Deos esse, aut Christum non esse Deum : aut eum ante sæcula neque Christum esse, neque Filium Dei : aut eumdem esse Patrem atque Filium vel Spiritum san-

A νῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ· καὶ, Ἦν ποτε χρόνος, ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ Ἐκκλησία (98). »

26. Ἐπὶ τούτοις ὥσπερ μεταγνόντες, συλλέγουσι πάλιν τὸ συνέδριον ἑαυτῶν μετὰ ἔτη τρία, καὶ ἀποστέλλουσιν Εὐδόξιον, Μαρτύριον, καὶ Μακεδόνιον τὸν ἀπὸ Κιλικίας, καὶ σὺν αὐτοῖς ἑτέρους τινὰς εἰς τὰ μέρη τῆς Ἰταλίας, ἀποφέροντας πίστιν διὰ πολλῶν γραφεῖσαν, προσθήκας τε ἔχουόαν πλείστας παρὰ τὰς προτέρας· ὡς γὰρ καινότερά τινα ἐπινοήσαντες, ἀπεδήμησαν ἔχοντες ταῦτα.

(99) I. « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα (1), κτίστην καὶ ποιητὴν τῶν πάντων, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν (2) αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα ἐν οὐρανοῖς (3) καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν, καὶ δύναμιν, καὶ ζωὴν, καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτων (4) τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου, σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα (5), καὶ ἀναστάντα ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ Πατρός· καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος (6) κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. Καθέζεται γὰρ ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Πιστεύομεν (7) καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι, τὸν Παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανὸν ἄνοδον, ἀπέστειλε διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα, δι' οὗ καὶ ἁγιασθήσονται (8) αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί.

II. « Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν (9), ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν χρόνος ποτὲ, ἢ αἰὼν, ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ (10) καὶ ἁγία Ἐκκλησία. Ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι Θεοὺς, ἢ τὸν Χριστὸν μὴ εἶναι Θεὸν, ἢ πρὸ τῶν αἰώνων μήτε Χριστὸν μήτε Υἱὸν αὐτὸν εἶναι Θεοῦ, ἢ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν, ἢ ἅγιον Πνεῦμα (11)· ἢ ἀγέννητον Υἱὸν, ἢ ὅτι

(98) Quæ sequebantur hic, τέλος ταύτης τῆς ὁμολογίας, addita a Parisiensibus editoribus, expuncta sunt. Non enim habentur in mss., nec nisi Latine in edit. Commel. Infra, αὐτός post διδάξαι abest a Socrat. et Nicephor.

(99) Quinta fidei formula scripta anno 344 vel 345. Hæc item fidei professio exstat apud Socrat. lib. III, cap. 19, et apud Nicephor. lib. IX, cap. 11.

(1) Titulus Latine primum in edit. Comm. et Grace postea in edit. Parisiens. præfixus sic, ἑτέρα τῆς πίστεως ὁμολογία, in nullis habetur mss. expunctusque a nobis est.

(2) Τῶν deest in Reg., hæc τῶν αἰώνων desunt in Nicephor.

(3) Socrat., ἐν τοῖς οὐρανοῖς. Mox τά deest in Reg.

(4) Socrat., ἐπ' ἐσχάτου.

(5) Ita Reg., Socr. et Niceph. In editis hæc καὶ ταφέντα desunt. Infra τόν ante οὐρανόν deest in Reg. Socr· Niceph. In editis habetur.

(6) Socr. et Nice ph., τῶν αἰώνων. Paulo post Reg. Socr. Niceph.. κατὰ τὰ ἔργα. In editis τά deest. Mox τούς ante ἀπείρους deest in Socr. et Niceph.

(7) Post πιστεύομεν Socr. et Niceph. habent δε. Mox iidem, εἰς τὸν Παράκλητον.

(8) Socr. et Niceph., ἁγιάζονται. et mox iidem, πιστευόντων·

(9) Socr. et Niceph., τὸν Υἱόν, rectius ut videtur, quam editi et mss, qui habent Θεόν.

(10) Socr. et Niceph., ἡ ἁγία καθολική.

(11) Socr. et Niceph., καὶ ἅγιον Πνεῦμα. Infra edit. Paris. Socr. et Niceph., ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία. Edit. vero Comm. et Reg., ἡ ἁγία καθολικὴ Ἐκκλ.

οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησε ὁ Πατὴρ τὸν Υἱὸν, ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία.

III. « Οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν Υἱὸν λέγειν ἀσφαλὲς, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεοπνεύστων Γραφῶν φέρεται (12) περὶ αὐτοῦ, οὔτε μὴν ἐξ ἑτέρας τινὸς ὑποστάσεως παρὰ τὸν Πατέρα προϋποκειμένης· ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διοριζόμεθα (13)· Ἓν γὰρ τὸ ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ Πατέρα ὁ θεῖος διδάσκει λόγος. Ἀλλ' οὐδὲ τὸ, ἦν ποτε, ὅτε οὐκ ἦν, ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας (14), χρονικόν τι διάστημα προενθυμητέον αὐτοῦ, ἀλλ' ἢ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα Θεόν· καὶ χρόνοι γὰρ καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. Οὔτε μὴν συνάναρχον καὶ συναγέννητον τῷ Πατρὶ τὸν Υἱὸν εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου οὐδεὶς κυρίως πατὴρ ἢ υἱὸς λεχθήσεται. Ἀλλὰ τὸν μὲν Πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀγέννητον (15) γεγεννηκέναι ἀνεφίκτως, καὶ πᾶσιν ἀκαταλήπτως οἴδαμεν· τὸν δὲ Υἱὸν γεγεννῆσθαι πρὸ αἰώνων, καὶ μηκέτι ὁμοίως τῷ Πατρὶ ἀγέννητον εἶναι καὶ αὐτὸν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα Πατέρα κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός.

IV. « Οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος κατὰ τὰς Γραφὰς, τρεῖς διὰ τοῦτο τοὺς Θεοὺς ποιοῦμεν· ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον ἄναρχόν τε καὶ ἀόρατον Θεὸν ἕνα μόνον οἴδαμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ (16) τοῖς ἄλλοις πᾶσιν ἀφθόνως τοῦτο χαριζόμενον. Οὔτε μὴν, ἕνα Θεὸν μόνον λέγοντες εἶναι τὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Πατέρα, τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα καὶ τὸν Χριστὸν Θεὸν εἶναι πρὸ αἰώνων (17)· ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως, ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τεθεοποιῆσθαι λέγοντες, τῷ τὴν φύσιν ψιλὸν ἄνθρωπον γεγονέναι. Οἴδαμεν γὰρ καὶ αὐτὸν, εἰ καὶ ὑποτέτακται τῷ Πατρὶ καὶ τῷ Θεῷ (18), ἀλλ' ὅμως πρὸ αἰώνων γεννηθέντα ἐκ τοῦ Θεοῦ, Θεὸν κατὰ φύσιν τέλειον εἶναι καὶ ἀληθῆ, καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα Θεὸν, ἀλλ' ἐκ Θεοῦ ἐνανθρωπῆσαι δι' ἡμᾶς, καὶ μηδέποτε ἀπολωλεκότα τὸ εἶναι (19).

V. « Βδελυσσόμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς Λόγον μὲν μόνον αὐτὸν ψιλὸν τοῦ Θεοῦ καὶ ἀνύπαρκτον ἐπιπλάστως καλοῦντας, ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα (20), νῦν μὲν ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον· Χριστὸν

A clum : aut ingenitum esse Filium : vel Patrem non arbitrio suo aut voluntate genuisse Filium ; anathemate ferit sancta et catholica Ecclesia.

III. « Neque enim tutum est dicere Filium ex non exstantibus esse, cum nusquam divinarum Scripturarum hoc de ipso feratur : vel ex alia prius exsistente substantia quæ Patris non esset ; sed ex solo Deo eum vere genitum esse definimus ; unum enim ingenitum et sine principio Christi Patrem esse divinus sermo docet. Sed neque eos qui citra Scripturæ auctoritatem temere dicunt : Erat tempus cum non esset, aliquod temporis spatium antecedens cogitare oportet ; sed solum Deum qui sine tempore illum genuit. Tempora enim et sæcula per illum facta sunt. Neque item existimandum est B Filium una cum Patre non genitum et principio expertem ; quippe simul non geniti et principio carentis, nemo proprie pater aut filius dici poterit. Sed Patrem qui solus principio carens et ingenitus est, modo ineffabili et omnibus incomprehensibili genuisse novimus Filium autem ante sæcula genitum fuisse, nec proinde velut Patrem ipsum quoque ingenitum esse ; sed principium habere, Patrem nempe qui se genuit : caput enim Christi Deus [11].

IV. « Nec tamen quia tres res et tres personas Patris, et Filii, et Spiritus sancti secundum Scripturas confitemur, ideo tres deos facimus. Unum enim solum ex seipso perfectum, ingenitum, principio carentem, et invisibilem Deum novimus, Deum et Patrem Unigeniti, qui solus ex seipso C habet esse, solus copiose illud aliis largitur. Porro tametsi unum Deum solum dicimus Patrem Domini nostri Jesu Christi, solum ingenitum, non ideo negamus Christum quoque Deum esse ante sæcula ; ut faciunt 591 Pauli Samosatensis discipuli, affirmantes eum post incarnationem, ex profectu Deum factum esse, postquam natura simplex homo factus fuisset. Scimus enim eum, quamvis Patri et Deo subjectus sit, ante sæcula tamen a Deo genitum, Deum secundum naturam perfectum et verum esse, neque ex homine postea Deum, sed ex Deo hominem propter nos factum esse, neque unquam esse desivisse.

V. « Exsecramur præterea et anathemate damna- D mus eos, qui illum solum ac simplex Dei Verbum non subsistens, quod in alio suam exsistentiam habeat, falso appellant, quodque modo velut prolatitium a quibusdam dicitur, modo internum nomi-

[11] I Cor. xi, 3.

(12) Socr. et Niceph., ἐμφέρεται.

(13) Socr. et Niceph., διδασκόμεθα. Mox Niceph., ἵνα γὰρ τὸν ἀγέννητον.

(14) Niceph., τοῖς ἐξ ἀγράφων ἐπισφαλῶς λέγουσιν, ὡς χρονικόν.

(15) Socr. et Niceph., καὶ ἀνέφικτον. Infra Reg. edit. Comm. Socr., et Niceph., γεγεννῆσθαι. Edit. Paris., γεγενῆσθαι.

(16) Ita Reg. Socr. et Niceph. In editis δὲ deest Mox Socr., ἀφθένως τὸ ειναι παρεχόμενον. Niceph., ἀφθόνως χαριζόμενον τὸ εἶναι.

(17) Socr. et Niceph., προαιώνιον.

(18) Τῷ deletum in Reg. deest apud Nic. Mox, πρὸ αἰώνων deest apud Socr. et Niceph.

(19) Socr, et Nic., καὶ μηδεπώποτε ἀπολωλεκότα τὸ εἶναι Θεόν.

39. Τί οὖν ὑμᾶς ἄρα τοιοῦτον ἔπεισεν, ὥστε καὶ ἑαυτοῖς εἰς τὸ ἐναντίον περιπεσεῖν, καὶ τοσαύτην αἰσχύνην ἀπενέγκασθαι; ἀλλ' οὐδὲν εὔλογον ἂν εἴποιτε· τοῦτο δὲ μόνον περιλείπεται νοεῖν, ὅτι πάντα νῦν ὑποκρίνεσθε, καὶ πάντα προσποιούμενοι πλάττετε διὰ τὴν παρὰ Κωνσταντίου (66) προστασίαν, καὶ τὸ παρὰ τοῦ τοιούτου κέρδος. Καὶ κατηγορεῖτε μὲν εὐχερῶς τῶν Πατέρων, προφασίζεσθε δὲ ἁπλῶς τὰς λέξεις, ὡς ἀγράφους· καὶ κατὰ τὸ γεγραμμένον, « διαστείνατε τὰ σκέλη παντὶ παρόδῳ· » ὥστε τοσαυτάκις ὑμᾶς μεταβάλλεσθαι, ὁσάκις ἂν ὑμᾶς οἱ μισθούμενοι καὶ χορηγοῦντες ὑμῖν βούλονται (67). Καίτοι κἂν ἀγράφους τις λαλῇ λέξεις, οὐδὲν διαφέρει, ἕως εὐσεβῆ τὴν διάνοιαν ἔχει. Ὁ δὲ αἱρετικὸς ἀνὴρ, κἂν τὰς ἀπὸ τῶν Γραφῶν χρήσηται λέξεις, οὐδὲν ἧττον ὕποπτος ὢν, καὶ τὸν νοῦν διεφθαρμένος, ἀκούσεται παρὰ τοῦ Πνεύματος· « Ἵνα τί σὺ διηγῇ (68) τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; » Οὕτως ὁ μὲν διάβολος, καίτοι λαλῶν ἀπὸ τῶν Γραφῶν, πεφίμωται παρὰ τοῦ Σωτῆρος· ὁ δὲ μακάριος Παῦλος, κἂν ἐκ τῶν ἔξωθεν λαλῇ· « Κρῆτες ἀεὶ ψεῦσται· » καὶ, « Τοῦ γὰρ (69) καὶ γένος ἐσμέν· » καὶ, « Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· » ἀλλ' ὅμως, ἅγιος ὢν, ἔχει τὴν διάνοιαν εὐσεβῆ· καὶ τοῦ Χριστοῦ νοῦν ἔχων, διδάσκαλός ἐστιν ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ· καὶ ἃ λαλεῖ, μετ' εὐσεβείας φθέγγεται. Ποῖα τοίνυν ἐν τοῖς Ἀρειανοῖς (70) ῥηματίοις κἂν πιθανότης ἐστὶν, ἐν οἷς προτιμᾶται τοῦ Σωτῆρος ἡ κάμπη καὶ ἡ ἀκρὶς, καὶ λοιδορεῖται παρ' αὐτῶν. Οὐκ ἦς ποτε, καὶ ἐκτίσθης, ξένος τε κατ' οὐσίαν τοῦ Θεοῦ τυγχάνεις· καὶ ὅλως οὐδὲν δυσφημίας ἐν αὐτοῖς παραλέλειπται (71); Τί δὲ πρὸς εὐφημίαν παρῆκαν οἱ Πατέρες; Καὶ οὐ μᾶλλον ὑψηλὴ διάνοια, καὶ φιλόχριστος εὐσέβεια παρ' αὐτοῖς ἐστι; Καὶ ὅμως ταῦτα μὲν ἔγραψαν, ὅτι Ἐκβάλλομεν· ἐκείνων δὲ τῶν κατὰ τοῦ Κυρίου λοιδοριῶν ἀνέχονται, καὶ φανεροὺς ἑαυτοὺς πᾶσι καθιστῶσιν (72), ὅτι δι' οὐδὲν ἕτερον μάχονται πρὸς τὴν σύνοδον ἐκείνην τὴν μεγάλην, ἢ ὅτι τὴν Ἀρειανὴν αἵρεσιν κατέκρινε. Διὰ τοῦτο γὰρ καὶ τὴν τοῦ ὁμοουσίου λέξιν διαβάλλουσι, κακῶς αὐτοὶ φρονοῦντες καὶ περὶ αὐτῆς. Εἰ γὰρ ἐπί-

ter [41], » et, « ex plenitudine ejus nos omnes accepimus [42]? » Cur Arianum Aetium ut hæreticum ejicitis, licet ea ipsa quæ ille loquamini? Tibi enim, Acaci, amicus est, Eudoxioque hujus magister impietatis fuit, in cujus gratiam eum Leontius episcopus diaconum ordinavit; ut, quasi ovis vestimento diaconatus nomine usus, blasphemiæ verba libere posset evomere.

39. Quid igitur vobis suasit, ut vobis ipsis adversemini, tantumque dedecoris referatis? Certe nihil rationi consentaneum vobis dicendum suppetit: hocque solum intelligendum relinquitur, vos nulla non simulatione, nullo non commento uti propter Constantii patrocinium, lucrumque quod hinc vobis evenit. Atque in promptu vobis est Patres incusare; temereque objicitis, non haberi ea verba in Scripturis sacris: et ut scriptum est, « crura divaricastis omni transeunti [43]; » ita ut toties sententiam commutetis, quoties velint ii qui vos mercede et præmio conducunt. Quanquam nihil interest, si quis non scriptas voces proferat, dum piam servet sententiam. Hæreticus autem vir, licet verbis e Scriptura depromptis utatur, nihilo tamen minus, suspectus ac mente corruptus cum sit, a Spiritu sancto audiet: « Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum [44]? » Quare diabolo licet ex Scripturis loquendi os a Salvatore obturatum est. Beatus autem Paulus, quamvis ex profanis loquatur: « Cretenses semper mendaces [45]; » et: « Ipsius enim genus sumus [46]; » et: « Corrumpunt mores bonos colloquia prava [47]; » attamen sanctus cum sit, piam retinet sententiam: et cum Christi mentem habeat, gentibus magister est fidei et veritatis, et cum pietate semper loquitur. Ecquidnam fide dignum inest Arianicis vocabulis, quibus eruca et locusta Salvatori anteponitur, ipsique hæc convicia dicuntur: Aliquando non eras, et creatus es, alienusque es a Deo secundum substantiam: nullamque demum non proferunt blasphemiam? Contra, quid quod Christi commendationi laudive conferat a Patribus omissum est? Nonne sanctis potius inest viris sublimis de Christo sententia, pietasque erga illum eximia? Et tamen isti hæc ausi sunt scribere: Illa rejicimus; dumque ejusmodi in Christum maledicta tolerant, propalam certe faciunt, se nulla alia de causa cum magna synodo pugnare, quam quod Arianam damnaverit hæresim. Ea etiam illis causa est consubstantialis vocem criminandi de qua ipsi prave sentiunt. Si

[41] Coloss. II, 9. [42] Joan. I, 16. [43] Ezech. XVI 25. [44] Psal. XLIX, 16. [45] Tit. I, 12. [46] Act. XVII, 28. [47] I Cor. XV, 33.

(64) Ita Regius codex et Felck. 3. Editi, Ἀκάκι. Felck. 3, mox, εὐσέβειαν.

(65) Regius, ἐν ἐνδύματι. Infra Felckm. 3, δυνήσεται.

(66) Sic Regius. Editi vero, τὴν Κωνσταντίου.

(67) Felc. 3, βούλωνται. Ibid. Felckm. 3, κἂν ταῖς ἀπὸ τῶν Γραφῶν χρήσηται λέξεσιν, οὐδ. Ibid. Regius, λαλεῖ λέξεις, et mox Regius, ἔχῃ.

(68) Sic Reg. et Græcus Scripturæ textus. Editi, ἐκοινηγῃ. Mox Regius, ἀναλαμβάνῃς.

(69) Felckman. 3, Τούτου γάρ. Mox edit. Commel., χριστά, male.

(70) Felckman. 3, Ἀρειανῶν.

(71) In Felck. 3, quæ inter voces παραλέλειπται, et infra φανερούς intercedunt, omissa sunt. Regius mox, ὑψηλοί.

(72) Regius et Felckm. 3, καθιστᾶσι. Editi, καθιστῶσι.

namque recte crederent, Patrem vere Patrem confiterentur : Filium vero genuinum Filium, et natura verum crederent Verbum, et Sapientiam Patris. Quod autem dicitur ex Deo Filium esse, si non ut de creaturis dicitur, ita de illo affirmarent; sed illum substantiæ Patris propriam esse prolem intelligerent, quemadmodum splendor a luce ortum habet, nequaquam singuli eorum Patres incusassent, ac potius fidenter dixissent bene synodum scripsisse, et eam esse rectam de Domino nostro Jesu Christo fidem.

40. Sed, aiunt, obscura nobis est horum verborum sententia. Ea enim fuit futilis hominum excusatio : cum non possimus verborum interpretationem assequi, illa rejicimus. At si sincero loquerentur animo non dictum oportuit, illa rejicimus ; sed sciscitaturi erant ut a peritis ediscerent : alioqui rejiciant quidquid in Scripturis divinis non intelligunt, eosque qui illa scripsere criminentur. Sed hæreticorum potius quam nostrum Christianorum fuerit audacia ejusmodi. Quæ enim in sacris eloquiis non intelligimus, non ideo rejicimus, sed ab iis quærimus, ab iis edicere postulamus, quibus Dominus revelavit. Verum, quia eam verborum obscuritatem prætexunt, fateantur ergo quæ statim inferuntur, et anathemate damnent eos qui sentiunt, ex non exstantibus esse Filium, et non fuisse antequam gigneretur, et creaturam opificiumque esse Dei Verbum : natura mutabile esse, et ex alia substantia ; demumque Arianam damnent hæresim quæ hujusmodi impietatem excogitavit. Ne dicant deinceps, Ea verba rejicimus ; sed, Nondum illa intelligimus ; ut sic verisimilem ea recusandi causam afferant. Probe scio autrm ac exploratum habes, quod ipsi quoque non ignorant, eos si ista confiteantur et Arianam hæresin anathemate damnent, synodi verba non negaturos. Idcirco enim Patres cum dixissent ex substantia Patris genitum Filium esse Patri consubstantialem, statim intulerunt : Eos autem qui prædicta illa Arianæ hæreseos verba dicunt, anathemate damnamus ; ut ostendant hæc a se quasi eamdem ipsam vim habentia dicta esse, et utraque verba idem significare : ac quicumque illa confessus fuerit, eum hæc etiam esse cogitaturum ; qui vero illa non sunt sententia, imo ea verba improbant, ii sane Christo inimici esse omni ex parte coarguuntur.

41. Cæterum ad eorum confutationem qui totam synodum repudiant hæc pauca sufficiant. Viros au-

A στευον ὀρθῶς, καὶ τὸν μὲν Πατέρα (73) Πατέρα ἀληθῶς ὁμολόγουν, τὸν δὲ Υἱὸν γνήσιον Υἱὸν καὶ φύσει ἀληθινὸν Λόγον, καὶ Σοφίαν ἐπίστευον εἶναι τοῦ Πατρός· τό τε ἐκ τοῦ Θεοῦ λέγειν τὸν Υἱόν, εἰ μὴ, ὥσπερ λέγεται περὶ τῶν κτισμάτων, οὕτως ἔλεγον καὶ περὶ αὐτοῦ, ἀλλὰ τῆς οὐσίας τοῦ Πατρὸς ἴδιον αὐτὸν ἐνόουν εἶναι γέννημα, ὡς ἔστι τὸ ἀπαύγασμα ἐκ τοῦ φωτός· οὐκ ἂν ἕκαστος (74) αὐτῶν κατηγόρει τῶν Πατέρων· ἀλλ' ἐθάρρουν, ὅτι καλῶς ἔγραψεν ἡ σύνοδος· καὶ οὕτως ἐστὶν ἡ ὀρθὴ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πίστις.

40. Ἀλλ' ἀσαφης, φασὶν (75) ἐστὶν ἡμῖν τῶν τοιούτων λέξεων ἡ διάνοια. Καὶ τοῦτο γὰρ προεφασίσαντο, λέγοντες, ὅτι, μὴ δυνάμενοι καταλαβεῖν τὴν ἑρμηνείαν αὐτῶν, ἐκβάλλομεν ταύτας τὰς λέξεις. Τοῦτο δὲ εἰ ἀληθῶς ἔλεγον, οὐκ ἔδει λέγειν αὐτοὺς, B Ἐκβάλλομεν ταύτας· ἀλλ' ἠξίουν (76) μαθεῖν παρὰ τῶν ἐπισταμένων, ἐπεὶ ὀφείλουσί γε, καὶ ἅπερ ἂν ἐν ταῖς θείαις Γραφαῖς μὴ νοήσωσιν ἐκβάλλειν, καὶ κατηγορεῖν τοὺς γράψαντας (77) αὐτά. Ἀλλὰ τοῦτο μᾶλλον αἱρετικῶν, καὶ οὐχ ἡμῶν τῶν Χριστιανῶν τὸ τόλμημα. Ἃ γὰρ ἀγνοοῦμεν ἐν τοῖς λογίοις, οὐκ ἐκβάλλομεν, ἀλλὰ ζητοῦμεν οὓς ἀπεκάλυψεν (78) ὁ Κύριος, καὶ παρ' αὐτῶν μανθάνειν ἀξιοῦμεν. Ἐπειδὴ δὲ καὶ οὕτω προφασίζονται τὴν ἀσάφειαν τῶν τοιούτων λέξεων, ὁμολογείτωσαν γοῦν τὰ εὐθὺς ἐπιφερόμενα, καὶ ἀναθεματιζέτωσαν τοὺς φρονοῦντας, ἐξ οὐκ ὄντων εἶναι τὸν Υἱὸν, καὶ, Οὐκ ἦν πρὶν γεννηθῇ, καὶ ὅτι κτίσμα καὶ ποίημά ἐστιν ὁ τοῦ Θεοῦ Λόγος· καὶ, Τρεπτός ἐστι (79) τῇ φύσει· καὶ, Ἐξ ἑτέρας ὑποστάσεως· καὶ ὅλως ἀναθεματιζέτωσαν τὴν Ἀρειανὴν C αἵρεσιν, τὴν ἐφευροῦσαν τὴν τοιαύτην ἀσέβειαν (80). Καὶ λοιπὸν μὴ λεγέτωσαν, Ἐκβάλλομεν τὰς λέξεις, ἀλλ' ὅτι Οὔπω νοοῦμεν αὐτάς· ἵνα οὕτω πιθανήν τινα πρόφασιν ἔχωσι τοῦ παραιτεῖσθαι ταύτας. Εὖ δὲ οἶδα καὶ πέπεισμαι, καὶ αὐτοὶ δὲ τοῦτο γινώσκουσιν, ὅτι ταῦτα ἐὰν ὁμολογήσωσι, καὶ ἀναθεματίσωσι τὴν Ἀρειανὴν αἵρεσιν, οὐκ ἀρνήσονται κἀκείνας τὰς τῆς συνόδου λέξεις. Διὰ τοῦτο γὰρ καὶ οἱ Πατέρες, εἰρηκότες ἐκ τῆς οὐσίας γεννητὸν τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, εὐθὺς ἐπήγαγον· τοὺς δὲ λέγοντας τὰ προειρημένα, ἅπερ ἐστὶ τῆς Ἀρειανῆς αἱρέσεως, ἀναθεματίζομεν (81)· ἵνα δείξωσιν, ὅτι ὡς ἐκ παραλλήλου λέλεκται παρ' αὐτῶν, καὶ αἱ λέξεις ἐκεῖναι ταῦτα σημαίνουσιν· καὶ ὃς ἂν ἐκείνας ὁμολογήσῃ, πάντως καὶ ταῦτα διανοηθήσεται· οἱ δὲ μήτε ταῦτα φρονοῦν- D τες, ἀλλὰ κἀκεῖνα διαβάλλοντες (82), οἱ τοιοῦτοι πανταχόθεν ἐλέγχονται χριστομάχοι.

41. Καὶ περὶ μὲν τῶν ἐξ ὅλου τὴν σύνοδον ἀρνουμένων ἀρκεῖ πρὸς ἔλεγχον τὰ ὀλίγα ταῦτα· πρὸς δὲ

(78) Ita Regius, Basiliensis et Felc. 3. Editi semel Πατέρα habent.
(74) Felckm. 3, ἕκαστον, mendose. Mox Regius, κατηγόρη.
(75) Regius, φησίν.
(76) Felc. 3, ἀξίουν.
(77) Felc. 3, τῶν γραψάντων.
(78) Felc. 3 solus, οἷς ἀπεκάλυψεν.
(79) Felc. 3, τρεπτῶς ἐστι.
(80) Felc 3, εὐσέβειαν. Quam τοῦ, α, in ευ mutationem alias non semel notavimus. Paulo post Reg. et Felc. 3, Οὔπω νοοῦμεν αὐτάς. Alii codices, Οὕτω νοοῦμεν αὐτάς. Editi, οὕτω νοοῦμεν αὐτός.
(81) Sic Regius, Felckm. 3 et edit. Paris. Edit. Commel. ἀναθεματίσομεν. In Felc. 4, ibidem post istam vocem, hæc ponuntur πρὸς δὲ τοὺς ἀποδεχομένους, his præmissis verbis, ἐκ τῆς αὐτῆς ἐπιστολῆς, omissis intermediis.
(82) Regius, διαβάλλωσιν.

τοὺς ἀποδεχομένους τὰ μὲν ἄλλα πάντα τῶν ἐν Νικαίᾳ γραφέντων, περὶ δὲ μόνον τὸ ὁμοούσιον ἀμφιβάλλοντας, χρὴ (83) μὴ ὡς πρὸς ἐχθροὺς διακεῖσθαι· καὶ γὰρ καὶ ἡμεῖς οὐχ ὡς πρὸς Ἀρειομανίτας, οὐδ' ὡς μαχομένους πρὸς τοὺς Πατέρας ἐνιστάμεθα, ἀλλ' ὡς ἀδελφοὶ πρὸς ἀδελφοὺς διαλεγόμεθα, τὴν αὐτὴν μὲν ἡμῖν διάνοιαν ἔχοντας, περὶ δὲ τὸ ὄνομα μόνον διστάζοντας. Καὶ τὰρ ὁμολογοῦντες ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι, καὶ μὴ ἐξ ἑτέρας ὑποστάσεως τὸν Υἱόν, κτίσμα τε μὴ εἶναι, μηδὲ ποίημα αὐτόν, ἀλλὰ γνήσιον καὶ φύσει γέννημα ἀϊδίως τε (84) αὐτὸν συνεῖναι τῷ Πατρὶ Λόγον ὄντα καὶ Σοφίαν, οὐ μακρὰν εἰσιν ἀποδέξασθαι καὶ τὴν τοῦ (85) ὁμοουσίου λέξιν. Τοιοῦτος δέ ἐστι Βασίλειος ὁ ἀπὸ Ἀγκύρας, γράψας περὶ πίστεως. Τὸ μὲν γὰρ ὅμοιον μόνον λέγειν κατ' οὐσίαν οὐ πάντως σημαίνει καὶ τὸ ἐκ τῆς οὐσίας, ἐξ οὗ μᾶλλον, ὡς καὶ αὐτοὶ εἰρήκασι, σημαίνεται τὸ γνήσιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα. Καὶ γὰρ κασσίτερος ὅμοιός (86) ἐστι μόνον τῷ ἀργύρῳ, καὶ λύκος τῷ κυνί, καὶ χαλκὸς χρυσίζων τῷ ἀληθινῷ χρυσῷ. οὔτε δὲ κασσίτερος ἐκ τοῦ ἀργύρου τυγχάνει, οὔτε λύκος ὡς υἱὸς τοῦ κυνὸς ἂν νομισθείη. Ἐπειδὴ δὲ καὶ ἐκ τῆς οὐσίας καὶ ὁμοιοούσιον (87) αὐτὸν εἰρήκασι, τί ἕτερον σημαίνουσιν ἐκ τούτων ἢ τὸ ὁμοούσιον; Καὶ γὰρ ὥσπερ ὁ λέγων μόνον ὁμοούσιον οὐ πάντως καὶ τὸ ἐκ τῆς οὐσίας γνωρίζει, οὕτως ὁ λέγων ὁμοούσιον ἀμφοτέρων, τοῦ τε ὁμοιουσίου καὶ τοῦ ἐκ τῆς οὐσίας (88), σημαίνει τὴν διάνοιαν. Καὶ αὐτοὶ γοῦν ἐνιστάμενοι πάλιν πρὸς τοὺς κτίσμα λέγοντας εἶναι τὸν Λόγον, καὶ μὴ θέλοντας αὐτὸν γνήσιον Υἱὸν εἶναι, ἐξ ἀνθρωπίνων παραδειγμάτων υἱοῦ καὶ πατρὸς εἰλήφασι τὰς κατ' αὐτῶν ἀποδείξεις, ἐξαιρουμένου τούτου (89), ὅτι μὴ ὡς ἄνθρωπός ἐστιν ὁ Θεός, μηδὲ ὡς ἀνθρωπίνη γονή, οὕτως ἐστὶν ἡ τοῦ Υἱοῦ γέννησις, ἀλλ' ὡς ἡ Θεῷ πρέπουσα, καὶ ἡμᾶς ἁρμόζουσα νοεῖν. Καὶ γὰρ καὶ πηγὴν εἰρήκασι **τὸν Πατέρα τῆς σοφίας καὶ τῆς ζωῆς**, τὸν δὲ Υἱὸν ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ αὐτὸν εἶναι τὸ ἐκ τῆς πηγῆς γέννημα λέγοντα· « Ἐγώ εἰμι (90) ἡ ζωή, » καὶ, « Ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλήν. » Τὸ δὲ ἐκ φωτὸς ἀπαύγασμα, καὶ ἐκ πηγῆς γέννημα, καὶ ἐκ Πατρὸς Υἱόν, πῶς ἂν τις ἁρμοζόντως ἀνομάσειεν ἢ ὁμοούσιον; Ἆρ' οὖν μὴ, ἐπειδὴ τὰ ἐξ ἀνθρώπων γεννήματα ὁμοούσιά ἐστιν, εὐλαβεῖσθαι δεῖ μὴ καὶ ὁ Υἱὸς, λεγόμενος ὁμοούσιος, νομισθείη καὶ αὐτὸς ὡς ἀνθρώπινον γέννημα; μὴ γένοιτο! οὐκ ἔστιν οὕτως. Ἀλλὰ καὶ ταχεῖαν ἔχει τὴν λύσιν τοῦτο· Λόγος γάρ ἐστι καὶ Σοφία τοῦ Πατρὸς ὁ Υἱός· ἐξ ὧν τὸ ἀπαθὲς καὶ τὸ ἀμέριστον τῆς ἐκ τοῦ Πατρὸς γεννήσεως γνωρίζεται. Λόγος γὰρ οὐδὲ

A tem qui alia quidem omnia Nicææ scripta recipiunt, de solo autem consubstantialis vocabulo ambigunt, non ut inimicos spectari par est. Neque enim velut Ariomanitas, aut Patrum adversarios, homines aggredimur; sed disputamus veluti fratres cum fratribus, qui eadem qua nos sunt sententia, solo nomine in controversiam adducto. Cum enim confiteantur ex substantia Patris et non ex alia substantia esse Filium, nec creaturam vel opificium illum esse: sed genuinam naturalemque prolem, et ab æterno una cum Patre Verbum et Sapientiam exsistere, non longe absunt a recipienda consubstantialis voce. Talis est Basilius Ancyræ qui de fide scripsit. Nam, si similis tantum dicatur secundum substantiam, id non idem prorsus significat atque illud: ex substantia; quo verbo magis, ut ipsi dixere, Patris germanum Filium ipsum esse significatur. Nam stannum est argento simile, canis lupo, aurichalcum vero auro, nec tamen stannum ex argento est, nec lupus canis filius haberi potest. Quandoquidem autem et ex substantia, et substantiæ similem eum esse dixerunt, quid aliud his significant quam eum esse consubstantialem? Etenim, sicut qui dicit tantum, substantiæ similem, non prorsus indicat eum ex substantia esse; sic qui dicit, consubstantialem, utriusque dicti sententiam complectitur, et, substantiæ similis, et, ex substantia. Iterumque illos aggressi qui dicunt Verbum esse creaturam, et negant genitum esse Filium, ex humanis exemplis filii ac patris sua adversum illos argumenta mutuati sunt, hac tamen exceptione, quod Deus non sit ut homo, neque humani **604** partus similis sit Filii generatio, sed talis sit qualis Deo convenit, et a nobis intelligi debet. Nam **et Patrem** fontem sapientiæ dixere atque vitæ, **Filium** vero splendorem æternæ lucis, ipsumque esse fontis partum, qui ait: « Ego sum vita[48], » et, « Ego Sapientia habito in consilio[49]. » Porro lucis splendorem, fontis partum, **Patris Filium**, quomodo apte nominaveris, nisi, consubstantialem? Ergone, cum hominu proles ejusdem sit substantiæ, cavere oportet, ne is qui Filius dicitur, consubstantialis et ipse nominetur, ut hominum proles: absit! nequaquam se ita res habet. Sed hoc facile solvitur; Filius quippe Verbum et Sapientia est Patris, quibus Patris generationem impassibilem et indivisam esse significatur. Nam ne hominum quidem verbum pars eorum est, neque cum quadam passione ab illis procedit; nedum Dei Ver-

B

C

D

[48] Joan. XIV, 6. [49] Prov. VIII, 12.

(83) Sic Felckman. 3, quem sequimur. In cæteris et editis, χρὴ desideratur.

(84) Τε deest in Felc. 3.

(85) Sic Reg. et Felc. 3. In editis vero του deest. Existimarunt nonnulli, quæ leguntur infra, Τὸ μὲν γὰρ ὅμοιον μόνον λέγειν, etc., esse Basilii Ancyrani verba; sed ex consequentibus liquet esse Athanasii.

(86) Felc. 3, ὅμοιον, male. Mox idem, μόνον, recte, atque ita legit Nannius. Cæteri et editi, μόνος.

(87) Edit. Paris., ὁμοιούσιον. Edit. Colon., ὁμοούσιον. At edit. Commel. et mss. omnes, ὁμοιοούσιον, et sic paulo infra bis terve.

(88) Regius, τὸ ἐκ τῆς οὐσίας, male.

(89) Felc. 3, τοῦ. Mox idem cum Reg., ἐστιν ὁ Θεός Editi, ἐστιν ὁ Υἱὸς.

(90) Editio Commeliniana, εἰ μή, mendose; εἰμι sequens, quod in editis ante ἡ σοφία legebatur, deletum est in Reg., et recte quidem. Ibidem, κατεσκήνωσα βουλήν deest in Felc. 3.

bum, quod Filium esse suum Pater declaravit. Ne autem quispiam audiens duntaxat, Verbum, existimet ejusmodi illud esse quale est humanum, nempe sine substantia ; sed quem audit, Filium, agnoscat esse Verbum vivens, et Sapientiam substantia præditam.

42. Deinde, quemadmodum ubi eum prolem dicimus, hoc non humano more intelligimus ; et cum Patrem esse Deum agnoscimus, non corporalia de illo cogitamus : sed dum illa audimus exempla hujusmodique verba, ea tamen congruenti modo de Deo intelligimus, non enim Deus ut homo ; sic cum consubstantialem audimus, omnem sensum transcendere debemus, et juxta Proverbium [50], spiritualiter intelligere quæ apponuntur nobis ; ut cognoscamus, non voluntate, sed revera eum Filium ex Patre germanum esse, quasi ex fonte vitam, et ex luce splendorem. Alioqui cur illas voces, proles, filius, non corporaliter, consubstantiale autem quasi de corporibus, intelligimus : cum potissimum non de alio atque alio hæc dicantur, sed de quo, proles, de eodem, consubstantiale, dictum sit? Parque est eamdem sententiam utriusque dicti circa Salvatorem retinere, neque vocem illam, proles, recte ; illam autem, consubstantialis, aliter interpretari ; consequens enim est vos, cum ea mente dicitis Filium Patris Verbum et Sapientiam esse, diversam de his habere sententiam, et alio modo Verbum, alio Sapientiam intelligere. At sicut absurdum illud est : namque Filius est Verbum et Sapientia Patris, unusque est ex Patre fetus, et ejus substantiæ proprius ; ita una eademque significatio est prolis et consubstantialis : et qui censet Filium esse fetum, is recte sentit eum esse consubstantialem.

43. Et satis quidem hæc sunt ad comprobandum dilectorum sententiam non alienam, neque longe esse a consubstantiali. Quoniam autem, ut ipsi dicunt (nam epistola penes me non fuit), qui Samosatensem damnarunt episcopi scripto tradidere Filium Dei non esse Patri consubstantialem, ac demum ipsi, pietatis honorisque causa erga viros qui hæc dixerunt, sic pro ea voce sunt affecti, operæ pretium fuerit pie cum ipsis ea de re disserere. Non decet quippe illos cum his committere : omnes enim Patres sunt; neque sanctum esset definire hos probe, illos male locutos esse: omnes quippe in Christo obdormierunt. Disceptandum porro non est, neque numerus conferendus virorum qui coacti sunt, ne videantur trecenti illi pauciores obscurare, neque tempora

[50] Prov. XXIII, 1.

A ὁ (91) τῶν ἀνθρώπων μέρος ἐστὶν, οὐδὲ κατὰ πάθος ἐξ αὐτῶν προέρχεται, μήτι γε ὁ τοῦ Θεοῦ, ὃν Υἱὸν εἶναι ἑαυτοῦ ὁ Πατὴρ ἐδήλωσεν · ἵνα μὴ πάλιν τις, ἀκούων μόνον, Λόγον, νομίσῃ τοιοῦτον εἶναι, οἷός ἐστιν ὁ τῶν ἀνθρώπων, ἀνυπόστατος · ἀλλ' ἀκούων, ὅτι Υἱός ἐστι, γινώσκῃ (92) τοῦτον εἶναι ζῶντα Λόγον, καὶ ἐνούσιον Σοφίαν.

42. Ἔπειτα, ὥσπερ τὸ γέννημα λέγοντες, οὐκ ἀνθρωπίνως νοοῦμεν, καὶ Πατέρα τὸν Θεὸν εἰδότες, οὐ σωματικήν τινα περὶ αὐτοῦ λαμβάνομεν ἔννοιαν · ἀλλὰ τὰ μὲν παραδείγματα καὶ τὰς τοιαύτας λέξεις ἀκούομεν, ἁρμοζόντως δὲ περὶ Θεοῦ νοοῦμεν · οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεός · οὕτως ἄρα καὶ τὸ ὁμοούσιον ἀκούοντες, ὑπερβαίνειν ὀφείλομεν πᾶσαν αἴσθησιν, καὶ κατὰ τὴν Παροιμίαν (93). νοητῶς νοεῖν τὰ παρατιθέμενα ἡμῖν · ὥστε μέντοι γινώσκειν, ὅτι μὴ θελήσει, ἀλλὰ ἀληθῶς Υἱός ἐστιν ἐκ Πατρὸς γνήσιος, ὡς B ἐκ πηγῆς ζωὴ, καὶ φωτὸς ἀπαύγασμα. Ἀ διὰ τί τὸ μὲν, γέννημα, καὶ τὸ, Υἱὸς, οὐ σωματικῶς, τὸ δὲ ὁμοούσιον, ὡς ἐπὶ σωμάτων διανοούμεθα, καὶ μάλιστα, ὅτι οὐ περὶ ἄλλου καὶ ἄλλου ἐστὶ τὰ λεγόμενα, ἀλλὰ περὶ οὗ τὸ γέννημα, περὶ τούτου καὶ τὸ ὁμοούσιον ἐλέχθη ; Καὶ πρέπει τὴν αὐτὴν διάνοιαν ἀμφοτέρων τῶν λέξεων ἐπὶ τοῦ Σωτῆρος διασώζειν, καὶ μὴ τὸ μὲν γέννημα (94) καλῶς ἐξηγεῖσθαι, τὸ δὲ ὁμοούσιον ἄλλως · ἐπεὶ ἀκόλουθόν ἐστιν, οὕτω διακειμένους ὑμᾶς καὶ λέγοντας Λόγον καὶ Σοφίαν τοῦ Πατρὸς τὸν Υἱὸν, διάφορον ἔχειν καὶ περὶ τούτων τὴν διάνοιαν, καὶ ἄλλως μὲν τὸν Λόγον νοεῖν, ἑτέρως δὲ τὴν Σοφίαν. Ἀλλ' ὥσπερ ἄτοπον τοῦτο · Λόγος γὰρ καὶ Σοφία τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ ἓν ἐστι τὸ ἐκ Πατρὸς γέννημα, καὶ ἴδιον τῆς οὐσίας αὐτοῦ · οὕτως εἷς C ἐστιν ὁ νοῦς (95) τοῦ γεννήματος καὶ τοῦ ὁμοουσίου · καὶ ὁ φρονῶν γέννημα τὸν Υἱὸν φρονεῖ τοῦτον ὀρθῶς καὶ ὁμοούσιον.

43. Αὐτάρκη μὲν οὖν ταῦτα δεῖξαι, τῶν ἀγαπητῶν τὴν διάνοιαν μὴ ἀλλοτρίαν, μηδὲ μακρὰν οὖσαν τοῦ ὁμοουσίου, Ἐπειδὴ δὲ, ὡς αὐτοί φασι (τὴν γὰρ ἐπιστολὴν οὐκ ἔσχον ἐγὼ). οἱ τὸν Σαμοσατέα κατακρίναντες ἐπίσκοποι γράφοντες εἰρήκασι μὴ εἶναι ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ (96), καὶ λοιπὸν αὐτοί, διὰ τὴν πρὸς τοὺς εἰρηκότας εὐλάβειάν τε καὶ τιμὴν, οὕτω περὶ τὴν λέξιν διάκεινται · καλὸν μετ' αὐτῶν μετ' εὐλαβείας καὶ περὶ τούτου διασκέψασθαι. Συγκρούειν μὲν γὰρ τούτους (97) πρὸς ἐκείνους ἅπρεπές· D πάντες γάρ εἰσι Πατέρες · διακρίνειν δὲ πάλιν, ὡς οὗτοι μὲν καλῶς, ἐκεῖτοι δὲ τοὐναντίον εἰρήκασιν, οὐχ ὅσιον · οἱ πάντες γάρ ἐκοιμήθησαν ἐν Χριστῷ. Οὐ χρὴ δὲ φιλονεικεῖν, οὐδὲ τῶν συνελθόντων τὸν ἀριθμὸν συμβάλλειν, ἵνα μὴ δοκῶσιν οἱ τριακόσιοι (98)

(91) Ὁ deest in Felc. 3. Idem mox, μέρος αὐτῶν ἐστιν.

(92) Regius codex, γινώσκει.

(93) Felc. 3, τὴν θείαν παροιμίαν.

(94) Felc. 3, ἐπὶ τοῦ Σωτῆρος διδάσκειν, καὶ μὴ τὸ γέννημα.

(95) Ita Felckm. 3, recte Reg. et edit., εἷς ἐστιν Υἱός.

(96) Sic Felckm. 3. In editis et cæteris mss., τὸν Υἱὸν τοῦ Θεοῦ τῷ Πατρί. Hæc autem videsis quoque apud Hilarium *De synodis*, col. 1196 ; Euseb. item *Eccles. Hist.* lib. VII, cap. 29.

(97) Felc. 3, μὲν γὰρ τούτους. Editi et alii, μὲν τοῦτους.

(98) Felckm. 3, οἱ πλείους. Paulo post Regius et Felckm. 3, οὐδ' αὖ πάλιν. Editi, οὐδ' ἂν πάλιν.

τοὺς ἐλάττονας ἐπικρύπτειν· οὐδ' ἂν πάλιν τὸν χρόνον ἀναμετρεῖν, ἵνα μὴ δοκῶσιν οἱ προλαβόντες ἀφανίζειν τοὺς μετὰ ταῦτα γενομένους. Οἱ πάντες γὰρ, καθὰ προείρηται, Πατέρες εἰσί· καὶ ὅμως οὐδὲ οἱ τ' (99) νεώτερόν τι φρονήσαντες ἔγραψαν, οὐδὲ ἑαυτοῖς καταθαρσήσαντες, ἀγράφων προέστησαν λέξεων· ἀλλὰ ἐκ Πατέρων ὁρμώμενοι καὶ αὐτοὶ, τοῖς ἐκείνων ἐχρήσαντο ῥήμασι. Διονύσιοι γὰρ δύο γεγόνασιν ἔμπροσθεν πολὺ τῶν ἑβδομήκοντα (1) τῶν καθελόντων τὸν Σαμοσατέα· τούτων ὁ μὲν τῆς Ῥώμης, ὁ δὲ τῆς Ἀλεξανδρείας ἦν ἐπίσκοπος. Ἀλλά τινων αἰτιασαμένων παρὰ τῷ ἐπισκόπῳ Ῥώμης τὸν τῆς Ἀλεξανδρείας ἐπίσκοπον, ὡς λέγοντα ποίημα, καὶ μὴ ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, ἡ μὲν κατὰ Ῥώμην σύνοδος ἠγανάκτησεν· ὁ δὲ τῆς Ῥώμης ἐπίσκοπος τὴν πάντων γνώμην γράφει πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ (2). Κἀκεῖνος λοιπὸν, ἀπολογούμενος, τὸ μὲν βιβλίον ἐπιγράφει Ἐλέγχου καὶ Ἀπολογίας. Γράφει δὲ ταῦτα πρὸς ἐκεῖνον.

44. (3) « Καὶ δι' ἄλλης ἐπιστολῆς ἔγραψα, ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγκλημα κατ' ἐμοῦ, ψεῦδος ὄν, ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ Θεῷ. Εἰ γὰρ καὶ τὸ ὄνομα τοῦτό φημι μὴ εὑρηκέναι, μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων Γραφῶν, ἀλλά γε τὰ ἐπιχειρήματά μου τὰ ἑξῆς, ἃ σεσιώπηκασι, τῆς διανοίας ταύτης οὐκ ἀπάδει. Καὶ γὰρ (4) ἀνθρωπείαν γονὴν παρεθέμην, δῆλον ὡς οὖσαν ὁμογενῆ, φήσας πάντως τοὺς γονεῖς μόνον (5) ἑτέρους εἶναι τῶν τέκνων, ὅτι μὴ αὐτοὶ εἶεν τὰ τέκνα· ἢ μήτε γονεῖς ἀναγκαῖον ὑπάρχειν εἶναι, μήτε τέκνα. Καὶ τὴν μὲν ἐπιστολὴν, ὡς προεῖπον, διὰ τὰς περιστάσεις οὐκ ἔχω προκομίσαι· εἰ δ' οὖν, αὐτά (6) σοι τὰ τότε ῥήματα, μᾶλλον δὲ καὶ πάσης ἀνέπεμψα τὸ ἀντίγραφον· ὅπερ ἐὰν εὐπορήσω, ποιήσω. Οἶδα δὲ καὶ μέμνημαι πλείονα προσθεὶς τῶν συγγενῶν ὁμοιώματα (7). Καὶ γὰρ καὶ φυτὸν εἶπον, ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης ἀνελθὸν, ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάστησε, καὶ πάντως ἐκείνῳ καθέστηκεν ὁμοφυές· καὶ ποταμὸν ἀπὸ πηγῆς ῥέοντα, ἕτερον καὶ σχῆμα καὶ ὄνομα μετειληφέναι· μήτε γὰρ τὴν πηγὴν ποταμὸν, μήτε τὸν ποταμὸν πηγὴν λέγεσθαι, καὶ ἀμφότερα ὑπάρχειν· καὶ τὴν μὲν πηγὴν οἱονεὶ Πατέρα εἶναι, τὸν δὲ

A 605 metienda sunt, ne qui præcessere subsequentes exauctorare putentur. Omnes enim, uti supra dictum est, Patres sunt; neque tamen trecenti illi aliquam novam scripsere sententiam; neque, sibi ipsis confisi, verbis non antea scriptis patrocinati sunt; sed exemplo Patrum incitati, eorum verba usurparunt. Diu namque ante illos septuaginta qui Samosatensem deposuerunt, duo Dionysii exstitere, quorum alter Romæ, alter Alexandriæ episcopus erat. Cum autem quidam ad Romanum episcopum, Alexandrinum detulissent, quod Filium rem factam et Patri non consubstantialem affirmaret, synodus Romæ coacta rem indigne tulit, Romanus autem episcopus omnium sententiam rescripsit ad gentilem suum. At ille sui purgandi causa librum edit hoc

B titulo, *Etenchus et Apologia*, et his verbis ad Romanum scripsit episcopum:

44. « In alia item epistola ea scripsi, quibus criminationem adversariorum repuli, mendacemque ostendi qua aiebant me Christum negare esse Deo consubstantialem. Tametsi enim fateor me hoc vocabulum nusquam Scripturarum sacrarum vel invenisse vel legisse, attamen argumenta mea quæ subsequuntur, quæque isti tacuerunt, ab hac sententia non discrepant. Etenim humanam prolem in exemplum attuli, quam patet ejusdem esse generis ac genitorem. Dixique revera in hoc solum parentes differre a filiis, quod ipsi non sint filii: alioqui necesse fore neque parentes existere, neque filios.

C Epistolam autem, ut ante dixi, ob præsentem rerum conditionem penes me non habeo. Alioquin ipsa tibi quæ tunc scripsi verba, imo totius epistolæ exemplar misissem, mittamque si quando mihi ejus copia fuerit. Scio autem atque memini me plurimas ex rebus inter se cognatis similitudines conglobasse. Etenim plantam, sive ex semine, sive ex radice succrescentem, aliam esse dixi ab eo unde pullulavit, tametsi ejusdem prorsus est naturæ: fluviumque a fonte fluentem, aliam formam et nomen accipere: neque enim aut fontem fluvium, aut fluvium fontem

(99) Sic Regius et Basiliensis. Felc. vero 3 item. D οἱ τριακόσιοι. Editi mendose, οἱ τό. Mox Felckm. 3, θαῤῥήσαντες.

(1) Ἑβδομήκοντα. Hilarius octoginta memorat, et fortassis absque ulla dissensione: numero enim pleno, septuaginta, et octoginta dici possunt, qui septuagenarium aliquot numeris excedunt. At Basilius diaconus, aliique monachi, in libello quem ad synodum Ephesinam obtulere centum octoginta numerant tomo III *Concil.*, pag. 425; sed Athanasii et Hilarii testimonio haud dubie standum. Nam quod nonnulli prope innumerabiles, aut pene infinitos eo convenisse ab Eusebio narrari putant lib. VII, cap. 29, decepti videntur Valesii versione, qua illud, πλείστων ὅσων ἐπισκόπων, *episcoporum numero prope innumerabilium*, vertitur, ubi vertendum erat, quamplurimorum episcoporum.

(2) Felckman. 3, ἑαυτῷ.

(3) In edit. Paris. sola præmissus hic titulus erat: Ἡ πρὸς Διονύσιον τῆς Ῥώμης ἐπίσκοπον ἐπιστολὴ Διονυσίου Ἀλεξανδρείας ἐπισκόπου. In edit. vero Comm. Latine sic titulus positus fuit: *Dionysii Alexandriæ episcopi ad Dionysium pontificem Romanum epistola*, quem Parisienses Græce expresserunt. Hoc autem epistolæ Dionysii Alexandrini fragmentum legitur item supra in Epistola *De Nicænis decretis*, et in epistola *De sententia Dionysii*, pag. 201, cum aliis multis. In Regio προφέρουσιν legitur hic et supra pag. 201. Editi, προσφέρουσιν.

(4) Sic Regius hic et supra cum aliis mss. Editi, καὶ γὰρ καί.

(5) Sic Regius, Basiliensis et Felck. 3. In editis, ἀναγκαῖον μόνον. Ibidem, μόνους habet Felc. 3.

(6) Felc. 3, οὐκ ἔχω προκομίζειν. Ἦ γὰρ ἂν αὐτά.

(7) Felc. 3, ὁμοιώματι.

dici, sed utrumque exsistere : ac fontem quidem quasi patrem esse, fluvium vero, aquam ex fonte manentem. » Hactenus episcopus ille.

45. Si quis igitur eos qui Nicææ convenerunt arguit, quod præter majorum decreta quædam protulerint, is jure septuaginta episcopos reprehendat, quod majorum suorum decreta non servarint. Prius quippe erant ambo Dionysii, atque ii qui tunc temporis Romæ convenerant episcopi. Sed neutros fas est culpare : omnes quippe res Christi curabant, omnes studia sua convertebant adversus hæreticos, et alii Samosatensem, alii Arianam damnarunt hæresin. Recte autem ac probe utrique scripsere, atque congruenter ad propositum argumentum. Etenim quemadmodum beatus Apostolus ad Romanos his verbis scripsit : « Lex spiritualis est [52];· » et « Lex sancta et mandatum sanctum, et justum et bonum [51];» et paulo post, « Nam quod impossibile erat legi in quo infirmabatur [53] ; » ad Hæbræos autem, « Nullum perfecit **606** lex [54] ; » ad Galatas, « In lege nemo justificabitur [55] ; » ad Timotheum autem, « Bona est lex, si quis ea legitime utatur [56] ; » neque tamen quis sanctum virum criminatus fuerit quasi contraria et pugnantia scribat ; sed potius admiratus fuerit, quod, ut singulis consentaneum erat, scriberet, ut Romani et alii ex littera ediscerent sese ad Spiritum convertere ; Hebræi vero et Galatæ docerentur, non in legem, sed in Dominum qui legem dedit, spem habere : ita quoque etsi ambarum synodorum Patres diverse de consubstantiali mentionem fecerint, nullatenus tamen ab illis dissidere debemus, sed illorum perscrutari sententiam, et tunc ambas inter se synodos consentire deprehendemus. Qui enim Samosatensem deposuere, vocem consubstantialis corporali accepere modo, cum Paulus arguti vellet ac dicere : Si Christus non ex homine Deus factus est, ergo non consubstantialis est Patri atque hinc necesse est tres esse substantias : unam priorem, duas vero ex illa procedentes. Ideoque illud Pauli sophisma jure caventes, dixere Christum non esse consubstantialem : neque enim Filius ita se habet respectu Patris qualiter ille cogitabat. Qui autem Arianam hæresim anathemate damnarunt, cum Pauli calliditatem animadvertissent, et cogitarent non ita de incorporeis, et maxime de Deo, consubstantialitatem accipiendam esse, agnoscentesque Verbum non creaturam, sed prolem ex substantia esse ; item Patris substantiam, Filii principium, radicem et fontem esse, ac eumdem ex se veram esse genitoris similitudinem, nec eum quasi natura extraneum, uti nos sumus, a Patre separa-

ποταμὸν εἶναι τὸ ἐκ τῆς πηγῆς γεννώμενον (8). » Εἴρηκεν (9) ὁ ἐπίσκοπος.

45. Εἴπερ οὖν μέμφεται τις τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν, ὡς εἰρηκόσι παρὰ τὰ δόξαντα (10) τοῖς πρὸ αὐτῶν, ὁ αὐτὸς μέμψαιτ' ἂν εἰκότως καὶ τοῖς ἑβδομήκοντα, ὅτι μὴ τὰ τῶν πρὸ αὐτῶν ἐφύλαξαν· πρὸ αὐτῶν δὲ ἦσαν οἱ Διονύσιοι, καὶ οἱ ἐν Ῥώμῃ τὸ τηνικαῦτα συνελθόντες ἐπίσκοποι. Ἀλλ' οὔτε τούτους, οὔτε ἐκείνους ὅσιον αἰτιάσασθαι· πάντες γὰρ ἐπρέσβευον τὰ Χριστοῦ, καὶ πάντες σπουδὴν ἐσχήκασι κατὰ τῶν αἱρετικῶν, καὶ οἱ μὲν τὸν Σαμοσατέα, οἱ δὲ τὴν Ἀρειανὴν αἵρεσιν κατέκριναν. Ὀρθῶς δὲ καὶ οὗτοι κἀκεῖνοι, καὶ καλῶς πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν γεγράφασι. Καὶ ὥσπερ ὁ μακάριος Ἀπόστολος, Ῥωμαίοις μὲν ἐπιστέλλων, ἔλεγεν· « Ὁ νόμος πνευματικός ἐστι· » καὶ, « Ὁ νόμος ἅγιος, » καὶ, « Ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή· » καὶ μετ' ὀλίγον · « Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει· » Ἑβραίοις δὲ ἔγραφεν· « Ὁ νόμος οὐδένα τετελείωκε· » καὶ Γαλαταις μὲν, « Ἐν νόμῳ οὐδεὶς δικαιοῦται· » Τιμοθέῳ δὲ, ὅτι « Καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται· » καὶ οὐκ ἄν τις αἰτιάσαιτο τὸν ἅγιον (11) ὡς ἐναντία καὶ μαχόμενα γράφοντα, ἀλλὰ καὶ μᾶλλον θαυμάσειεν ἁρμοζόντως πρὸς ἑκάστους ἐπιστέλλοντα, ἵνα οἱ μὲν Ῥωμαῖοι καὶ οἱ ἄλλοι μάθωσιν ἀπὸ τοῦ γράμματος ἐπιστρέφειν εἰς τὸ Πνεῦμα· οἱ δὲ Ἑβραῖοι καὶ Γαλάται παιδευθῶσι, μὴ εἰς τὸν νόμον, ἀλλ' εἰς τὸν Κύριον τὸν δεδωκότα τὸν νόμον ἔχειν τὰς ἐλπίδας· οὕτως εἰ ἀμφοτέρων τῶν συνόδων οἱ Πατέρες διαφόρως ἐμνημόνευσαν περὶ τοῦ ὁμοουσίου, οὐ χρὴ πάντως ἡμᾶς διαφέρεσθαι πρὸς αὐτοὺς, ἀλλὰ τὴν διάνοιαν αὐτῶν ἐρευνᾷν, καὶ πάντως εὑρήσομεν ἀμφοτέρων τῶν συνόδων τὴν ὁμόνοιαν. Οἱ μὲν γὰρ τὸν Σαμοσατέα καθελόντες (12), σωματικῶς ἐκλαμβάνοντες τὸ ὁμοούσιον, τοῦ Παύλου σοφίζεσθαί τε θέλοντος καὶ λέγοντος, Εἰ μὴ ἐξ ἀνθρώπου γέγονεν ὁ Χριστὸς Θεὸς, οὐκοῦν ὁμοούσιός ἐστι τῷ Πατρὶ, καὶ ἀνάγκη τρεῖς οὐσίας εἶναι, μίαν μὲν προηγουμένην, τὰς δὲ δύο ἐξ ἐκείνης· διὰ τοῦτ' εἰκότως εὐλαβηθέντες τὸ τοιοῦτον σόφισμα τοῦ Σαμοσατέως, εἰρήκασι μὴ εἶναι τὸν Χριστὸν ὁμοούσιον· οὐκ ἔστι γὰρ οὕτως ὁ Υἱὸς πρὸς τὸν Πατέρα, ὡς ἐκεῖνος ἐνόει· οἱ δὲ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες, θεωρήσαντες τὴν πανουργίαν τοῦ Παύλου, καὶ λογισάμενοι μὴ οὕτως καὶ ἐπὶ τῶν ἀσωμάτων, καὶ μάλιστα ἐπὶ Θεοῦ τὸ ὁμοούσιον σημαίνεσθαι, γινώσκοντές τε μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν Λόγον, καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν, καὶ ῥίζαν, καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ (13), καὶ αὐτοαληθὴς ὁμοιότης ἦν τοῦ γεννήσαντος, οὐχ ὡς ἑτεροφυὴς,

[51] Rom. VII, 14. [52] ibid. 12. [53] Rom. VIII, 3. [54] Hebr. VII, 19. [55] Galat. III, 1. [56] I Tim. I, 8.

(8) Supra pag. 201, τὸν δὲ ποταμὸν εἶναι ἐκ τῆς πηγῆς ὕδωρ.

(9) Sic omnes mss. et edit. Felc. 3 tamen habet οὕτως ante εἴρηκεν.

(10) Sic Regius et Felckm. 3. Editi minus recte, πάντα τὰ δόξαντα.

(11) Felc. 3, τὸ ἅγιον, mendose.

(12) Felckmanni 3, καθελόντες εἰρήκασι μὴ εἶναι τὸν Χριστόν, etc., omissis multis.

(13) Felckmanni 3, εἶναι τοῦ Υἱοῦ, ἔχοντες δὲ καὶ τὰ τῶν, plurimis omissis. Ibidem, edit. Parisiensis, αὐτὸ ἀληθής. Edit. vero Commel. et omnes manuscripti, αὐτοαληθής, rectius.

ὥσπερ ἡμεῖς ἐσμεν, χωριζόμενός ἐστι τοῦ Πατρός· ἀλλ' ὡς ἐξ αὐτοῦ Υἱὸς ἀδιαίρετος ὑπάρχει. ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς· ἔχοντες δὲ καὶ τὰ τῶν περὶ Διονύσιον παραδείγματα, τὴν πηγὴν καὶ τὴν περὶ τοῦ ὁμοουσίου ἀπολογίαν, πρὸ δὲ τούτων τὴν τοῦ Σωτῆρος ἐνοειδῆ φωνήν· « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν· » καὶ, « Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα· » τούτου ἕνεκεν εἰκότως εἰρήκασι καὶ αὐτοὶ ὁμοούσιον τὸν Υἱόν. Καὶ ὥσπερ, καθὰ προεῖπον, οὐκ ἂν εις αἰτιάσαιτο τὸν Ἀπόστολον, εἰ περὶ τοῦ νόμου, Ῥωμαίοις μὲν οὕτως, Ἑβραίοις δὲ οὕτως ἔγραψε· τὸν αὐτὸν τρόπον οὔτε οἱ νῦν τοῖς προτέροις ἐγκαλέσαεεν, βλέποντες αὐτῶν τὴν ἑρμηνείαν· οὔτε οἱ πρότεροι τοὺς μετ' αὐτοὺς μέμψαιντ' ἄν, ὁρῶντες τὴν ἑρμηνείαν αὐτῶν, καὶ τὴν χρείαν δι' ἣν οὕτως ἔγραψαν περὶ τοῦ Κυρίου. Καὶ γὰρ καὶ τὴν αἰτίαν ἑκάστη σύνοδος (14) εὔλογον ἔχει, δι' ἣν οἱ μὲν οὕτως, οἱ δὲ οὕτως εἰρήκασιν. Ἐπειδὴ γὰρ ὁ Σαμοσατεὺς ἐφρόνει μὴ εἶναι πρὸ Μαρίας τὸν Υἱόν, ἀλλ' ἀπ' αὐτῆς ἀρχὴν ἐσχηκέναι τοῦ εἶναι, τούτου ἕνεκεν οἱ τότε συνελθόντες, καθεῖλον μὲν αὐτὸν καὶ αἱρετικὸν ἀπέφηναν· περὶ δὲ τῆς τοῦ Υἱοῦ θεότητος ἁπλούστερον γράφοντες, οὐ κατεγένοντο περὶ τὴν τοῦ ὁμοουσίου ἀκρίβειαν (15), ἀλλ' οὕτως ὡς ἐξειλῆφασι περὶ τοῦ ὁμοουσίου εἰρήκασι. Τὴν φροντίδα γὰρ εἶχον πᾶσαν, ὅπερ ἐπενόησεν ὁ Σαμοσατεὺς, ἀνελεῖν, καὶ δεῖξαι πρὸ πάντων εἶναι τὸν Υἱόν, καὶ ὅτι οὐκ ἐξ ἀνθρώπων γέγονε Θεὸς, ἀλλὰ, Θεὸς ὤν, ἐνεδύσατο δούλου μορφὴν, καὶ Λόγος ὤν, γέγονε σὰρξ, ὡς εἶπεν ὁ Ἰωάννης καὶ οὕτω μὲν κατὰ τῆς (16) βλασφημίας Παύλου πέπρακται. Ἐπειδὴ δὲ καὶ οἱ περὶ Εὐσέβιον καὶ Ἄρειον πρὸ χρόνων μὲν εἶναι τὸν Υἱὸν ἔλεγον, πεποιῆσθαι μέντοι, καὶ ἕνα τῶν κτισμάτων αὐτὸν ἐδίδασκον, καὶ τὸ, ἐκ τοῦ Θεοῦ, οὐχ ὡς Υἱὸν ἐκ Πατρὸς γνήσιον, ἐπίστευον· ἀλλ' ὡς τὰ κτίσματα· οὕτω (17) καὶ ἐπ' αὐτοῦ τὸ ἐκ τοῦ Θεοῦ εἶναι διεβεβαιοῦντο· τήν τε τῆς ὁμοιώσεως ἑνότητα τοῦ Υἱοῦ (18) πρὸς τὸν Πατέρα οὐκ ἔλεγον κατὰ τὴν οὐσίαν, οὐδὲ κατὰ τὴν φύσιν, ὡς ἔστιν υἱὸς ὅμοιος Πατρὶ, ἀλλὰ διὰ τὴν συμφωνίαν τῶν δογμάτων καὶ τῆς διδασκαλίας· ἀλλὰ γὰρ καὶ ἀπεισχολίνιζον καὶ ἀπεξενοῦντο (19) παντελῶς τὴν οὐσίαν τοῦ Υἱοῦ ἀπὸ τοῦ Πατρὸς, ἑτέραν ἀρχὴν αὐτῷ τοῦ εἶναι παρὰ τὸν πατέρα ἐπινοοῦντες (20), καὶ εἰς τὰ κτίσματα καταφέροντες αὐτόν· τούτου χάριν οἱ ἐν Νικαίᾳ συνελθόντες, θεωρήσαντες τὴν πανουργίαν τῶν οὕτω φρονούντων, καὶ (21) συναγαγόντες ἐκ τῶν Γραφῶν τὴν διάνοιαν, λευκότερον γράφοντες, εἰρήκασι τὸ ὁμοούσιον· ἵνα καὶ τὸ γνήσιον ἀληθῶς ἐκ τούτου γνωσθῇ τοῦ Υἱοῦ, καὶ μηδὲν κοινὸν ἔχῃ πρὸς τοῦτον τὰ γενητα (22)· Ἡ γὰρ τῆς λέξεως ταύτης ἀκρίβεια τήν τε ὑπόκρισιν αὐτῶν, ἐὰν λέγωσι

tum esse, sed, cum ex ipso sit, Filium esse indivisum, uti se habet splendor erga lucem ; cum item sibi faverent Dionysii exempla, fontis scilicet vox, et consubstantialis defensio, et ante ista vox Salvatoris index unitatis, « Ego et Pater unum sumus [57], » et, « Qui vidit me vidit et Patrem [58] : » ea, inquam, de causa, jure et ipsi Filium consubstantialem dixerunt. Et sicut, ut supra dixi, nemo Apostolum culpaverit quod de lege Romanis hoc modo, Hebræis alio scripserit, sic nec præsentis temporis homines priscos illo criminati fuerint, si eorum considerent interpretationem ; neque prisci posteros reprehenderint si advertant qua sententia et quo usu ita de Domino scripserunt. Etenim utraque synodus ex legitima causa hoc modo alia, alio alia locuta est. Cum enim Samosatensis Filium sentiret non esse ante Mariam, sed ab alia initium exsistendi accepisse, idcirco episcopi tunc congregati illum deposuerunt, et hæreticum declararunt : de Filii autem divinitate cum simplicius scriberent, ad accuratam consubstantialis interpretationem non devenerunt, sed ut conceperant, de consubstantiali locuti sunt. Tota enim eorum cura in eo posita erat, ut quod Samosatensis commentus fuerat everterent, et ante omnia Filium esse declararent, eumque nequaquam ex homine Deum factum esse, sed Deus cum esset, formam servi induisse, et cum Verbum esset, factum carnem, ut ait Joannes, atque ita adversus Pauli blasphemiam actum est. Cum autem Eusebiani et Ariani, ante tempora quidem Filium fuisse dicerent, factum tamen fuisse, ac unam e creaturis eum esse docerent, et illud, ex Deo, non Filium ex Patre genuinum esse crederent ; sed sicut creaturas, ita eum affirmarent ex Deo esse : unitatem autem similitudinis Filii cum Patre dicerent non esse secundum **GO7** substantiam, nec secundum naturam, quemadmodum filius est patri similis, sed ob solum dogmatum doctrinæque consensum : imo cum substantiam Filii a Patre omnino separarent et alienarent, diversum a Patre initium ipsum habere commenti, ad creaturasque eum deprimentes : ideo qui Nicææ congregati erant, eorum qui ita sentirent vafritiem conspicati, Scripturarumque mente collecta, liquidius scripsere consubstantialem eum esse ; ut hinc vera et genuina Filii natura explorata esset, palamque foret opificia nihil cum eo commune habere. Accurata enim hujus vocis ratio, eorum coarguit simulationem qua hanc proferunt vocem, ex Deo, omnesque eorum ad simpliciores seducendos argutias refellit. Certe cum omnia possint pro libidine sophismatibus eludere ac

[57] Joan. x, 30. [58] Joan. xiv, 9.

(14) Ita Felckmanni 3, optime. Editi et alii, ἑκάστης συνόδου.

(15) Felck. 3, ἀκρίβειαν. Τὴν φροντίδα γάρ, etc.

(16) Felck. 3, καὶ οὕτω μὲν τὰ κατὰ τῆς βλ. Ibid. post Παύλου deletum aliquid in Regio.

(16) Felck. 3, ἐκ Πατρὸς ἐπίστευον, ἀλλ' ὡς ἐπὶ των κτισμάτων οὕτω.

(18) Felck. 3, τοῦ Θεοῦ. Mox idem, ὁ Υἱὸς ὅμοιος τῷ Πατρί.

(19) Felckman. 3, ἀπεξένουν.

(20) Sic Reg. et Felc. 3. In edit., τοῦ εἶναι ἐπινοοῦντες, omisris cæteris.

(21) Sic Reg. In editis vero καί deest.

(22) Felckman. 3, γεννητά. Infra idem ἐκ Θεοῦ, omisso articulo. Reg. mox, διελέγχῃ. Ibidem Regius et Basiliensis, τὰς πιθανότητας, artic. deest in editis.

detorquere, hanc solam vocem, utpote quæ suam hæresin confutet, reformidant; quam Patres, quasi propugnaculum adversus impiam omnem eorum cogitationem, conscripsere.

διελέγχοοσαν αὐτῶν τὴν αἵρεσιν, δεδίασιν· ἣν οἱ Πατέρες ἔγραψαν (23).

A τὸ, ἐκ τοῦ Θεοῦ, ῥητὸν, διελέγχει, καὶ πάσας αὐτῶν τὰ πιθανοτητας, ἐν αἷς ὑφαρπάζουσι τοὺς ἀκεραίους, ἐκβάλλει. Πάντα γοῦν δυνάμενοι σοφίζεσθαι καὶ μεταποιεῖν, ὡς θέλουσι, ταύτην μόνην τὴν λέξιν, ὡς ὥσπερ ἐπιτείχισμα κατὰ πάσης ἀσεβοῦς ἐπινοίας αὐτῶν

46. Cesset ergo omnis contentio, nec ultra in nos mutuo impignamus, disceptemusque num variis modis synodi consubstantialis vocem acceperint Ad defensionem enim legitimas causas pro iis afferendas habemus, cum supra dictas, tum etiam istam: nempe, licet hanc vocem, ingenitum, ex Scripturis non didicerimus, nusquam enim Scripturæ Deum ingenitum dixere; attamen cum multi præclari viri de illo nomine mentionem fecerint. accurate de illo sciscitati, agnovimus hoc nomen diversa significare: alii enim aiunt ingenitum esse id quod exsistit, nec tamen genitum est, neque omnino causam habet: alii vero, id quod creatum non est. Si quis igitur harum significationum priorem respiciens, qua intelligitur ingenitum esse quod nullam habet causam, diceret Filium non esse ingenitum; non ideo si quem conspicatus qui, juxta sententiam quæ ait ipsum nec opificium nec creaturam, sed æternam prolem esse, eum ingenitum diceret, illum propterea criminaretur. Uterque enim juxta proprium scopum probe locutus esset; ita quoque si ex Patribus alii alio modo de consubstantiali locuti sunt, ne contendamus: sed pie eorum dicta excipiamus, dum maxime toto studio pietati operam dederunt.

46. Πεπαύσθω τοίνυν πᾶσα φιλονεικία, καὶ μηκέτι προσκόπτωμεν ἡμεῖς, εἰ διαφόρως ἐξειλήφασιν αἱ σύνοδοι τὴν τοῦ ὁμοουσίου λέξιν. Ἔχομεν γὰρ (24) εἰς ἀπολογίαν εὐλόγους περὶ αὐτῶν αἰτίας, τὰ προειρημένας μὲν, καὶ ταύτην δὲ· τὸ ἀγέννητον (25), εἰ καὶ μὴ παρὰ τῶν Γραφῶν μεμαθήκαμεν, οὐδαμοῦ γὰρ ἀγέννητον τὸν Θεὸν εἰρήκασιν αἱ Γραφαὶ, ὅμως ἐπειδὴ καὶ πολλοὶ τῶν δοκούντων ἐμνημόνευσαν τοῦ ὀνόματος, φιλοπευστήσαντες ἔγνωμεν ὅτι καὶ τοῦτο τὸ ὄνομα διάφορα ἔχει τὰ σημαινόμενα· καὶ οἱ μὲν τὸ ὂν μὲν, μήτε δὲ γεννηθὲν, μήτε ὅλως ἔχον τὸν αἴτιον λέγουσιν ἀγέννητον (26)· οἱ δὲ τὸ ἄκτιστον. Ὥσπερ οὖν τούτων οὕτω σημαινομένων, εἰ ὁ μέν τις ἀποβλέπων εἰς τὸ πρότερον σημαινόμενον, τὸ, μὴ ἔχον τὸν αἴτιον, ἔλεγε μὴ εἶναι ἀγέννητον (27) τὸν Υἱὸν, οὐκ ἂν κατηγόρει βλέπων ἕτερον βλέποντα εἰς τὸ μὴ εἶναι ποίημα μηδὲ κτίσμα, ἀλλ' ἀΐδιον (28) γέννημα, καὶ λέγοντα ἀγέννητον τὸν Υἱόν. Ἀμφότεροι γὰρ πρὸς τὸν ἴδιον σκοπὸν ὁρῶντες, καλῶς εἰρήκασιν· οὕτως εἰ καὶ τῶν Πατέρων οἱ μὲν οὕτως, οἱ δὲ οὕτως εἰρήκασι περὶ τοῦ ὁμοουσίου, μὴ φιλονεικῶμεν ἡμεῖς, ἀλλ' εὐσεβῶς τὰ παρ' αὐτῶν δεχώμεθα, ἕως μάλιστα τὴν σπουδὴν εἶχον εἰς εὐσέβειαν.

B

47. Ignatius certe, qui post apostolos Antiochiæ episcopus constitutus est, ipseque martyr Christi fuit, de Domino scribens, dixit (30): « Unus medicus est carnalis et spiritualis, factus et non factus, in homine Deus, in morte vita vera, et ex Maria et ex Deo. » Quidam autem post Ignatium et ipsi ex magistris nostris scribunt: « Unum non factum est, scilicet Pater: et unus ex ipso Filius germanus, proles vera, Verbum et sapientia Patris. » Si itaque illis etiam adversamur, sit nobis adversum synodos quoque certamen. Quod si gnari eorum in Christo fidei, persuasum habemus beatum etiam Ignatium

47. Ἰγνάτιος οὖν (29), ὁ μετὰ τοὺς ἀποστόλους ἐν Ἀντιοχείᾳ καταστασθεὶς ἐπίσκοπος, καὶ μάρτυς τοῦ Χριστοῦ γενόμενος, γράφων περὶ τοῦ Κυρίου, εἴρηκεν· « Εἷς ἰατρός ἐστι, σαρκικὸς καὶ πνευματικὸς, γενητὸς καὶ ἀγένητος (31), ἐν ἀνθρώπῳ Θεὸς, ἐν θανάτῳ ζωὴ ἀληθινὴ, καὶ ἐκ Μαρίας καὶ ἐκ Θεοῦ. » Τινὲς δὲ καὶ τῶν μετὰ Ἰγνάτιον διδάσκαλοι καὶ αὐτοὶ γράφουσιν· « Ἓν τὸ ἀγένητον (32) ὁ Πατὴρ, καὶ εἷς ὁ ἐξ αὐτοῦ Υἱὸς γνήσιος, γέννημα ἀληθινὸν, Λόγος καὶ Σοφία τοῦ Πατρός. » Εἰ μὲν οὖν καὶ πρὸς τούτους ἐναντίως διακείμεθα, ἔστω καὶ πρὸς τὰς συνόδους ἡμῖν ἡ μάχη. Εἰ δὲ, τὴν ἐν Χριστῷ πίστιν αὐτῶν

C

(23) Sic Felckman. 2, recte. Editi et alii, ταύτην ἔγραψαν.

(24) Sic Felc. 3. In cæteris et editis γάρ deest.

(25) Sic Reg. et Felck. 3. Editi vero, ἀγένητον. Paulo post edit. Commel., ἀγένητον. Edit. vero Paris. cum Reg. et Felck. 3, ἀγέννητον. Vide quæ de hac voce dicta sunt Epist. *de Decretis Nicænis* in Monito et n. 28. Ἀγένητον et ἀγέννητον confundit Athanasius.

(26) Sic Felck. 3. In editis et cæteris mss hæc, οἱ δὲ τὸ ἄκτιστον desiderantur; germana tamen sunt respondentque priori περικοπῇ parti, οἱ μέν, etc. Reg. ibid., ἀγέννητον prima manu, secunda vero, ἀγένητον.

(27) Sic Felc. 3, et Reg. (in quo tamen unum ν supra positum est), et edit. Paris. Edit. vero Commel. ἀγένητον.

(28) Felc. 3, Ἴδιον. Mox idem cum edit. Comm. et Paris. ἀγέννητον. Et ita Reg. etiam, in quo tamen unum ν abrasum fuit. Paulo post in Reg. post εἰρήκασιν ponitur interpunctio, quæ in edit. post οὕτως habetur. Infra ante μὴ φιλονεικῶμεν, legitur καί in edit., sed deest in Reg. et Felc. 2. In hoc postremo mox δεχόμενα, et in eodem, εἰς ante εὐσέβειαν deest.

D

(29) Regius codex γοῦν.

(30) Hunc locum vide epist. Ignatii ad Ephes., cap. 7.

(31) Felc. 3, γεννητὸς καὶ ἀγέννητος, et ita legitur in Ignatii epistola ad Ephesios cap. 7. Editi et alii, γενητὸς καὶ ἀγένητος, atque vera hæc est Athanasii lectio ut ex inferioribus liquet. Mox in editis Ignatii legitur, ἐν ἀθανάτῳ ζωὴ ἀληθινή. Sed præstat Athanasii lectio: nam opposita sunt hæc omnia. Ibidem Felc. 3. Καὶ γὰρ ἐκ Μαριας.

(32) Felc. 2, ἀγέννητον, et ita Reg. secunda manu. Cæteri et editi, ἀγένητον. Mox ὁ ante ἐξ αὐτοῦ deest in Felckm. 3.

γινώσκοντες, πεπείσμεθα, ὅτι καὶ ὁ μακάριος Ἰγνάτιος ὀρθῶς ἔγραψε, γενητὸν αὐτὸν λέγων διὰ τὴν σάρκα (ὁ γὰρ Χριστὸς σὰρξ ἐγένετο· ἀγένητον δὲ, ὅτι μὴ τῶν ποιημάτων καὶ γενητῶν ἐστιν, ἀλλ' Υἱὸς ἐκ Πατρός. Οὐκ ἀγνοοῦμεν δὲ, ὅτι καὶ οἱ εἰρηκότες ἓν τὸ ἀγένητον (33) τὸν Πατέρα λέγοντες, οὐχ ὡς γενητοῦ καὶ ποιήματος ὄντος τοῦ Λόγου οὕτως ἔγραψαν, ἀλλ' ὅτι μὴ ἔχει (34) τὸν αἴτιον· καὶ μᾶλλον αὐτὸς Πατὴρ μέν ἔστι τῆς Σοφίας, τὰ δὲ γενητὰ πάντα ἐν σοφίᾳ πεποίηκε· διὰ τί μὴ καὶ τοὺς (35) Πατέρας, τούς τε τόν Σαμοσατέα καθελόντας, καὶ τὴν Ἀρειανὴν αἵρεσιν στηλιτεύσαντας, εἰς εὐσέβειαν συνάγομεν, ἀλλὰ διαστέλλομεν ἀνὰ μέσον αὐτῶν, καὶ οὐ μᾶλλον ὀρθῶς περὶ αὐτῶν φρονοῦμεν; ὅτι κἀκεῖνοι, καθάπερ εἶπον, πρὸς τὸ σόφισμα τοῦ Σαμοσατέως, καὶ τὴν ἑρμηνείαν αὐτοῦ τὴν διάνοιαν ἔχοντες, ἔγραψαν, Οὐκ ἔστιν ὁμοούσιος· καὶ οὗτοι δὲ, καλῶς νοήσαντες, εἰρήκασιν ὁμοούσιον εἶναι τὸν Υἱόν. Καὶ γὰρ κἀγὼ τοιαῦτα μὲν νοῶν (36) περὶ τῶν εὐσεβούντων εἰς τὸν Χριστὸν δι' ὀλίγων ἔγραψα· εἰ δὲ δυνατὸν ἦν εὐπορῆσαι καὶ τῆς ἐπιστολῆς, ἣν λέγουσιν ἐκείνους (37) γεγραφέναι, ἡγοῦμαι πλείους εὑρεθήσεσθαι τὰς προφάσεις, δι' ἃς ἠναγκάσθησαν οὕτω γράψαι οἱ μακάριοι ἐκεῖνοι. Δεῖ γὰρ ἡμᾶς καὶ πρέπει τοιαῦτα φρονεῖν, τοιαύτην τε σώζειν ἀγαθὴν συνείδησιν πρὸς τοὺς Πατέρας, εἴγε μὴ νόθοι τυγχάνομεν, ἀλλ' ἐξ αὐτῶν ἔχομεν τὰς παραδόσεις, καὶ παρ' αὐτῶν τὴν τῆς εὐσεβείας διδασκαλίαν.

(48). Τοιαύτη μὲν οὖν ἡ διάνοια τῶν Πατέρων λεγέσθω καὶ πιστευέσθω. Φέρε δὲ καὶ μετ' αὐτῶν πάλιν ἐξετάσωμεν τὸ πρᾶγμα πράως, καὶ μετὰ συνειδήσεως ἀγαθῆς, μνημονεύσαντες (38) καὶ τῶν προειρημένων· εἰ μὴ τῷ ὄντι δείκνυνται καλῶς φρονήσαντες οἱ ἐν τῇ Νικαίᾳ συνελθόντες ἐπίσκοποι. Εἰ μὲν ποίημά ἐστιν ὁ Λόγος, καὶ ἀλλότριος τῆς τοῦ Πατρὸς οὐσίας, ὥστε καὶ χωρίζεσθαι αὐτὸν ἀπὸ τοῦ Πατρὸς τῷ ἑτεροφυεῖ χωριστῷ, οὐκ ἂν εἴη ὁμοούσιος τῷ Πατρί, ἀλλὰ μᾶλλον ὁμογενὴς (39) τῇ φόσει τοῖς ποιήμασι, κἂν ὑπερβάλλῃ τῇ χάριτι· εἰ δὲ ὁμολογοῦμεν μὴ εἶναι αὐτὸν ποίημα, ἀλλὰ γνήσιον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γέννημα, ἀκόλουθον ἂν εἴη καὶ ἀχώριστον αὐτὸν εἶναι τοῦ Πατρὸς, ὁμοφυῆ ὄντα διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι. Τοιοῦτος, δὲ ὢν, εἰκότως καὶ ὁμοούσιος ἂν λέγοιτο. Ἔπειτα εἰ μὴ ἐκ μετουσίας ἐστὶν ὁ Υἱός, ἀλλὰ τῇ οὐσίᾳ Λόγος ἐστὶ καὶ Σοφία τοῦ Πατρὸς, ἡ δὲ οὐσία αὕτη τῆς οὐσίας τῆς πατρικῆς ἐστι γέννημα καὶ ὁμοιότης αὐτῆς, ὥσπερ καὶ τὸ ἀπαύγασμα τοῦ φωτός· λέγει δὲ ὁ Υἱὸς, « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν, » καὶ, « Ὁ ἐμὲ ἑωρακὼς (40) ἑώρακε τὸν Πατέρα· » πῶς δεῖ νοεῖν ταύτας τὰς φωνάς; ἢ πῶς αὐτὰς ἐκλαμβάνοντες, σώσομεν τὸ ἓν εἶναι

A recte scripsisse, cum illum carnis causa factum dixit (Christus enim caro factus est), et non-factum, quia non ex opificiis et rebus factis est, sed Filius ex Patre : nec ignoramus eos qui unum non-factum, **608** scilicet Patrem dixere, non quasi Verbum sit res facta aut opificium ita scripsisse ; sed quia nullam Pater habeat causam ; imo potius, quia ipse quidem Pater sit Sapientiæ, opificia autem omnia in sapientia fecerit; cur non etiam Patres, cum eos qui Samosatensem deposuere,tum eos qui Arianam hæresim infamia notarunt, in unum pietatis tuendæ studium conjungimus, imo segregamus, et quare non potius de illis recte sentimus : quandoquidem, uti jam dixi, priores illi solum Samosatensis sophisma, et ejus interpretationem spectantes scripsere non esse Christum consubstantialem: hi vero B verba sane intelligentes, dixere Filium esse consubstantialem ? Equidem cum tali de piis illis erga Christum viris sim sententia, hæc paucis conscripsi. Quod si epistolæ, quam illos scripsisse dicunt, mihi copia fuisset, existimo plures deprehensurum me fuisse causas, cur beati illi ita scribere coacti sint. Par est enim decetque nos ita sentire, probumque erga Patres animum servare, si tamen spurii non sumus, et si ab illis traditiones pietatisque doctrinam tenemus.

48. Talem igitur Patrum fuisse mentem dicamus, credamusque. Age vero rursum cum illis rem placide et bono animo iuquiramus, deque supra dictis C mentionem faciamus : annon revera demonstrari possit episcopos Nicææ congregatos recte sensisse ? Si Verbum est res facta et alienum a Patris substantia, ita ut a Patre segregetur, imo ea separatione quæ a diversitate naturæ proficiscatur, Patri certe consubstantiale nequaquam fuerit ; sed potius ejusdem naturæ, cujus res factæ, etsi illis gratia antecellat. Quod si confiteamur eum non esse opificium, sed genuinam ex Patris substantia prolem, consequens sane fuerit eum inseparabilem esse a Patre, cum sit ejusdem naturæ, utpote ab illo genitus. Talis autem cum sit, jure consubstantialis dicatur. Deinde si non ex participatione Filius est, sed substantia ipsa Verbum est et Sapientia Patris : hæc autem substantia, paternæ substantiæ fetus est et D ejus similitudo, veluti splendor est similitudo lucis, Filiusque dicit : « Ego et Pater unum sumus [59] ; » et : « Qui vidit me, vidit et Patrem [60] ; » quomodo hæ voces intelligendæ sunt ? aut qua mente eas accipientes,Patrem et Filium unum esse tuebimur?Nam

[59] Joan. x, 30. [60] Joan. xiv, 9.

(33) Regius et Felc. 2, ἀγέννητον. Editi vero et alii. ἀγένητον.

(34) Regius codex, ἔχῃ.

(35) Ita Felckman.3. In editis et aliis, τούς deest.

(36) Ita editio Commeliniana et omnes manuscripti. Editio Parisiensis νοοῦν, male.

(37) Editi, ἐκεῖνον. Regius et Felckman. 3, recte, ἐκείνους habent. Nam loquitur hic de Patribus Antiochenis, a quibus ait verisimile non esse vocem ὁμοούσιον absolute et absque ulla exceptione pro scriptam fuisse.

(38) Felc. 3, μνημονεύοντες. Editi et alii, μνημονεύσαντες. Mox Felckman. 3, δείκνυται.

(39) Regius codex, ὁ μονογενής. Felc. 3, μονογενής tantum. Mox Regius codex, ὑπερβάλλει.

(40) Editio Commel. mendose ἑωρακάς.

(32) Felc. 2, ἀγέννητον, et ita Reg. secunda manu. Cæteri et editi, ἀγένητον. Mox ὁ ante ἐξ αὐτοῦ deest in Felckm. 3.

γινώσκοντες, πεπείσμεθα, ὅτι καὶ ὁ μακάριος Ἰγνάτιος ὀρθῶς ἔγραψε, γενητόν αὐτὸν λέγων διὰ τὴν σάρκα (ὁ γὰρ Χριστὸς σὰρξ ἐγένετο· ἀγένητον δὲ, ὅτι μὴ τῶν ποιημάτων καὶ γενητῶν ἐστιν, ἀλλ' Υἱὸς ἐκ Πατρός. Οὐκ ἀγνοοῦμεν δὲ, ὅτι καὶ οἱ εἰρηκότες ἓν τὸ ἀγένητον (33) τὸν Πατέρα λέγοντες, οὐχ ὡς γενητοῦ καὶ ποιήματος ὄντος τοῦ Λόγου οὕτως ἔγραψαν, ἀλλ' ὅτι μὴ ἔχει (34) τὸν αἴτιον· καὶ μᾶλλον αὐτὸς Πατὴρ μέν ἔστι τῆς Σοφίας, τὰ δὲ γενητὰ πάντα ἐν σοφίᾳ πεποίηκε· διὰ τί μὴ καὶ τοὺς (35) Πατέρας, τούς τε τόν Σαμοσατέα καθελόντας, καὶ τὴν Ἀρειανὴν αἵρεσιν στηλιτεύσαντας, εἰς εὐσέβειαν συνάγομεν, ἀλλὰ διαστέλλομεν ἀνὰ μέσον αὐτῶν, καὶ οὐ μᾶλλον ὀρθῶς περὶ αὐτῶν φρονοῦμεν; ὅτι κἀκεῖνοι, καθάπερ εἶπον, πρὸς τὸ σόφισμα τοῦ Σαμοσατέως, καὶ τὴν ἑρμηνείαν αὐτοῦ τὴν διάνοιαν ἔχοντες, ἔγραψαν, Οὐκ ἔστιν ὁμοούσιος· καὶ οὗτοι δὲ, καλῶς νοήσαντες, εἰρήκασιν ὁμοούσιον εἶναι τὸν Υἱόν. Καὶ γὰρ κἀγὼ τοιαῦτα μὲν νοῶν (36) περὶ τῶν εὐσεβούντων εἰς τὸν Χριστὸν δι' ὀλίγων ἔγραψα· εἰ δὲ δυνατὸν ἦν εὐπορῆσαι καὶ τῆς ἐπιστολῆς, ἣν λέγουσιν ἐκείνους (37) γεγραφέναι, ἡγοῦμαι πλείους εὑρεθήσεσθαι τὰς προφάσεις, δι' ἃς ἠναγκάσθησαν οὕτω γράψαι οἱ μακάριοι ἐκεῖνοι. Δεῖ γὰρ ἡμᾶς καὶ πρέπει τοιαῦτα φρονεῖν, τοιαύτην τε σώζειν ἀγαθὴν συνείδησιν πρὸς τοὺς Πατέρας, εἴγε μὴ νόθοι τυγχάνομεν, ἀλλ' ἐξ αὐτῶν ἔχομεν τὰς παραδόσεις, καὶ παρ' αὐτῶν τὴν τῆς εὐσεβείας διδασκαλίαν.

(48). Τοιαύτη μὲν οὖν ἡ διάνοια τῶν Πατέρων λεγέσθω καὶ πιστευέσθω. Φέρε δὲ καὶ μετ' αὐτῶν πάλιν ἐξετάσωμεν τὸ πρᾶγμα πράως, καὶ μετὰ συνειδήσεως ἀγαθῆς, μνημονεύσαντες (38) καὶ τῶν προειρημένων· εἰ μὴ τῷ ὄντι δείκνυνται καλῶς φρονήσαντες οἱ ἐν τῇ Νικαίᾳ συνελθόντες ἐπίσκοποι. Εἰ μὲν ποίημά εστιν ὁ Λόγος, καὶ ἀλλότριος τῆς τοῦ Πατρὸς οὐσίας, ὥστε καὶ χωρίζεσθαι αὐτὸν ἀπὸ τοῦ Πατρὸς τῷ ἑτεροφυεῖ χωριστῷ, οὐκ ἂν εἴη ὁμοούσιος τῷ Πατρί, ἀλλὰ μᾶλλον ὁμογενὴς (39) τῇ φόσει τοῖς ποιήμασι, κἂν ὑπερβάλλῃ τῇ χάριτι· εἰ δὲ ὁμολογοῦμεν μὴ εἶναι αὐτὸν ποίημα, ἀλλὰ γνήσιον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γέννημα, ἀκόλουθον ἂν εἴη καὶ ἀχώριστον αὐτὸν εἶναι τοῦ Πατρὸς, ὁμοφυῆ ὄντα διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι. Τοιοῦτος, δὲ ὢν, εἰκότως καὶ ὁμοούσιος ἂν λέγοιτο. Ἔπειτα εἰ μὴ ἐκ μετουσίας ἐστὶν ὁ Υἱός, ἀλλὰ τῇ οὐσίᾳ Λόγος ἐστὶ καὶ Σοφία τοῦ Πατρὸς, ἡ δὲ οὐσία αὕτη τῆς οὐσίας τῆς πατρικῆς ἐστι γέννημα καὶ ὁμοιότης αὐτῆς, ὥσπερ καὶ τὸ ἀπαύγασμα τοῦ φωτός· λέγει δὲ ὁ Υἱὸς, « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν, » καὶ, « Ὁ ἐμὲ ἑωρακὼς (40) ἑώρακε τὸν Πατέρα· » πῶς δεῖ νοεῖν ταύτας τὰς φωνάς; ἢ πῶς αὐτὰς ἐκλαμβάνοντες, σώσομεν τὸ ἕν εἶναι

A recte scripsisse, cum illum carnis causa factum dixit (Christus enim caro factus est), et non-factum, quia non ex opificiis et rebus factis est, sed Filius ex Patre : nec ignoramus eos qui unum non-factum, **608** scilicet Patrem dixere, non quasi Verbum sit res facta aut opificium ita scripsisse ; sed quia nullam Pater habeat causam ; imo potius, quia ipse quidem Pater sit Sapientiæ, opificia autem omnia in sapientia fecerit; cur non etiam Patres, cum eos qui Samosatensem deposuere, tum eos qui Arianam hæresim infamia notarunt, in unum pietatis tuendæ studium conjungimus, imo segregamus, et quare non potius de illis recte sentimus : quandoquidem, uti jam dixi, priores illi solum Samosatensis sophisma, et ejus interpretationem spectantes scripsere non esse Christum consubstantialem : hi vero B verba sane intelligentes, dixere Filium esse consubstantialem ? Equidem cum tali de piis illis erga Christum viris sim sententia, hæc paucis conscripsi. Quod si epistolæ, quam illos scripsisse dicunt, mihi copia fuisset, existimo plures deprehensurum me fuisse causas, cur beati illi ita scribere coacti sint. Par est enim decetque nos ita sentire, probumque erga Patres animum servare, si tamen spurii non sumus, et si ab illis traditiones pietatisque doctrinam tenemus.

48. Talem igitur Patrum fuisse mentem dicamus, credamusque. Age vero rursum cum illis rem placide et bono animo iuquiramus, deque supra dictis C mentionem faciamus : annon revera demonstrari possit episcopos Nicææ congregatos recte sensisse ? Si Verbum est res facta et alienum a Patris substantia, ita ut a Patre segregetur, imo ea separatione quæ a diversitate naturæ proficiscatur, Patri certe consubstantiale nequaquam fuerit ; sed potius ejusdem naturæ, cujus res factæ, etsi illis gratia antecellat. Quod si confiteamur eum non esse opificium, sed genuinam ex Patris substantia prolem, consequens sane fuerit eum inseparabilem esse a Patre, cum sit ejusdem naturæ, utpote ab illo genitus. Talis autem cum sit, jure consubstantialis dicatur. Deinde si non ex participatione Filius est, sed substantia ipsa Verbum est et Sapientia Patris : hæc autem substantia, paternæ substantiæ fetus est et D ejus similitudo, veluti splendor est similitudo lucis, Filiusque dicit : « Ego et Pater unum sumus [59] ; » et : « Qui vidit me, vidit et Patrem [60] ; » quomodo hæ voces intelligendæ sunt ? aut qua mente eas accipientes, Patrem et Filium unum esse tuebimur? Nam

[59] Joan. x, 30. [60] Joan. xiv, 9.

(33) Regius et Felc. 2, ἀγέννητον. Editi vero et alii. ἀγένητον.

(34) Regius codex, ἔχῃ.

(35) Ita Felckman.3. In editis et aliis, τούς deest.

(36) Ita editio Commeliniana et omnes manuscripti. Editio Parisiensis νοοῦν, male.

(37) Editi, ἐκεῖνον. Regius et Felckman. 3, recte, ἐκείνους habent. Nam loquitur hic de Patribus Antiochenis, a quibus ait verisimile non esse vocem ὁμοούσιον absolute et absque ulla exceptione pro scriptam fuisse.

(38) Felc. 3, μνημονεύοντες. Editi et alii, μνημονεύσαντες. Mox Felckman. 3, δείκνυται.

(39) Regius codex, ὁ μονογενής. Felc. 3, μονογενὴς tantum. Mox Regius codex, ὑπερβάλλει.

(40) Editio Commel. mendose ἑωρακάς.

si ob dogmatum consensum, et quod Pater a Filio non dissentiat, ut dicunt Ariani, prava sane est hæc intelligendi ratio. Etenim sancti, et multo magis angeli et archangeli, hujusmodi habent cum Deo consensum, nec ulla apud ipsos est dissensio; nam qui discors fuit diabolus, e cœlo cadere visus est, ut ait Dominus. Si ergo ob consensum Pater et Filius unum sunt, etiam opificia quæ ita cum Deo consentient, unum cum eo fuerint, quorum quodque dicere possit: « Ego et Pater unum sumus. » Quod si absurdum hoc sit, ut revera, est, necesse demum fuerit Filii et Patris unitatem secundum substantiam intelligere. Res factæ enim quantumvis cum opifice suo consensum habeant: motu tantum, participatione, et mente eum habent, quem cum ille non servasset, ejectus ex cœlo est. Filius autem cum sit ex substantia fetus, substantia quoque ipse et, qui genuit eum, Pater unum sunt.

49. Quamobrem vocibus unitatem indicantibus æqualitatem cum Patre habere dicitur, et hinc fit ut quæ **609** de Patre dicuntur, eadem de Filio Scripturæ asserant: ea tamen exceptione quod ille Pater dicatur. Ipse enim Filius ait: « Omnia quæcunque habet Pater, mea sunt [61]; » Patrique dixit: « Omnia mea, tua sunt, et tua mea [62]. » Hujusmodi est illud, Deus: nam, « Deus erat Verbum [63]; » et illud, Omnipotens: « Hæc dicit qui est, et qui erat, et qui venturus est Omnipotens [64]; » et quod sit lux: « Ego sum, » inquit, « lux [65]; » quod sit creatrix causa, nam, « Omnia per ipsum facta sunt [66], » et, « Quæ video Patrem facientem, hæc et ego facio [67]; » quod sit æternus: « Sempiterna » enim « quoque ejus virtus et divinitas [68], » et, « In principio erat Verbum [69]; » et, « Erat lux vera quæ illuminat omnem hominem venientem in mundum [70]; » quod sit Dominus. « Pluit enim Dominus ignem et sulphur a Domino [71]; » et Pater quidem ait: « Ego Dominus [72], » et, « Hæc dicit Dominus Deus omnipotens [73]; » de Filio autem inquit Paulus: « Unus Dominus Jesus Christus, per quem omnia [74]. » Patri ministrant angeli, Filius autem ab ipsis adoratur: « Et adorent eum omnes angeli Dei [75]. » Dicitur etiam esse Dominus angelorum, nam, « Angeli ministrabant ei [76]; » et, « Mittet Filius hominis angelos suos [77]; » quod honoretur sicut Pater: « Ut », inquit, « honorificent Filium, sicut honorificant Patrem [78]. » Quod sit æqualis Deo: « Non

A τὸν Πατέρα καὶ σὸν Υἱόν; Εἰ μὲν οὖν τῇ συμφωνίᾳ τῶν δογμάτων, καὶ τῷ μὴ διαφωνεῖν πρὸς τὸν Πατέρα, ὡς οἱ Ἀρειανοὶ λέγουσι, φαῦλος ὁ τοιοῦτος νοῦς. Καὶ γὰρ καὶ οἱ ἅγιοι (41), καὶ μᾶλλόν γε ἄγγελοι καὶ ἀρχάγγελοι, τὴν τοιαύτην ἔχουσι πρὸς τὸν Θεόν συμφωνίαν, καὶ οὐδεμία παρ' αὐτοῖς ἐστι διαφωνία. Ὁ γὰρ διαφωνήσας διάβολος ἐθεωρήθη αἴπτων ἐκ τῶν οὐρανῶν, ὡς εἶπεν ὁ Κύριος. Οὐκοῦν εἰ διὰ τὴν συμφωνίαν ἓν ἐστιν ὁ Πατὴρ καὶ ὁ Υἱός, εἴη ἂν καὶ τῶν γενητῶν τὰ συμφωνοῦντα οὕτω πρὸς τὸν Θεὸν, καὶ εἶποι ἄν ἕκαστος. « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν. » Εἰ δὲ τοῦτο ἄτοπον· ἄτοπον γάρ ἐστιν ἀληθῶς· ἀνάγκη λοιπὸν κατὰ τὴν οὐσίαν νοεῖν καὶ τὴν Υἱοῦ καὶ Πατρὸς ἑνότητα. Τὰ μὲν γὰρ γενητὰ κἂν συμφωνίαν ἔχῃ πρὸς τὸν πεποιηκότα, ἀλλ' ἐν κιτήσει καὶ μετουσίᾳ καὶ νῷ ταύτην ἔχει, ἥνπερ B περ (42) ϱ μὴ φυλάξας ἐκβέβληται τῶν οὐρανῶν· Ὁ δὲ Υἱὸς ἐκ τῆς οὐσίας ὢν γέννημα, οὐσίᾳ ἓν ἐστιν (43) αὐτὸς καὶ ὁ γεννήσας αὐτόν Πατήρ.

49. Διὰ τοῦτο γὰρ καὶ τὸ ἰσάζον ἔχει πρὸς τὸν Πατέρα ταῖς ἐνοειδέσι φωναῖς, καὶ τὰ ἐπὶ τοῦ Πατρὸς λεγόμενα, ταῦτα καὶ ἐπὶ Υἱοῦ λέγουσιν αἱ Γραφαὶ χωρὶς μόνον (44) τοῦ λέγεσθαι αὐτὸν Πατέρα. Αὐτὸς γὰρ εἶπεν ὁ Υἱός· « Πάντα ὅσα ἔχει ὁ Πατήρ. ἐμά ἐστι· » τῷ τε Πατρὶ ἔλεγε· « Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· » οἷον τὸ, Θεός. « Θεὸς » γὰρ (45) « ἦν ὁ Λόγος· » τὸ, Παντοκράτωρ· « Τάδε λέγει ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος ὁ Παντοκράτωρ· » τὸ εἶναι φῶς· « Ἐγώ εἰμι, » φησὶ, « τὸ φῶς· » τὸ δημιουργικὸν αἴτιον· « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο· » καὶ, « Ἃ βλέπω τὸν Πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ· » τὸ C εἶναι ἀΐδιον· « Ἥ τε » γὰρ « ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης (46), » καὶ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » καὶ, Ἡ τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· » τὸ εἶναι Κύριός· « Ἔβρεξε γὰρ Κύριος θεῖον καὶ πῦρ παρὰ Κυρίου· » καὶ ὁ μὲν Πατὴρ φησιν· « Ἐγὼ Κύριος, » καὶ, « Τάδε λέγει Κύριος ὁ Θεὸς (47) ὁ παντοκράτωρ· » περὶ δὲ τοῦ Υἱοῦ ὁ Παῦλός φησιν· « Εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. » Καὶ τῷ μὲν Πατρὶ λειτουργοῦσιν ἄγγελοι· ὁ δὲ Υἱὸς προσκυνεῖται παρ' αὐτῶν· « Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Λέγεται δὲ εἶναι (48) καὶ Κύριος ἀγγέλων· « Διηκόνουν » γὰρ « αὐτῷ οἱ ἄγγελοι· » καὶ, « Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ· » τὸ τιμᾶσθαι ὡς τὸν Πατέρα· « Ἵνα » γὰρ, φησὶ, « τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα· » τὸ εἶναι D ἴσα Θεῷ· » Οὐχ (49) ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα

[61] Joan. xvi, 15. [62] Joan. xvii, 10. [63] Joan. i, 1. [64] Apoc. i, 8 [65] Joan. viii, 12. [66] Joan. i, 3. [67] Joan. v, 19, [68] Rom. i, 20. [69] Joan. i, 1. [70] ibid. 9. [71] Gen. xix, 24. [72] Malach. iii, 6. [73] Gen. xvii, 1. [74] I Cor. viii, 6. [75] Hebr. i, 6. [76] Matth. iv, 11. [77] Matth. xxiv, 31. [78] Joan. v, 25.

(41) Felc. 3. καὶ γὰρ οἱ ἄγγελοι, malo.

(42) Sic Felc. 3, recte. Editi et cæteri, ὥσπερ.

(43) Sic Felc. 1. In editis vero, καὶ ἓν ἐστι. Ibid. Felckm. 3, ἓν ἐστι γεννήσαντα αὐτὸν Πατέρα ταῖς ἐνοειδ., omissis quibusdam.

(44) Sic Felckm. 3. At editi et cæteri habent μόνου.

(45) Regius codex, Καὶ Θεὸς γάρ. Mox Felck. 3, τὸ, ὁ Παντοκράτωρ. Paulo post ὁ deest in Regio ante ἐρχόμενος.

(46) Ita legitur in Regio et in Græco Scripturæ textu. Editi, καὶ ἡ θεότης. Felckman. 3, καὶ ἡ θειότης.

(47) Ὁ Θεὸς deest in Felckm. 3.

(48) Sic Felckm. 3 Regius, Λέγεται εἶναι. Edit., Λέγεται γὰρ εἶναι.

(49) Regius codex, Ἴσα Θεῷ· τὸ εἶναι ἐξ, omissis mediis.

Θεῷ· » τὸ εἶναι ἐξ ἀληθινοῦ ἀλήθειαν, καὶ ἐκ ζῶντος ζωὴν, ὡς ἀπὸ πηγῆς ὄντως (50) τοῦ Πατρὸς, τὸ ζωοποιεῖν τὸν Υἱὸν καὶ ἐγείρειν τοὺς νεκροὺς ὥσπερ ὁ Πατήρ. οὕτω γὰρ ἐν τῷ Εὐαγγελίῳ γέγραπται. Καὶ περὶ μὲν τοῦ Πατρὸς γέγραπται· « Κύριος ὁ Θεός σου, Κυριος εἷς ἐστι· » καὶ, « Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν· » περὶ δὲ τοῦ Υἱοῦ Θεὸς Κύριος, καὶ, « Ἐπέφανεν ἡμῖν, » καὶ, « Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών· » πάλιν τε (51) περὶ μὲν τοῦ Θεοῦ φησιν ὁ Ἡσαΐας· « Τίς Θεὸς, ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας; ὁ δὲ Υἱὸς ἔλεγεν οἷς ἤθελεν· « Ἀφέωνταί σου αἱ ἁμαρτίαι (52)· » ὅτε καὶ τῶν Ἰουδαίων γογγυζόντων, ἔργῳ τὴν ἄφεσιν ἐδείκνυε, λέγων τῷ παραλυτικῷ· « Ἔγειραι. ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. » Καὶ περὶ μὲν τοῦ Θεοῦ ἔλεγεν (53) ὁ Παῦλος· « Τῷ δὲ βασιλεῖ τῶν αἰώνων· » περὶ δὲ τοῦ Υἱοῦ ὁ μὲν Δαβὶδ ἔψαλλεν· « Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν (54), καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· » ὁ δὲ Δανιὴλ ἤκουσεν· « Ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, » καὶ, « Ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, » Καὶ ὅλως ὅσα ἂν εὕροις περὶ τοῦ Πατρὸς λεγόμενα, τοσαῦτα ἂν εὕροις καὶ περὶ τοῦ Υἱοῦ λεγόμενα, χωρὶς μόνου τοῦ εἶναι αὐτὸν Πατέρα, καθάπερ εἴρηται.

rapinam arbitratus est esse se æqualem Deo [79]: » quod sit ex vero veritas, ex vivente vita, ut qui revera ex Patris fonte emanaverit: quod Filius vivificet, et suscitet mortuos sicut Pater, ita enim legitur in Evangelio. Et de Patre quidem scriptum est: « Dominus Deus tuus, unus Dominus est [80];» et: « Deus deorum Dominus locutus est, et vocavit terram [81]; » de Filio autem, « Deus Dominus et illuxit nobis [82], » et, « Videbitur Deus deorum in Sion [83]. » Et rursum de Deo quidem ait Isaias: « Quis Deus, ut tu, tollens iniquitates, et superans injustitias [84]? » Filius vero dicebat, quibus placuit ipsi: « Dimittuntur tibi peccata tua [85]: » quo tempore Judæis murmurantibus, opere illam remissionem comprobavit, dicens paralytico: « Surge, tolle grabatum tuum, et vade in domum tuam [86]. » De Deo quoque dixit Paulus: « Regi sæculorum [87];» de Filio autem David cecinit; « Attollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit Rex gloriæ [88]; » Daniel vero hæc audivit: « Regnum ejus regnum sempiternum [89], » et, « Regnum ejus non corrumpetur [90]. » Demum quæcunque de Patre dicta repereris, tot tantaque de Filio dicta deprehendes, ea solum exceptione, quod ipse non sit Pater, ut dictum superius est.

50. Εἰ μὲν οὖν ἄλλην ἀρχὴν ἐνθυμεῖταί τις, καὶ ἄλλον Πατέρα διὰ τὸ ἰσάζον τῶν λεγομένων, μανικὸν τό ἐνθύμημα· εἰ δὲ διὰ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, πάντα τὰ τοῦ Πατρὸς, ὡς ἐν εἰκόνι καὶ χαρακτῆρι τοῦ Υἱοῦ ἐστι, λογισώμεθα (55) εὐμενῶς, εἰ ξένη οὐσία τῆς τοῦ Πατρὸς οὐσίας δεκτικὴ τῶν τοιούτων ἐστί· καὶ εἰ ὁ τοιοῦτος ἑτεροφυὴς καὶ ἀλλοτριούσιός (56) ἐστι, καὶ οὐχ ὁμοούσιος τῷ Πατρί. Εὐλαβητέον γὰρ μὴ τὰ τοῦ Πατρος ἴδια μεταφέροντες ἐπὶ τὸ ἀνομοιοούσιον αὐτῷ, καὶ ἐν ἀνομοιογενεῖ καὶ ἀλλοτριοουσίῳ χαρακτηρίζοντες τὴν τοῦ Πατρὸς (57) θεότητα, ξένην μὲν ἄλλην εἰσάξωμεν οὐσίαν, δεκτικὴν τῶν τῆς πρώτης οὐσίας ἰδιωμάτων, ἐντραπῶμεν δὲ ὑπ' αὐτοῦ τοῦ Θεοῦ λέγοντος· « Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω· » καὶ εὑρεθῶμεν προσκυνοῦντες τῷ ἀλλοτίῳ, καὶ νομισθωμεν εἶναι τοιοῦτοι, οἷοι ἦσαν σὶ τότε Ἰουδαῖοι λέγοντες· « Διὰ τί σὺ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτόν (58) Θεόν; » ὅτε καὶ, τὰ τοῦ Πνεύματος μεταφέροντες, ἐβλασφήμουν λέγοντες, ὅτι « Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. » Εἰ δὲ τοῦτο ἀπρεπὲς, δῆλον, ὅτι (59) οὐκ ἀνομοιοούσιος ἂν

58. Si quis igitur aliud principium et alium Patrem excogitet, eo quod æqualia sint quæ dicuntur, insanum certe illud commentum. Si autem quia Filius ex Patre est, omnia quæ Patris sunt (ut in imagine et charactere) Filii sunt: æquo animo cogitemus, num substantia aliena a Patris substantia, istiusmodi rerum canax sit: et si, qui talis est, diversæ naturæ, et alienæ substantiæ sit, et non potius Patri consubstantialis. Cavendum enim, ne quæ Patris propria sunt transferentes ad illud, quod ei substantia dissimile est, et ne in eo qui dissimilis natura, et alienus substantia est. Patris divinitatem designantes, extraneam aliam inducamus substantiam, primæ substantiæ proprietatum capacem: pudoreque afficiamur ab ipso Deo dicente, «Gloriam meam alteri non dabo [91],» et deprehendamur alienum adorare, talesque habeamur, quales olim fuere Judæi, qui aiebant: **610** « Quare tu, homo cum sis, facis teipsum Deum [92]? » cum illi ea quæ Spiritus erant alio transferentes, blasphemarent his verbis: « In Beelzebulem ejicit dæmonia [93]. »

[79] Philipp. II, 6. [80] Deut. VI, 4. [81] Psal. XLIX, 1. [82] Psal. CXVII, 27. [83] Psal. LXXXIII, 8. [84] Isa. XLIII, 25. [85] Matth. IX, 5. [86] Marc. II, 11. [87] I Tim. I, 17. [88] Psal. XXIII, 7. [89] Dan. III, 100. [90] Dan. VII, 14. [91] Isa. XLIII, 8. [92] Joan. X, 33. [93] Luc. XI, 13.

(50) Sic editio Comm. Basil. et Regius secunda manu, nam prima ὄντος habet. Felckm. 3, ὡς πηγῆς ὄντος, non male.

(51) Sic Reg. codex et Felckm. 3. Editi vero, καὶ πάλιν τε. Mox Felckm. 2, μὲν τοῦ Υἱοῦ. Editi et cæteri, μὲν τοῦ Θεοῦ.

(52) Felckmanni 3, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

(53) Sic Regius et Felckmanni 3. Editi, ἔγραφεν.

(54) Ita Regius, Basil. et edit. Paris. Edit. vero Comm., ὑμῶν.

(55) Regius codex, λογισόμεθα.

(56) Ita Regius atque sic scribendum, similiterque infra ἀνομοιοούσιον, et ἀλλοτριοουσίῳ. Edit., ἀλλοτριούσιον, ἀνομοιούσιον, ἀλλοτριουσίῳ, mendose.

(57) Sic omnes manuscripti. Editi vero, Πατέρος.

(58) Felckm. 3, ἑαυτόν. Ibid. omnes manuscripti, ὅτε. Edit. vero Paris, ὅτι.

(59) Sic Reg. et Felckm. 3. Edit. vero, δηλονότι. Ibid. Reg., ἀνομοιοούσιος. Editi, ἀνομοιούσιος.

Quod si illud indecorum est, certe non dissimilis substantiæ fuerit Filius,sed consubstantialis Patri. Etenim si quæ Patris sunt, naturaliter Filii sunt, ipseque Filius ex Patre est, et propter hujusmodi unitatem divinitatis et naturæ, ipse et Pater unum sunt, et qui vidit Filium vidit et Patrem, merito a Patribus dictus est consubstantialis : neque enim qui alterius esset substantiæ, talia habere posset.

A εἰη ὁ Υἱὸς, ἀλλὰ ὁμοούσιος τῷ Πατρί· καὶ γὰρ εἰ τὰ τοῦ Πατρὸς φυσικῶς τοῦ Υἱοῦ ἐστιν, αὐτός τε ὁ Υἱὸς ἐκ τοῦ Πατρός ἐστι, καὶ διὰ τῆν τοιαύτην ἑνότητα τῆς θεότητος καὶ τῆς φύσεως αὐτὸς καὶ ὁ Πατὴρ ἕν εἰσι, καὶ ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα, εἰκότως ἐλέχθη παρὰ τῶν Πατέρων ὁμοούσιος· οὐ γὰρ ἑτεροουσίου τὰ τοιαῦτα ἔχειν ἐστί.

51.Rursum si, prout supra diximus, non ex participatione sit Filius : sed opificia quidem omnia ex participatione Dei gratiam habeant, ipse vero Patris sapientia et Verbum sit, quicum communia habet omnia : certe cum sit ipse id quo Pater deificat et illuminat, in quo scilicet omnia deificantur et vivificantur, non alienæ a Patre substantiæ est sed consubstantialis. Hujus enim participatione B Patris participes efficimur, eo quo ipse proprium Patris sit Verbum. Unde si ipse quoque ex participatione esset, et non ex se substantialis divinitas et imago Patris, non deificaret alios, cum et ipse deificatus esset. Non enim fieri potest eum qui ex participatione habet,id cujus particeps est aliis impertire : quod enim ille habet, suum non est, sed ejus qui dedit, et quod accepit, vix sibi sufficientem gratiam accepit. Causam tamen cur quidam, ut fertur,consubstantiale respuant, sincere examinemus, an non magis ex illa ipsa Filius Patri consubstantialis ostendatur. Aiunt igitur, ut vos scripsistis,Filium Patri consubstantialem dici minime debere, quia qui dicit consubstantialem, tria dicit, substantiam aliquam, quæ prius subjaceat, et eos C qui ex illa geniti sunt esse consubstantiales: atque hinc concludunt : Si ergo Filius sit Patri consubstantialis, necesse est prius subjacere eorum substantiam ex qua geniti sint, et non esse illum Patrem, hunc Filium, sed ambos fratres. Hæc tametsi ethnicorum sunt explicationes,nosque nihil eorum egemus ratiociniis : nihilominus videamus utrum illa consubstantialia, quæ cum ex prius intellecta substantia sint, fratres dicuntur, sibi mutuo, an substantiæ ex qua orta sunt,sint consubstantialia. Si enim sibi mutuo; diversæ ergo substantiæ, ac dissimilia erunt substantiæ a qua ortum duxerunt: opponitur enim consubstantiali, quod est ex diversa substantia. Quod si utrumque consubstantiale sit substantiæ a qua ortum duxit, nam id certe D quod ex alio nascitur ei qui se genuit est consubstantiale; non ultra sunt quærendæ tres substantiæ: sed id solum investigandum, num hoc vere ex illo sit. Nam etsi contingat non esse duos fratres, sed unicum ex illa substantia ortum esse : eo quod alter non sit, nequaquam qui natus est,diversæ sub-

51. Πάλιν τε εἰ, καθὰ προείπομεν, οὐκ ἐκ μετουσίας ἐστὶν ὁ Υἱός· ἀλλὰ τὰ μὲν γενητὰ πάντα ἐκ μετουσίας ἔχει τὴν παρὰ Θεοῦ χάριν, αὐτὸς δὲ τοῦ Πατρὸς σοφία καὶ Λόγος ἐστὶν, οὗ μετέχει τὰ πάντα· δῆγον. ἅτι (60) αὐτὸς ὢν τὸ θεοποιὸν καὶ φωτιστικὸν τοῦ Πατρὸς, ἐν ᾧ τᾶ πάντα θεοποιεῖται καὶ ζωοποιεῖται, οὐκ ἀλλοτριοούσιός (61) ἐστι τοῦ Πατρὸς, ἀλλ' ὁμοούσιος. Τούτου γὰρ μεταλαμβάνοντες, τοῦ Πατρὸς μετέχομεν, διὰ τὸ τοῦ Πατρὸς εἶναι ἴδιον τὸν Λόγον. Ὅθεν εἰ ἦν ἐκ μετουσίας καὶ αὐτὸς, καὶ μὴ (62) ἐξ αὐτοῦ οὐσιώδης θεότης καὶ εἰκὼν τοῦ Πατρὸς, οὐκ ἂν ἐθεοποίησε θεοποιούμενος καὶ αὐτός. Οὐ γὰρ οἷόν τε τὸν ἐκ μετουσίας ἔχοντα μεταδιδόναι τῆς μεταλήψεως ἑτέροις, ὅτι μὴ αὐτοῦ ἐστιν ὃ ἔχει, ἀλλὰ τοῦ δεδωκότος, καὶ ὃ ἔλαβε, μόγις τὴν ἄρχουσαν αὐτῷ χάριν ἔλαβε. Καὶ τὴν αἰτίαν δὲ ὅμως, δι' ἣν τινες, ὡς λέγεται, παραιτοῦνται τὸ ὁμόούσιον, ἐξετάσωμεν ἀληθῶς, μὴ ἄρα μᾶλλον ἐκ ταύτης ὁμοούσιος δείκνυται ὁ Υἱὸς τῷ Πατρί. Φασὶ τοίνυν, ὡς ὑμεῖς ἐγράψατε, μὴ χρῆναι λέγειν ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, ὅτι ὁ λέγων ὁμοούσιον τρία λέγει, οὐσίαν τινὰ προϋποκειμένην, καὶ τοὺς ἐκ ταύτης γεννωμένους (63) ὁμοουσίους εἶναι· καὶ ἐπιλέγουσιν. Ἐὰν οὖν ὁ Υἱὸς ὁμοούσιος ᾖ τῷ Πατρὶ, ἀνάγκη προϋποκεῖσθαι αὐτῶν οὐσίαν, ἐξ ἧς καὶ ἐγεννήθησαν, καὶ μὴ εἶναι τὸν μὲν Πατέρα, τὸν δὲ Υἱὸν, ἀλλ' ἀμφοτέρους ἀδελφούς. Ταῦτα εἰ καὶ Ἑλλήνων εἰσὶν ἑρμηνεῖαι, καὶ οὐκ ἀναγκαῖα ἡμῖν τὰ παρ' ἐκείνων· ἀλλ' ἴδωμεν τὰ εἰρημένα τὰ ὁμοούσια, τὰ ἐκ τῆς προνοουμένης (64) οὐσίας ἀδελφὰ, πότερον ἑαυτῶν εἰσιν ὁμοούσια, ἢ τῆς οὐσίας ἐξ ἧς καὶ ἐγεννήθησαν· εἰ μὲν γὰρ ἑαυτῶν, ἑτεροούσια καὶ ἀνόμοια ἔσται πρὸς τὴν γεννήσασαν αὐτὰ οὐσίαν· ἀντίκειται γὰρ τῷ ὁμοουσίῳ τὸ ἑτεροούσιον· εἰ δὲ τῆς γεννησάσης αὐτὰ οὐσίας ἐστὶν ἕκαστον ὁμοούσιον, δῆλον, ὅτι (65) τὸ ἔκ τινος γεννώμενον ὁμοούσιόν ἐστι τῷ γεννήσαντι· καὶ οὐκέτι χρὴ ζητεῖν τρεῖς οὐσίας, ἀλλὰ μόνον ζητεῖν, εἰ τόδε ἀληθὲς ἐκ τοῦδέ ἐστι. Κἂν γὰρ συμβῇ μὴ εἶναι δύο ἀδελφοὺς, ἀλλὰ καὶ μόνον ἕνα ἐξ ἐκείνης τῆς οὐσίας γενέσθαι, οὐ διὰ τὸ μὴ εἶναι ἕτερον, ἀλλοτριοούσιος (66) ἂν λεχθείη ὁ γεννηθείς· ἀλλὰ καὶ μόνος ὢν, εἴη ἂν καὶ αὐτὸς ὁμοούσιος ᾧ γεννήσαντι. Ἐπεὶ τί ἂν εἴποιμεν περὶ τῆς (67) θυγατρὸς τοῦ Ἰεφθάε, ὅτι μονογενὴς ἦν· « Καὶ οὐκ ἦν, » φησὶν, « ἄλλο

(60) Sic Regius. Editi δηλονότι. Ibid. Felckm. 3, αὐτό.
(61) Sic Regius. Editi vero, ἀλλοτριούσιος·
(62) Felckman. 3, καὶ αὐτός. Καὶ τὴν αἰτίαν δὲ ὅμως, multis prætermissis.
(63) Felckman. 3, γενομένους. Paulo post, Regius et Felckman. 3, Ἐὰν οὖν ὁ Υἱὸς. In editis οὖν deest.
(64) Felckm. 3, προεπινοουμένης.
(65) Sic Regius et Felckm. 3. Editi, δηλονότι.
(66) Sic Regius. Editi, ἀλλοτριούσιος·
(67) Ita Regius codex. In edit. vero, τῆς, et mox τοῦ deest : in Felckm. 4, τῆς tantum.

τέκνον αὐτῷ, » καὶ περὶ τοῦ υἱοῦ δὲ τῆς χήρας, ὃν ἤγειρεν ἐκ νεκρῶν ὁ Κύριος, ὅτι καὶ αὐτὸς οὐκ εἶχεν ἀδελφὸν, ἀλλὰ μονογενὴς ἦν· ἆρα (68) οὐκ ἦν ὁμοούσιος ἕκαστος αὐτῶν τῷ γεννήσαντι; καὶ μὴν ἦσαν· τέκνα γὰρ ἦσαν· καὶ τοῦτο τέκνων ἴδιόν ἐστι πρὸς γονέας. Οὕτω καὶ τὸν τοῦ Θεοῦ Υἱὸν ἐκ τῆς οὐσίας εἰπόντες (69) οἱ Πατέρες, εἰκότως καὶ ὁμοούσιον εἰρήκασι· ταύτην γὰρ ἔχει καὶ τὸ ἀπαύγασμα δύναμιν πρὸς τὸ φῶς. Ἕπεται δὲ τούτοις μηδὲ τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος γεγονέναι. Οἱ γὰρ κατὰ πάθος γεννῶντες ἄνθρωποι, αὐτοὶ καὶ τὴν ὑποκειμένην ὕλην ἐργάζονται, καὶ ἄλλως οὐκ ἂν δύναιντο ποιεῖν· εἰ δὲ τὸ κτίζειν οὐκ ἀνθρωπίνως νοοῦμεν ἐπὶ Θεοῦ, πολλῷ μᾶλλον οὐδὲ τὸ γεννᾷν ἀνθρωπίνως πρέπει νοεῖν ἐπὶ Θεοῦ, οὐδὲ τὸ ὁμοούσιον σωματικῶς ἐκλαμβάνειν, ἀλλ' ἀναχωρεῖν δεῖ ἀπὸ (70) τῶν γενητῶν, καὶ ἀποτιθέντας κάτω που τὰς ἀνθρωπίνας εἰκόνας καὶ πάσας ἁπλῶς τὰς αἰσθήσεις, ἀνιέναι ἐπὶ τὸν Πατέρα, μὴ λάθωμεν ἀφαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, καὶ προστιθέντες τοῖς ἑαυτοῦ κτίσμασι.

A stantiæ dicatur; sed, licet solus sit, erit tamen et ipse ei qui se genuit consubstantialis. Alioqui quid dixerimus de filia Jephthe, quæ unigenita erat: « Et non habebat, » ait, « alios liberos [94]; » et de filio viduæ quem Dominus ex mortuis suscitavit, qui et ipse fratrem non habebat, sed unigenitus erat [95]: an uterque ei qui se genuerat consubstantialis non erat? Erant plane, nam liberi erant: idque proprium liberis est erga parentes suos. Sic cum Patres Dei Filium **611** ex ejus substantia dixerint, merito et consubstantialem dixerunt: hanc enim vim et proprietatem habet quoque splendor ad lucem. Hinc autem sequitur, neque creatas res ex non exsistente factas esse. Homines enim ipsi qui cum passione aliqua gignunt, in subjacente materia operantur, nec aliter quidquam facere potuerint. B Quod si creandi modum in Deo non humano more intelligimus, multo minus gignendi in ipso intelligere humano more debemus, neque corporeo modo consubstantiale accipere. Sed recedendum nobis est a rebus factis, ac depositis humanis imaginibus, omnibusque omnino sensibus, ad Patrem ascendere, ne inscii Filium a Patre auferamus, eumque rebus a se creatis adjungamus.

52. Καὶ ἄλλως δὲ, εἰ μὲν Πατέρα καὶ Υἱὸν ὁμολογοῦντες, δύο τινὰς ἀρχὰς, ἢ δύο Θεοὺς καθάπερ Μαρκίων καὶ Οὐαλεντῖνος, λέγομεν, ἢ ἕτερόν τινα τρόπον θεότητος ἔχειν τὸν Υἱὸν, καὶ μὴ εἰκόνα καὶ χαρακτῆρα τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, διὰ τὸ ἐξ αὐτοῦ πεφυκέναι· ἔστω ἀνόμοιος· ξέναι γάρ εἰσι παντάπασιν ἀλλήλων αἱ τοιαῦται οὐσίαι· εἰ δὲ μίαν οἴδαμεν καὶ μόνην θεότητα τὴν τοῦ Πατρὸς, τούτου τε Λόγον καὶ Σοφίαν εἶναι τὸν Υἱὸν, καὶ οὕτω πιστεύοντες οὐ λέγομεν δύο Θεοὺς, τήν τε ἑνότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα οὐχ ὁμοιώσει διδασκαλίας, ἀλλὰ C κατὰ τὴν οὐσίαν καὶ ἀληθείᾳ (71) φρονοῦμεν· ὥστε διὰ τοῦτο μὴ λέγειν δύο Θεοὺς, ἀλλ' **ἕνα Θεὸν, ἑνὸς** ὄντος εἴδους **θεότητος, ὡς ἔστι τὸ φῶς** καὶ τὸ ἀπαύγασμα· **τοῦτο** γὰρ ὤφθη τῷ πατριάρχῃ Ἰακὼβ, καὶ φησιν ἡ Γραφή· « Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ· » καὶ (72) τοῦτο θεωροῦντες οἱ ἅγιοι προφῆται καὶ νοοῦντες, τίνος ἐστὶν Υἱὸς καὶ εἰκὼν, ἔλεγον· « Ἐγένετο Λόγος Κυρίου πρὸς μέ. » Γινώσκοντες (73) τὸν ἐν αὐτῷ θεωρούμενον καὶ ἀποκαλυπτόμενον Πατέρα· ἐθάρρουν εἰπεῖν « Ὤφθη μοι ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ Θεὸς Ἀβραὰμ, καὶ (74) Ἰσαὰκ καὶ Ἰακώβ. » Τούτου δὲ οὕτως ὄντος, διὰ τί τὸν ἕνα ὄντα πρὸς τὸν Πατέρα καὶ φαινόμενον, ὡς ἔστιν ὁ Πατὴρ (75), κατὰ τὴν ὁμοιότητα καὶ μίαν θεότητα, εὐλαβούμεθα εἰπεῖν D ὁμοούσιον; Εἰ μὲν γὰρ, ὥσπερ εἴρηται πολλάκις, οὐκ ἔχει τὴν ἰδιότητα τῆς πατρικῆς οὐσίας, οὐδὲ τὴν ἐμφέρειαν ὡς Υἱὸς, καλῶς εὐλαβούμεθα· εἰ δὲ τοῦτό

52. Rursum si Patrem et Filium confitentes, duo principia, aut duos Deos dicimus, quemadmodum Marcion et Valentinus; aut Filium, quemdam alium divinitatis modum habere, et non esse imaginem et figuram Patris, quod ex ipso genitus sit: esto dissimilis; nam alienæ inter se prorsus sunt istiusmodi substantiæ. Quod si unam agnoscimus et solam Patris divinitatem, hujusque Verbum et Sapientiam Filium esse, et hoc credentes, duos tamen Deos minime dicimus, unitatemque Filii cum Patre non doctrinæ similitudine, sed secundum substantiam, et revera consistere sentimus, ita ut **propterea** non duos Deos, sed unum dicamus, cum una sit species divinitatis, ut est lux et splendor; illa enim patriarchæ Jacob visa est, aitque Scriptura: « Ortus est autem illi sol, postquam transivit species Dei [96]. » Hoc cum viderent sancti prophetæ, ac intelligerent cujusnam sit ille Filius et imago, aiebant: « Factum est Verbum Domini ad me [97-98], » cumque Patrem in eo visum revelatumque cognoscerent, odenter dicebant: « Visus est mihi Deus patrum nostrorum, Deus Abraham, et Isaac et Jacob [99]. » Cum igitur ita se res habeat, cur eum qui unus est cum Patre, et talis apparet qualis est Pater, secundum similitudinem atque unam divinitatem, veremur dicere consubstantialem? Si enim, quemadmodum sæpius dictum est, nullam habet ut Filius proprietatem similitudinemve cum paterna substantia, ea voce uti recte veremur. Sin autem ille est

[94] Jud. XI, 34. [95] Luc. VII, 12. [96] Gen. XXXII, 31 III, 16. [97-98] Isa. XXXVIII, 4; Jer. I, 2, 4, 11, etc. [99] Exod.

(68) Felckm. 3, ἄρα.

(69) Felckm. 3, ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἰπόντες. Infra idem post εἰρήκασι, subjungit, Ἕπεται δέ, omissis intermediis.

(70) Sic Regius codex. Felckman. vero 3, ἀλλ' ἀναχωρεῖν ἀπό. Editi, ἀλλ' omisso, ἀναχωρεῖν δὲ ἀπό.

(71) Felckm. 3, ἀληθειαν.

(72) Ita Regius. In editis vero καί deest.

(73) Felckm. 3 habet καί ante γινώσκοντες.

(74) Ita Regius et Felckm. 3. In edit. καί deest ante Ἰσαάκ.

(75) Sic Felckm. 3 et edit. Paris. At Regius et edit. Comm. ὡς ἔστι, Πατέρα.

Patris propria vis illuminatrix et creatrix, sine qua nec erat, nec cognoscitur (omnia enim per ipsum et in ipso consistunt), cur rem intelligentes, recusamus vocem id significantem proferre? Quid enim est ejusdem naturæ esse cujus Pater, nisi esse illi consubstantiale? Non enim alienum Deus veluti ministro egens Filium assumpsit; neque opificia Creatori sunt dignitate paria, ut perinde illa atque ipse honorentur, aut, ut putandum sit, ea et Patrem unum esse. Alioquin ausit quis hæc dividere, ac dicere solem et splendorem duo esse lumina, aut diversam aliquam substantiam, aut splendorem solis accidens esse, et non simplicem ac purum solis partum; ita ut duo quidem sint sol et splendor, una tamen lux, eo quod ille a sole oriatur. Cum hujusmodi sit, imo magis inseparabilis natura Filii a Patre, et cum divinitas Filio non acciderit, sed paterna divinitas in Filio sit: ita ut qui videt Filium, in ipso Patrem videat, cur qui hujusmodi est, non dicatur consubstantialis?

53. Sat quidem hæc sunt, quæ vobis suadeant, ut non accusetis eos qui dixere Filium esse Patri consubstantialem. Attamen ipsam consubstantialis vocem secundum se explanemus, ut comperiamus utrum hæc **612** vox, consubstantialis, usurpanda sit, et si propria sit dictio, atque congruenter de Filio dicatur. Nam ipsi scitis, et nemo dubitaverit, simile non de substantiis, sed de figuris et qualitatibus dici. De substantiis enim, non similitudo, sed identitas dici debet. Homo igitur hominis similis dicitur, non secundum substantiam, sed secundum habitum et figuram: quod ad substantiam enim ejusdem naturæ sunt. Rursum homo cani nequaquam dissimilis dicitur, sed diversæ naturæ: ergo quod ejusdem naturæ est, etiam consubstantiale est; quod diversæ naturæ, diversæ etiam substantiæ. Quaprqpter qui dicit similem secundum substantiam, ex participatione similem dicit: similitudo enim est qualitas, quæ substantiæ accidere potest. Hoc autem opificiis proprium fuerit; ea enim ex participatione Deo similia efficiuntur. Nam « cum, » ait, « apparuerit ille, similes ei erimus[1], » similes scilicet non substantia, sed filiorum adoptione, quam per eum participamus. Si igitur eum ex participatione Filium dicitis, dicatur a vobis substantia similis: sed si ita appelletur, nec veritas, nec lumen ullatenus, nec natura Deus erit. Nam quæ ex participatione sunt, non vere, sed similitudine veritatis similia dicuntur; ita ut quod participatur, a participantibus decidere et tolli possit: hoc autem creatis rebus atque opificiis pro-

ἐστι τὸ φωτιστικὸν καὶ δημιουργικὸν τὸ ἰδιαίτατον τοῦ Πατρὸς, οὐ ἄνευ οὔτε δημιουργεῖ, οὔτε γινώσκεται (πάντα γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνέστηκε)· διὰ τί, τὸ πρᾶγμα νοοῦντες, παραιτούμεθα τὴν τοῦτο σημαίνουσαν λέξιν εἰπεῖν; Τί γάρ ἐστι τὸ οὕτως ὁμοφυὲς τῷ Πατρὶ ἢ ὁμοούσιον αὐτοῦ; Οὐ γὰρ ἀλλότριον ὡς ὑπουργοῦ δεόμενος προσελάβετο ὁ Θεὸς τὸν Υἱὸν, οὐδὲ τὰ ποιήματα ἰσάξια τοῦ κτίσαντος, ὥστε τιμᾶσθαι ταῦτα ὡς ἐκεῖνον, ἢ νομίζειν, ὅτι ταῦτα καὶ ὁ Πατὴρ ἕν εἶσιν. Ἤ τολμησάτω τις διελεῖν, καὶ εἰπεῖν, δύο φῶτα εἶναι τὸν ἥλιον καὶ τὸ ἀπαύγασμα, ἢ ἑτέραν τινὰ εἶναι οὐσίαν, ἢ ὅτι ἐπισυμβέβηκε τὸ ἀπαύγασμα, καὶ μὴ ἁπλοῦν εἶναι καὶ καθαρὸν γέννημα ἐκ τοῦ ἡλίου τοῦτο· ὥστε δύο μὲν εἶναι ἥλιον καὶ ἀπαύγασμα, ἓν δὲ τὸ φῶς, διὰ τὸ ἐκ τοῦ ἡλίου εἶναι τοῦτο γέννημα. Τοιαύτης δὲ οὔσης καὶ μᾶλλον ἀδιαιρέτου τῆς φύσεως τοῦ Υἱοῦ (76) πρὸς τὸν Πατέρα, καὶ οὐκ ἐπισυμβάσης τῆς θεότητος τῷ Υἱῷ, ἀλλὰ τῆς πατρικῆς θεότητος οὔσης ἐν τῷ Υἱῷ, ὥστε τὸν ἑωρακότα τὸν Υἱὸν ὁρᾷν ἐν αὐτῷ τὸν Πατέρα, διὰ τί ὁ τοιοῦτος μὴ ἂν λέγοιτο ὁμοούσιος;

53. Ἔστι μὲν (77) οὖν ἱκανὰ καὶ ταῦτα πεῖσαι ὑμᾶς, μὴ κατηγορεῖν τῶν εἰρηκότων, ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί· καὶ αὐτὴν δὲ ὅμως τὴν τοῦ ὁμοουσίου λέξιν καθ' ἑαυτὴν ἐξετάσωμεν, ἵνα γνῶμεν, εἰ χρὴ λέγειν ὅλως ὁμοούσιον, καὶ εἰ κυρία λέξις ἐστὶ, καὶ ἁρμοζόντως ἐστὶν αὕτη ἐπὶ Υἱοῦ λεγομένη. Οἴδατε γὰρ καὶ ὑμεῖς. καὶ οὐδ' ἄν τις ἀμφιβάλλοι (78), ὅτι τὸ ὅμοιον οὐκ ἐπὶ τῶν οὐσιῶν, ἀλλ' ἐπὶ σχημάτων καὶ ποιοτήτων λέγεται ὅμοιον· ἐπὶ γὰρ τῶν οὐσιῶν οὐχ ὁμοιότης, ἀλλὰ ταυτότης ἂν λεχθείη. Ἄνθρωπος γοῦν ἀνθρώπῳ ὅμοιος λέγεται, οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὸ σχῆμα καὶ τὸν (79) χαρακτῆρα· τῇ γὰρ οὐσίᾳ ὁμοφυεῖς εἰσι. Καὶ πάλιν ἄνθρωπος κυνὶ οὐκ ἀνόμοιος (80) λέγεται, ἀλλ' ἑτεροφυής· οὐκοῦν τὸ μὲν ὁμοφυὲς καὶ ὁμοούσιον, τὸ δὲ ἑτεροφυὲς καὶ ἑτεροούσιον. Διὸ καὶ ὁ λέγων ὅμοιον κατ' οὐσίαν ἐκ μετουσίας τοῦτο λέγει ὅμοιον. Τὸ γὰρ ὅμοιον ποιότης ἐστὶν, ἥτις τῇ οὐσίᾳ προσγένοιτ' ἄν. Τοῦτο δὲ τῶν ποιημάτων ἴδιον ἂν εἴη· ταῦτα γὰρ ἐκ μετοχῆς ὁμοιοῦται τῷ Θεῷ. « Ὅταν » γὰρ, φησὶ, « φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· » ὁμοιοι δηλονότι οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ υἱότητι, ἧς μεταλαμβάνομεν παρ' αὐτοῦ. Εἰ μὲν οὖν καὶ τὸν Υἱὸν ἐκ μετουσίας λέγετε, λεγέσθω μὲν παρ' ὑμῶν ὁμοιοούσιος (81). Οὐκ ἔστι μέντοι λεγόμενος οὕτως ἀληθεια, οὐδὲ ὅλως φῶς, οὐδὲ φύσει Θεός. Τὰ γὰρ ἐκ μετουσίας οὐκ ἀληθείᾳ, ἀλλ' ὁμοιώσει τῆς ἀληθείας λέγεται ὅμοια, ὥστε καὶ μεταπίπτειν, καὶ ἀφαιρεῖσθαι δύνασθαι ἀπὸ τῶν μετεχόντων τὴν μετάληψιν. Τοῦτο δὲ πάλιν ἴδιον τῶν κτισμάτων καὶ ποιημάτων ἐστίν. Οὐκοῦν εἰ τοῦτο ἄτοπον, οὐκ ἂν εἴη ἐκ μετουσίας, ἀλλὰ φύσει καὶ

[1] Joan. III, 2.

(76) Τοῦ Υἱοῦ deest in Felckm. 3.
(77) Felckman. 3, Ἔσται μὲν οὖν. Mox Regius, ἡμᾶς.
(78) Regius codex. ἀμφιβάλοι.
(79) Τόν deest in Regio.
(80) Ita Felckm. 3 et Regius, qui tamen prima manu habuit, ἂν ὅμοιος, ut legitur in editis. Ibid. Regius, λέγεται, recte. Edit., λέγηται. Mox Felck. 3, οὐκ οὖν τὸ μέν, recte. In Regio et editis μέν deest.
(81) Sic Regius. Editi, ὁμοιούσιος. Mox Felck. 3, οὕτως ἀληθείᾳ, ἀλλ' ὁμοιώσει, omissis nonnullis.

ἀληθείᾳ Υἱὸς, φῶς, σοφία, Θεός. Φύσει δὲ ὢν καὶ οὐ μετοχῇ, οὐκ ἂν κυρίως λεχθείη ὁμοιοούσιος (82), ἀλλ' ὁμοούσιος. Ὁ δὲ μηδὲ ἐπ' ἄλλων ἄν τις εἴποι· ἐδείχθη γὰρ τὸ ὅμοιον μὴ ἐπὶ τῶν οὐσιῶν λεγόμενον· πῶς οὐκ ἀνόπτον μὲν, ἢ τάχα καὶ χαλεπὸν τοῦτο προφέρειν ἐπὶ Υἱοῦ, καὶ μὴ μᾶλλον τὸ ὁμοούσιον; A

54. Διὰ τοῦτο γὰρ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος καλῶς ἔγραψεν, ὅπερ ἔπρεπεν εἰπεῖν, γεννητὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν ὁμοούσιον. Ταῦτα (83) καὶ ἡμεῖς μαθόντες, μὴ σκιαμαχῶμεν, καὶ μάλιστα γινώσκοντες, ὅτι οἱ καὶ ταῦτα γράψαντες, οὐχ ὡς παρεξηγούμενοι τὴν ἀλήθειαν, ἀλλ' ἐκδικοῦντες μὲν τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν εὐσέβειαν, καθαιροῦντες δὲ τὰς κατ' αὐτοῦ τῶν Ἀρειομανιτῶν βλασφημίας, οὕτως ὡμολόγησαν τὴν πίστιν. Σκεπτέον γὰρ καὶ κατανοητέον ἀκριβῶς, ὅτι λέγοντες μὲν ἀνομοιοούσιον (84) καὶ ἑτεροούσιον, οὐ σημαίνομεν τὸν ἀληθινὸν Υἱὸν, ἀλλ' ἕν τι τῶν ποιημάτων καὶ τὸν εἰσποιητὸν καὶ θέσει Υἱὸν (85), ὅπερ τοῖς αἱρετικοῖς δοκεῖ· λέγοντες δὲ μὴ ἐριστικῶς τὸ ὁμοούσιον, Υἱὸν σημαίνομεν γνήσιον ἐκ τοῦ Πατρὸς πεφυκότα, κἂν ἐν τούτῳ διαῤῥηγνύωνται πολλάκις οἱ Χριστομάχοι. Ταῦτα μὲν, ἅπερ ἔγνων ἐγὼ, καὶ διαλεγομένων ἤκουσα φρονίμων, δι' ὀλίγων γέγραφα· ὑμεῖς δὲ, μένοντες ἐπὶ τὸν θεμέλιον τῶν ἀποστόλων, καὶ τὰς παραδόσεις τῶν Πατέρων (86) κατέχοντες, εὔχεσθε ἵνα ἤδη ποτὲ παύσηται πᾶσα λοιπὸν ἔρις καὶ ζῆλος, τῶν τε αἱρετικῶν αἱ μωραὶ ζητήσεις καταγνωσθῶσι, καὶ πᾶσα λογομαχία· καὶ ἡ μὲν δυσώνυμος καὶ ἀνθρωποκτόνος τῶν Ἀρειανῶν αἵρεσις ἐξαφανισθείη, ἀναλάμψειε δὲ πάντων ἐν ταῖς καρδίαις ἡ ἀλήθεια, ὥστε πάντας πανταχοῦ τὸ αὐτὸ λέγειν, καὶ (87) τὸ αὐτὸ φρονεῖν· μηδεμιᾶς δὲ ἔτι περιλειπομένης Ἀρειανῆς δυσφημίας, λέγηται καὶ ὁμολογῆται κατὰ πᾶσαν Ἐκκλησίαν· « Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, » ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ τῷ Πατρὶ ἡ δόξα (88) καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. B C D

55. Μετὰ τὸ γράψαι μετὰ (89) περὶ τῶν συνόδων, ἔγνων γράψαντα τὸν ἀσεβέστατον Κωνστάντιον πρὸς τοὺς ἐν Ἀρίμινῳ μείναντας ἐπισκόπους· καὶ σπουδὴν ἔσχον λαβεῖν τὰ ἀντίγραφα παρὰ γνησίων ἀδελφῶν, καὶ ἀποστεῖλαι ὑμῖν, καὶ (90) τὰ παρὰ τῶν ἐπισκόπων ἀντιγραφέντα· ἵνα γνῶτε τοῦ μὲν βασιλέως τὴν ἀσεβῆ πανουργίαν, τῶν δὲ ἐπισκόπων τὸ ἑδραῖον καὶ ἀκλινὲς τῆς πρὸς τὴν ἀλήθειαν γνώμης.

rium est. Itaque si absurdum illud est, nequaquam erit ex participatione, sed ex natura et veritate, Filius, lumen, sapientia, Deus : cum autem natura talis sit et non participatione, nunquam proprie substantia similis dici potuerit, sed consubstantialis. Quod autem de aliis nemo dixerit (demonstratum est enim, simile de substantiis non prædicari), qui, quæso, non stultum fuerit, et fortasse etiam gravissimum id de Filio proferre, et non potius eum consubstantialem appellare?

54. Idcirco probe Nicæna synodus id scripsit quod consentaneum erat, Filium nempe ex substantia Patris genitum, esse consubstantialem. Hæc eadem nos cum didicerimus, ne cum umbris pugnemus : gnari maxime eos, qui hæc scripserunt, non studio prave explicandi veritatem, sed eam una cum pietate in Christum asserendi, et Ariomanitarum blasphemias damnandi, sic fidem promulgasse suam. Considerandum enim est, et accurate animadvertendum, cum eum dicimus substantia dissimilem, et diversæ substantiæ, nos haudquaquam verum Filium significare, sed unum ex opificiis, et ascitum adoptioneque Filium, quod hæretici sentiunt : quem si dicamus sine contentione consubstantialem, verum significamus Filium ex Patre natum : etiamsi hac de causa pluries disrumpantur Christi hostes. Hæc quidem quæ nota mihi, et ex prudentium disputationibus explorata erant, paucis scripsi. Vos autem manentes super fundamentum apostolorum, Patrumque traditiones retinentes, orate ut jam cesset omnis contentio et zelus, hæreticorumque insanæ quæstiones et una omnis verborum contentio damnentur, utque nefaria et sanguinaria Arianorum hæresis aboleatur, in omnium vero cordibus veritas eluceat ; ita ut omnes ubique idem dicant, idem sentiant : ac nulla deinceps relicta Ariana blasphemia, per universam Ecclesiam dicatur, atque in confesso habeatur illud, « Unus Dominus, una fides, unum baptisma [1], » 613 in Christo Jesu Domino nostro, per quem Patri gloria et imperium, in sæcula sæculorum. Amen.

55. Postquam de synodis scripsissem, comperi impiissimum Constantium ad episcopos Arimini versantes scripsisse ; operamque dedi ut exempla a germanis fratribus acciperem, ad vosque mitterem, et simul ea quæ episcopi rescripserunt : ut sciatis cum imperatoris impiam versutiam, tum episcoporum firmam immotamque in veritate sententiam.

[1] Ephes. IV, 5.

(82) Sic Regius. Editi autem, ὁμοιούσιος.
(83) Regius codex, αὐτά.
(84) Ita Regius. Editi vero, ἀνομοιούσιον.
(85) Felckman. 3, καὶ τῶν εἰσποιητῶν καὶ θέσει Υἱόν.
(86) Ita Regius. Editi vero et cæteri mss. τῶν ἀποστόλων.
(87) Καὶ deest in Felckman. 3. Paulo post, idem, βλασφημίας λέγηται καὶ ὁμολογῆται. Editi, δυσφημίας λέγηται ὁμολογῆται. Regius, δυσφημίας λέγητε καὶ ὁμολογεῖτε.
(88) Felckm. 3, ᾧ ἡ δόξα, etc. In hæc autem verba desinebat Nannii versio. Hæc autem, μετὰ τὸ γράψαι, cum duabus epistolis sequentibus, ex codice Basiliensi adjecta fuere in edit. Comm. habenturque in Regio codice.
(89) Ita Regius. Editi vero, μέν, male.
(90) Sic Regius. In editis vero καί deest.

Interpretatio epistolæ.

Constantius Victor et Triumphator Augustus, omnibus episcopis qui Ariminum convenerunt.

Præcipuam nos semper curam gerere divinæ et adorandæ legis, ne vestra quidem mansuetudo ignorat : attamen viginti episcopos a vestra prudentia missos, qui legationem vestram obeundam susceperunt, nondum videre potuimus ; urgebat enim nos necessaria adversus barbaros expeditio : et, quemadmodum nostis, animo ob omni sollicitudine vacuo divinæ legis negotia tractanda sunt. Quamobrem episcopis mandavimus ut Adrianopoli reditum nostrum exspectarent, ut, postquam ea quæ ad rempublicam pertinent recte fuerint constituta, tunc demum quæ illi suggesserint,audire atque expendere valeamus. Vestræ igitur constantiæ B ne molestum sit eorum reditum exspectare,ut,cum reversi fuerint, nostra ad vos responsa ferentes, ea quæ utilitatem Ecclesiæ catholicæ spectant, ad exitum perducere possitis. Hæc episcopi acceperunt, tribus referentibus.

Exemplum epistolæ episcoporum.

Tuæ clementiæ litteras accepimus, domine imperator religiosissime, quibus significas, te,ob publicorum negotiorum necessitatem, nondum potuisse legatos nostros ad conspectum admittere tuum : nosque jubes eorum reditum exspectare, donec pietas tua per illos norit quæ sunt a nobis juxta majorum nostrorum traditionem decreta. Nos C vero etiam nunc his litteris profitemur, et affirmamus, nullatenus nos a proposito nostro discessuros : id enim legatis quoque nostris jussimus. Rogamus itaque,ut placido vultu, tum hæc mediocritatis nostræ scripta jubeas perlegi,tum ea quæ per legatos nostros mandavimus, perhumaniter accipias. Porro tua benignitas nobiscum intelligit, quantus mœror et tristitia nunc sit, quod tuis felicissimis temporibus, tot Ecclesiæ episcopis destitutæ sint, et idcirco clementiam tuam etiam atque etiam rogamus,domine Deo charissime imperator, ut ante hiemis asperitatem, si quidem id tuæ pietati placuerit, nos ad nostras Ecclesias redire jubeas : quo possimus omnipotenti Deo, et Domino ac Salvatori nostro Christo, 614 Filio ejus uni-

A Ἑρμηνεία τῆς ἐπιστολῆς (91).

(92) Κωνστάντιος Νικητὴς καὶ Θριαμβευτὴς Αὔγουστος πᾶσιν ἐπισκόποις τοῖς ἐν Ἀριμήνῳ συνελθοῦσιν.

Ἀεὶ μὲν (93) προηγουμένην ἡμᾶς ἔχειν φροντίδα περὶ τοῦ θειου καὶ προσκυνητοῦ νόμου, οὐδὲ ἡ ὑμετέρα χρηστότης ἀγνοεῖ· ἀλλὰ νῦν τοὺς παρὰ τῆς συνέσεως (94) ὑμῶν ἀποσταλέντας εἴκοσιν ἐπισκόπους, ἀναδεξαμένους τὴν παρ' ὑμῶν πρεσβείαν, τέως οὐκ ἠδυνήθημεν (95) αὐτοὺς ἰδεῖν. Ἀναγκαία γάρ τις ἡμᾶς ἤπειγεν ἡ πρὸς τοὺς βαρβάρους ὁδός· καὶ, ὡς οἴδατε, πρέπει τὴν ψυχὴν, καθαρὰν οὖσαν ἀπὸ πάσης φροντίδος, τὰ περὶ τοῦ θείου νόμου διαγυμνάζειν. Τοιγαροῦν τοὺς ἐπισκόπους ἐκελεύσαμεν (96) ἐν τῇ Ἀδριανουπόλει ἐκδέξασθαι τὴν ἡμετέραν ἐπάνοδον, ἵνα, ἐπειδὰν πάντα καλως διατεθῇ τὰ δημόσια, τότε λοιπὸν ἅπερ ἂν ὑποβάλωσιν (97), ἀκοῦσαι καὶ δοκιμάσαι δυνηθῶμεν. Τῇ μέντοι στερρότητι ὑμῶν μὴ βαρὺ φαινέσθω, ὥστε ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον, ἵνα ἐπειδὰν ἐπανέλθωσι κομίζοντες ὑμῖν τὰς ἡμετέρας ἀποκρίσεις, δυνηθῆτε εἰς πέρας ἀγαγεῖν τὰ πρὸς τὴν λυσιτέλειαν ἀνήκοντα τῇ καθολικῇ Ἐκκλησίᾳ. Ταῦτα ἐδέξαντο οἱ ἐπίσκοποι, ἐπαγομένων τριῶν (98)

Ἀντίγραφον τῶν ἐπισκόπων.

Τὰ γράμματα τῆς σῆς φιλανθρωπίας ἐδεξάμεθα, κύριε θεοφιλέστατε βασιλεῦ, τὰ περιέχοντα διὰ τὴν δημοσίων ἀνάγκην τέως μὴ δεδυνῆσθαί σε (99) τοὺς ἡμετέρους πρέσβεις θεωρῆσαι· ἡμᾶς τε κελεύεις ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον, ἕως ἂν τὰ παρ' ἡμῶν ὁρισθέντα ἀκολούθως τοῖς προγόνοις ἡμῶν ἐπιγνῷ παρ' αὐτῶν ἡ σὴ εὐσέβεια. Ἀλλὰ καὶ νῦν διὰ τούτων τῶν γραμμάτων ὁμολογοῦμεν, καὶ διαβεβαιούμεθα, μηδαμῶς ἡμᾶς ἀναχωρεῖν τῆς ἡμετέρας προθέσεως· τοῦτο γὰρ (1) καὶ τοῖς πρεσβεῦσιν ἡμῶν ἐνετειλάμεθα. Ἀξιοῦμεν τοίνυν ὅπως γαληναίᾳ τῇ προσόψει τά τε νῦν γράμματα τῆς ἡμετέρας μετριότητος κελεύσῃς ἀναγνωσθῆναι. Ἀλλὰ γὰρ κἀκεῖνα, ἃ διὰ τῶν πρεσβέων ἡμῶν ἐνετειλάμεθα, ἡδέως ὑποδέξῃ. Ἐκεῖνο μέντοι συνορᾷ μεθ' ἡμῶν καὶ ἡ σὴ ἡμερότης, ὅση νῦν ἐστι λύπη καὶ κατήφεια, ὅτι ἐν τοῖς σοῖς (2) μακαριωτάτοις καιροῖς τοσαῦται Ἐκκλησίαι χωρὶς ἐπισκόπων εἰσί· καὶ διὰ τοῦτο πάλιν τὴν σὴν φιλανθρωπίαν ἀξιοῦμεν, κύριε θεοφιλέστατε βασιλεῦ, ὅπως πρὸ τῆς τραχύτητος τῶν χειμώνων, εἴπερ ἀρέσειε τῇ σῇ εὐσεβείᾳ, κελεύσῃς ἡμᾶς εἰς τὰς ἡμετέρας Ἐκκλησίας ἐπανελθεῖν, ὑπὲρ τοῦ δύνασθαι ἡμᾶς τῷ παν-

(91) In Regio hæc, Ερμηνεια της ἐπιστολῆς, miniatis litteris scripta sunt.

(92) Hæc epistola habetur apnd Socratem lib. II, cap. 37.

(93) Μέν deest in Socrate.

(94) Socrat., ἀπὸ τῆς συν.

(95) Regius, τε ὡς οὐκ ἐδυνήθημεν. In Socrat. αὐτούς deest. Mox Socrat., ἀναγκαία γὰρ ἡμῖν ἡ πρὸς τοὺς βαρβάρους ὁδός.

(96) Sic Regius et Socrat. Editi vero, διεκελεύσαμεν.

(97) Socrat., ἅπερ ὑποβάλλουσιν.

(98) Socrat., ταῦτα δεξάμενοι τὰ γράμματα οἱ ἐπίσκοποι, αὖθις τοιαῦτα ἀντέγραψαν. Sequens porro epistola habetur ibidem apud Socrat. lib. II, c. 34, et apud Theodor. lib. II, cap. 20 ; sed stylo multum diversa. Nam Latine primum data aliam apud Athanasium et Socratem, aliam apud Theodoretum interpretationem habet.

(99) Regius codex, δὲ δυνῆσθαι, mendose. Mox Socrat., ἡμᾶς δέ. Infra idem, ἡ σὴ εὐλάβεια.

(1) Γάρ deest in Socrate. Infra Regius, γαληναίῳ.

(2) Sic Regius codex et Socrates. In editis, ἐν et σοῖς deest. Infra Regius καί habet ante πάλιν.

τοκράτορι Θεῷ, καὶ τῷ Δεσπότῃ καὶ Σωτῆρι ἡμῶν Χριστῷ (3), τῷ Υἱῷ αὐτοῦ τῷ μονογενεῖ, ὑπὲρ τῆς σῆς βασιλείας, τὰς ἐθίμους εὐχὰς μετὰ τῶν λαῶν ἀποπληροῦν, καθὼς καὶ ἀεὶ ἐπετελέσαμεν, καὶ νῦν ποιοῦμεν εὐχόμενοι.

genito, pro imperio tuo consuetas una cum populis preces effundere : sicut ante semper fecimus, et nunc orantes facere non desistimus.

(3) Socrat., Ἰησοῦ Χριστῷ.

IN TOMUM AD ANTIOCHENOS

MONITUM.

I. *In prioribus editis Græcis epistolæ nomen obtinet hoc opusculum, editorum sane vitio, nam* Τόμος *nuncupatur in omnibus pene codicibus, et* Tomus *in veteribus editis Latinis. Et vero non insolentem esse titulum ejusmodi, cum aliis permultis exemplis, tum maxime hoc luculento Gregorii Nazianzeni testimonio comprobatur. Is enim epistola 1, ad Cledonium, sic habet loquens de Apollinaristis :* Δείξουσι δὲ πάντως, ἢ διὰ τόμου συνοδικοῦ, ἢ δι' ἐπιστολῶν κοινωνικῶν. Οὗτος γὰρ τῶν συνόδων ὁ νόμος· Omnino autem ostendent (*se scilicet ad communionem admissos esse*) vel per tomum synodalem, vel per epistolas communionis indices. Nam hic synodorum mos est. Τόμος *autem vocatur, ait Philotheus patr. lib.* II, adversus Niceph. Gregoram, *quod in eo res* συντετμημένως, *id est paucis, enarrentur.*

II. *Putat Felckmannus hanc epistolam seu tomum, esse fragmentum alicunde divulsum. Hæc illius sunt verba* : In codice Gobleriano notatur ad hanc epistolam, Ζήτει τὴν ἀρχὴν τοῦ αὐτοῦ λόγου (præcessit enim Liberii ἀκέφαλος) : quo innui videtur hanc similiter esse fragmentum alicujus libri. Cujus rei etiam hoc judicium est, quod infra sub finem scribuntur quædam quæ in Antiochena synodo acta sunt, ad quam tamen habendam demum scriptam esse ex contextu apparet, et auctor est Socrates. Putarim ego epistolam hanc cum appendice, alicujus libri synodici fragmentum esse, aut certe illa sub finem aliunde ad epistolam assuta. *Porro ad marginem Segueriani item scribitur,* Ζήτει ἀρχήν, *perinde atque in Gobleriano, cujus notam non intellexit Felckmannus, nec intellecturus est quisquis ordinem manuscriptorum Athanasii non adverterit. In omnibus itaque codicibus quos, vel quorum catalogum dispicere licuit, hic tomus bis descriptus est, et primo quidem integer atque absolutus, duodecimus numero habetur, atque iterum in iisdem septuagesimus nonus ordine locatur, non quidem ex integro descriptus, sed ab initio ejus pars haud exigua ibi exaratur. Ad marginem igitur duodecimi scribunt librarii,* Ζήτει ἀρχήν, Quære initium, *quia scilicet ejusdem initium septuagesimo nono loco iterum ponitur, cum hac nota in Regio codice,* Προεγράφη εἰς τὸ β' λόγον τὸ ὅλον, Descriptus est supra integer duodecimo tractatu. *Liquet autem hunc tomum omnibus numeris et partibus suis absolutum esse, ut ne vel minima suspicio sit esse fragmentum. Paulini vero formula fidei quæ ad calcem assuta est, Antiochiæ quidem edita fuit, sed congruenter huic tomo Alexandrinæ synodi attexitur, subscribit enim ille rebus Alexandriæ decretis.*

III. *Quid Athanasium cæterosque Patres compulerit ad eam celebrandam synodum, ex hoc ipso tomo comperire licet. Actum enim ibi primo fuit de rebus Antiochenæ Ecclesiæ componendis. Nam tres in partes distracta tunc civitas erat. Prima numero maxima erat Arianorum, qui, pulso Meletio, Euzoium suæ sectæ hominem episcopum sibi constituerant; 2ª Meletianorum, ut vocabant a Meletio episcopo, quem Ariani ordinarant episcopum, rati suæ favere sententiæ. At ubi primum agnoverunt eum consubstantialitatis strenuum defensorem esse, in exsilium ablegari curarunt, cum vix triginta sedisset dies. Redux ille cum aliis, Juliano ineunte imperium, a suis ingenti gaudio exceptus fuerat; 3ª Eustathianorum, a sancto Eustathio Antiochiæ olim episcopo : sed Arianorum, quibus infensissimus erat, insidiis in exsilium pulso, atque illic defuncto. Hi a reliquis omnibus segregati Paulini presbyteri conventibus intererant, atque cum Athanasio communicabant. Quos ad pacem cohortatur Athanasius, suadetque ut cum iis communicent qui in Veteri conventus agunt, scilicet cum Meletianis; qua in re nequaquam Athanasio synodoque Alexandrinæ obtemperatum est, diuturnum enim postea fuit discidium.*

IV. *Quod autem ait Baronius, Paulinum, antequam Alexandrina cogeretur synodus, a Lucifero episcopum ordinatum fuisse, vel ex hoc tomo, cui tamen soli ipse innititur, elevari videtur. Nam si episcopus antea fuit ordinatus, cur episcopi nomen ei nusquam hoc tomo tribuitur, maximeque num. 9, ubi cum agitur de legatis Luciferi, Paulini et Apollinarii, primus et postremus episcopi dicuntur, Paulinus minime? An credibile est si jam episcopus Paulinus fuisset, non hortaturos fuisse synodi Patres, ut omnes Catholici præsuli suo*

adjungerentur? Sed instat Baronius, episcopum fuisse qui legatos miserit ad synodum. At certum est sede vacante licuisse presbytero legatos ad synodum mittere. Vacabat porro tunc Antiochena sedes, vel saltem vacare putabatur: Euzoius enim Arianus ab Arianis ordinatus fuerat. Meletius item ab Arianis constitutus, licet catholicus esset, plurimis tamen Catholicorum suspectus, nondum omnino Arianicæ promotionis maculam diluerat. His adde Baronio refragari omnes ecclesiasticæ historiæ scriptores, qui aiunt eo tempore ordinatum fuisse Paulinum, quo Patres Alexandrini de rebus Ecclesiæ agerent.

(43) Sic Basilicus Seguer. Felc. 2 et 5, Gobler. et Felc. 1, qui duo postremi non habent καὶ ante καθὼς. Editi, σταυροῦ. Καθὼς, omissis mediis. Ibidem Seguer. Basil. Anglic. Felc. 2 et 5, μαλακίας, editi et alii, ἀσθενείας. Græcus Script. textus, ἁμαρτίας. Hebr. חלינו, Vulgata *languores*, recte. Ibid. Græcus Script. textus, φέρει, pro αἴρει. Ibid. omnes fere manuscripti. περὶ ὑμῶν. Editi, ὑπὲρ ἡμῶν. Infra Seguer., quem sequimur, καὶ οὐκ αὐτὸς. Editi et alii, καὶ οὗτος οὐκ. Mox Seguer. Gobler. et Felc. 1, ἀλλ' ἡμεῖς καὶ γ' ἡμᾶς. Editi, ἀλλὰ δι' ἡμᾶς, minus recte. Ibidem, pro παρεγένετο, Seguer. habet ἦλθεν. Ibid. omnes manuscripti, καὶ ὅτε, præter Felc. 3, qui cum editis habet καὶ ὅταν. Hic porro locus habetur apud Theodoretum, dial. 2, p. 93, et Gelas. De duabus Naturis, c. 2.

(44) Sic omnes omnino mss. et Theod. Editi, ὄνομα καὶ τὰ ἑξῆς. Ibid. Theod., post περὶ τοῦ ναοῦ, addit, οὐ περὶ τῆς θεότητος. Infra Seguer. solus. τῇ ἰδίᾳ σαρκί. Paulo post Theod. habet ἀρχήν, pro κατὰ χάριν.

3. Οὐ γὰρ ὁ Ὕψιστος ὑψοῦται, ἀλλ' ἡ σὰρξ τοῦ Ὑψίστου ὑψοῦται· καὶ τῇ σαρκὶ τοῦ Ὑψίστου ἐχαρίσατο ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Καὶ οὐχ ὁ Λόγος τοῦ Θεοῦ κατὰ χάριν ἔλαβε τὸ καλεῖσθαι Θεὸς, ἀλλ' ἡ σὰρξ αὐτοῦ σὺν αὐτῷ ἐθεολογήθη. Οὐ γὰρ εἶπεν, ὅτι ὁ Λόγος Θεὸς γέγονεν, ἀλλὰ, Θεὸς ἦν ὁ Λόγος· Ἀεὶ ἦν (45), φησὶν, ὁ Θεὸς Λόγος, καὶ οὗτος αὐτὸς ὁ Θεὸς γέγονε σὰρξ, ἵνα ἡ σὰρξ αὐτοῦ γένηται Θεὸς Λόγος· καθὼς καὶ ὁ Θωμᾶς, ψηλαφήσας τὴν σάρκα αὐτοῦ, ἀνεβόησεν· Ὁ Κύριός μου, καὶ ὁ Θεός μου, τὸ συναμφότερον θεολογῶν· ὁμοίως δὲ καὶ ὁ Ἰωάννης ἔγραψεν (46)· Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς. Φανερὸν οὖν ἐστιν, ὅτι ἐν σαρκὶ ὁ Υἱὸς καὶ Λόγος τοῦ Πατρὸς ἐψηλαφήθη, καὶ τὸ συναμφότερον, Λόγον ζωῆς, ἡ θεία Γραφὴ παραδέδωκε (47) ψηλαφηθέντα. Καὶ ὅτε λέγει· Οὔπω ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη, τὴν σάρκα αὐτοῦ λέγει μήπω δοξασθεῖσαν. Οὐ γὰρ ὁ Κύριος τῆς δόξης δοξάζεται, ἀλλ' ἡ σὰρξ τοῦ Κυρίου τῆς δόξης· αὕτη λαμβάνει δόξαν συναναβαίνουσα (48) αὐτῷ εἰς οὐρανόν. Ὅθεν καὶ Πνεῦμα υἱοθεσίας οὔπω ἦν ἐν ἀνθρώποις, διότι ἡ ληφθεῖσα ἀπαρχὴ ἐξ ἡμῶν οὔπω ἦν ἀνελθοῦσα εἰς οὐρανόν.

4. Ὅσα οὖν λέγει ἡ Γραφὴ, ὅτι ἔλαβεν ὁ Υἱὸς, καὶ ἐδοξάσθη ὁ Υἱὸς, διὰ τὴν ἀνθρωπότητα αὐτοῦ λέγει, οὐ διὰ τὴν θεότητα. Καὶ ὅτε (49) λέγει, Ὁ Πατήρ μου, ὁ πέμψας με, μείζων μου ἐστίν, ἐπεὶ ἄνθρωπος γέγονε, μείζω αὐτοῦ λέγει τὸν Πατέρα. Λόγος δὲ ὢν τοῦ Πατρὸς, ἴσος αὐτοῦ ἐστιν. Ἐγὼ γὰρ, φησὶ, καὶ ὁ Πατὴρ ἓν ἐσμεν· καὶ Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Καὶ οὐκ ἀπὸ ἁρπαγῆς (50) ἔχει τὸ εἶναι αὐτὸν ἴσον τῷ Πατρὶ, ἀλλὰ κατὰ φύσιν ἴσος ἐστὶ καὶ ὁμοούσιος τῷ Πατρί· διότι ἐκ τῆς πατρικῆς οὐσίας γεγέννηται. Καὶ ὅτε λέγει ὁ Ἀπόστολος, Ὅτι ἐν Χριστῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἐν τῇ σαρκὶ αὐτοῦ κατοικεῖν πᾶν (51) τὸ πλήρωμα τῆς θεότητος νοητέον. Καὶ ὅτε λέγει, Ὃς γε τοῦ ἰδίου Υἱοῦ, οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, ἀλλαχοῦ λέγει· Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς.

A 3. Non enim Altissimus exaltatur, sed caro Altissimi: Altisimiqne carni nomen donavit, quod est super omne nomen. Neque Dei Verbum per gratiam accepit, ut Deus vocaretur, sed caro ejus **698** una cum ipso. Dei nomen accipit: non enim dixit: Verbum Deus factum est; sed: *Deus erat Verbum* [49]: Semper, inquit, Deus erat Verbum, et hic ipse Deus caro factus est, ut caro ejus fieret Deus Verbum. Quare et Thomas cum carnem ejus palpasset, exclamavit: *Dominus meus, et Deus meus* [50], utrumque simul Deum appellans. Itidem et Joannes hæc scripsit: *Quod fuit ab initio, quod audivimus, quod vidimus oculis nostris, quod perspeximus, et manus nostræ contrectaverunt de Verbo vitæ* [51]. Propalam est igitur, in carne Filium et Verbum Patris palpatum fuisse, et utrumque Scriptura divina tradidit esse *Verbum vitæ* quod palpatum est. Et cum dicit: *Nondum erat Spiritus datus, quia Jesus nondum erat glorificatus* [52], de carne ejus loquitur nondum glorificata. Non enim Dominus gloriæ glorificatur, sed caro Domini gloriæ: ipsa gloriam accipit ubi una cum illo in cœlum ascendit. Unde Spiritus adoptionis nondum erat in hominibus, quia primitiæ ex nobis assumptæ nondum in cœlum ascenderant.

B

4. Quæcunque igitur Scriptura dicit, nempe: *accepit Filius, glorificatus est Filius*, propter ejus humanitatem, et non propter deitatem sic loquitur. Et cum dicit, *Pater meus qui misit me, major me est* [53], eo dicit Patrem se majorem, quod ipse homo factus sit. Cum autem Verbum sit Patris, æqualis est illi. Nam *Ego*, inquit, *et Pater unum sumus* [54]: et: *Qui vidit me, vidit et Patrem* [55]. Ac non ex rapina habet quod sit æqualis Patri, sed secundum naturam æqualis est, et consubstantialis Patri, quia ex Patris substantia genitus est. Et cum Apostolus dicit, *Quia in Christo inhabitat omnis plenitudo divinitatis corporaliter* [56], in carne ejus inhabitare plenitudinem divinitatis, intelligendum est. Et cum aliquando dixerit, *Qui proprio Filio suo non pepercit, sed pro nobis omnibus tradidit illum* [57], alio loco ait: *Sicut et Christus dilexit Ecclesiam, et seipsum tradidit pro ea* [58].

C

[49] Joan. I, 1. [50] Joan. XX, 28. [51] I Joan. I, 1. [52] Joan. VII, 39. [53] Joan, XIV, 28. [54] Joan. X, 30. [55] Joan. XIV, 9. [56] Coloss. II, 9. [57] Rom. VIII, 32. [58] Ephes. V, 25.

(45) Seguer. Anglic. et Gobler., ἀεὶ ἦν, φ. In editis ἦν deest.

(46) Ita Seguer. recte. Editi vero et alii, ἔγραφεν. Paulo post, hæc, ὃ ἐθεασάμεθα, desunt in Seguer. Anglic. Gobler. et Felckm. 1.

(47) Seguer. Gobler. et Felc. 1, παρέδωκε. Mox iidem, ὅταν λέγῃ. Hæc item habentur apud Theodoretum et Gelasium locis superius notatis. Paulo post Seguer., οὔπω ἐδοξάσθη. Editi, οὐδέπω.

(48) Lectionem sequimur Theodoreti. Editi autem et omnes mss. habent συναναβαίνουσαν, errore hinc orto, quod cernentes librarii vocem præcedentem δόξαν, putarint scribendum συναναβαίνουσαν. At liquet referri ad vocem σάρξ. Mox Seg. Gobler. et Felc. 1, ληφθεῖσα ἀπαρχὴ ἐξ ἡμῶν (ἐξ deest in

D Gobler. et Felc. 1). Theodor. pro ἐξ ἡμῶν habet ἐξ ἀνθρώπων. Editi vero, ληφθεῖσα σὰρξ ἐξ ἀρχῆς ἀνθρώπων.

(49) Hæc, Καὶ ὅτε, etc., usque ad sequens Καὶ ὅτε λέγει ὁ Ἀπ. (ubi Gobler. et Felc. 1 habent ὅτι λέγει) desunt in Seguer. Gobler. et Felck. 1, nec lecta sunt a Nannio, et ad calcem hujus opusculi in quibusdam mss. sunt restituta.

(50) Basil., ἐστιν. Καὶ οὐκ ἀπὸ ἁρπ), omissis mediis.

(51) Sic Seguer. Anglic. Gobl. Felc. 1; in Seguer. πᾶν deest, et in Gobler. et Felc. 1 τῆς θεότητος. Editi, νοητέον ἐν τῇ σαρκὶ αὐτοῦ, omissis aliis. Mox Felc. 5, ἔδωκεν pro παρέδωκεν.

5. Non enim ut seipsum salvum faceret venit Deus, qui est immortalis; sed ut nos qui mortui eramus liberaret: neque pro se passus est, sed pro nobis: ita ut ideo nostram vilitatem inopiamque susceperit, ut nobis divitias largiretur suas. Passio enim ejus, nostra est impassibilitas: mors ejus, nostra immortalitas: lacrymæ ejus, nostrum gaudium: sepultura ejus, nostra resurrectio, et baptismus ejus, nostra sanctificatio: nam *Pro eis*, inquit, *ego sanctifico meipsum, ut sint et ipsi sanctificati in veritate* [59]. Et livor ejus nostra est sanatio: nam *livore ejus sanati sumus* [60]. Et disciplina ejus pax est nostra: nam *Disciplina pacis nostræ super eum* [61]; id est, pro pace nostra ipse castigatur. Et ignominia ejus nostra est gloria: unde propter nos gloriam petit his verbis: *Glorifica me tu, Pater, apud temetipsum gloria quam habui, prius quam mundus esset, apud te* [62]. Nos enim sumus qui in illo glorificamur. Et descensus ejus noster est ascensus, juxta illud quod scriptum est, *Conresuscitavit, 699 et consedere fecit in cœlestibus in Christo Jesu* [63]; et illud: *Ut ostenderet in sæculis supervenientibus abundantes divitias gratiæ suæ, in bonitate super nos in Christo Jesu* [64]. Et cum in cruce ait, *Pater, in manus tuas commendo spiritum meum* [65], Patri per seipsum omnes commendat homines, qui in ipso vivificantur. Membra enim ejus sunt, et multa membra unum corpus sunt, quod est Ecclesia: quemadmodum beatus Paulus ad Galatas scribit: *Omnes enim vos unum estis in Christo Jesu* [66]. Omnes igitur in seipso commendat.

6. Ita quoque cum ait: *Dominus creavit me initium viarum suarum* [67], de Ecclesia illud dicit, quæ in ipso condita est. Non enim omnium opifex creatura est vel opificium; sed opificium in opifice renovatur, juxta illud Pauli dictum: *Ipsius enim sumus factura, creati in Christo Jesu* [68]; et ut iterum ait: *Ut innotescat nunc principatibus et potestatibus in cœlestibus per Ecclesiam multiformis sapientia Dei, secundum præfinitionem sæculorum, quam fecit in Christo Jesu Domino nostro: in quo habemus fiduciam, et accessum in confidentia per*

A 5. Οὐ γὰρ ἑαυτὸν ἦλθε σῶσαι ὁ ἀθάνατος Θεὸς (52), ἀλλὰ τοὺς θανατωθέντας· καὶ οὐχ ὑπὲρ ἑαυτοῦ ἔπαθεν, ἀλλ' ὑπὲρ ἡμῶν· ὥστε διὰ τοῦτο τὴν εὐτέλειαν ἡμῶν καὶ τὴν πτωχείαν ἀνεδέξατο, ἵνα ἡμῖν τὸν πλοῦτον αὐτοῦ χαρίσηται. Τὸ γὰρ πάθος αὐτοῦ, ἡμῶν ἀπάθειά ἐστι· καὶ ὁ θάνατος αὐτοῦ, ἡμῶν ἀθανασία ἐστί (53)· καὶ τὸ δάκρυον αὐτοῦ, χαρὰ ἡμετέρα· καὶ ἡ ταφὴ αὐτοῦ, ἡμῶν ἀνάστασις· καὶ τὸ βάπτισμα αὐτοῦ ἡτμῶν ἁγιασμός· Ὑπὲρ αὐτῶν γὰρ, φησὶν, ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. Καὶ ὁ μώλωψ αὐτοῦ, ἡμῶν ἴασις· Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Καὶ ἡ παιδεία αὐτοῦ, ἡμῶν εἰρήνη· Παιδεία γὰρ εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τουτέστιν, ἕνεκεν τῆς ἡμῶν εἰρήνης αὐτὸς παιδεύεται· καὶ ἡ ἀδοξία αὐτοῦ, ἡμῶν δόξα· ὅθεν αἰτεῖ B (54) τὴν δόξαν δι' ἡμᾶς, λέγων· Δόξασόν με σὺ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμτν εἶναι, παρὰ σοί. Ἡμεῖς γάρ ἐσμεν οἱ ἐν αὐτῷ δοξαζόμενοι· καὶ ἡ κάθοδος αὐτοῦ ἡμῶν ἐστιν ἄνοδος, κατὰ τὸ γεγραμμένον. Καὶ συνήγειρε (55) καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ· καὶ τὸ, Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι, ἐκ Χριστῷ Ἰησοῦ ἐφ' ἡμᾶς. Καὶ τὸ λέγειν αὐτὸν ἐν τῷ σταυρῷ· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, πάντας ἀνθρώπους παρατίθεται τῷ Πατρὶ δι' ἑαυτοῦ (56), τοὺς ἐν αὐτῷ ζωοποιουμένους. Μέλη γὰρ αὐτοῦ εἰσι, καὶ τὰ πολλὰ μέλη ἕν ἐστι σῶμα, ὅπερ ἐστὶ ἡ Ἐκκλησία· καθὼς καὶ ὁ μακάριος Παῦλος γράφει Γαλάταις· Πάντες γὰρ ὑμεῖς ἕν ἐστε ἐν Χριστῷ Ἰησοῦ· τοὺς C πάντας οὖν παρατίθεται ἐν ἑαυτῷ (57).

6. Οὕτως οὖν καὶ ὅτε λέγει, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, περὶ τῆς Ἐκκλησίας λέγει, τῆς ἐν αὐτῷ κτιζομένης. Οὐ γὰρ ὁ ποιητὴς τῶν ἁπάντων κτίσμα καὶ ποιημά ἐστιν, ἀλλὰ τὸ ποίημα ἐν τῷ ποιητῇ ἀνανεοῦται, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ Παύλου· Αὐτοῦ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ. Καὶ καθὼς πάλιν λέγει· Ἵνα γνωρισθῇ νῦν ἐν ταῖς ἀρχαῖς (58) καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυ-

[59] Joan. XVII, 19. [60] Isa. LIII, 5. [61] ibid. [62] Joan. XVII, 5. [63] Ephes. II, 6. [64] ibid. 7. [65] Luc. XXIII, 46. [66] Galat. III, 28. [67] Prov. VIII, 22. [68] Ephes. II, 10.

(52) Sic Seguer. Gobler. et Felc. 1, atque ita legit Nannius. Editi et alii, ὁ ἀθάνατος Υἱός. Mox Seguer. ἐπέθανεν pro ἔπαθεν· Nannius, *mortuus est*. Ibidem Seguer. Goblea. Felc. 2 et 5, διὰ τοῦτο. Editi et alii, διὰ τούτων. Mox Anglic., ἐδέξατο. Ibid. Seguer. Basil. Anglic. et Felc. 2, τὸν πλοῦτον αὐτοῦ, et ita legit Nannius. Editi et alii, πάντα τὸν πλοῦτον.

(53) Hæc, καὶ ὁ θάνατος αὐτοῦ ἡμῶν ἀθανασία ἐστί, desunt in Basil.; postrema vox ἐστὶ tantum deest in Seguer. Infra quidam, ἀνάστασις καὶ ἀθανασία ἐστὶ, καὶ τὸ βάπτισμα.

(54) Ita Seguer. Gobler. et Felc. 1. Editi et alii, ᾔτει. Paulo post Seguer., ἦπερ εἶχον.

(55) Seguer. Gobler. et Felc. 1, κατὰ τό λεγόμενον συνήγειρε. Editi vero, κατὰ τὸ γεγραμμένον· καὶ D συνήργειρε. Mox Seguer. Anglic., καὶ τό, quæ in aliis et editis desiderantur. Mox omnes mss., ἐπερχομένοις. præter. Felc. 3, qui cum editis habet ὑπερχομένοις. Infra hæc, ἐν Χριστῷ Ἰησοῦ, desunt in Felc. 2.

(56) Ita omnes mss. præter Felc. 3, qui cum editis habet δι' αὐτοῦ. Mox Seguer., ἐσμέν, et ita legit Nannius; alii vero cum editis, εἰσί. Paulo post in Segue. καί post καθώς deest. Ibid. Gobler. et Felc. 1, καὶ ὁ Ἀπόστολος γράφη. Infra Seguer. Gobl. et Felc. 1, εἰς ἐστε· editi et alii, ἕν ἐστε.

(57) Ita Seguer. Anglic. Gobler. et Felc. 1. Editi vero, ἐν αὐτῷ.

(58) Ita plurimi mss. et Scripturæ textus. Editi vero et alii. Ἵνα γνωσθῇ νῦν ναῖς ἀρχαῖς.

ρίφ ἡμῶν· ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν, καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως (59) αὐτοῦ. Καὶ πάλιν φησί· Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν (60). Καὶ πάλιν λέγει καὶ περὶ τῶν δύο λαῶν· Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινον ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ (61).

A *fidem ejus*[69]. Et iterum ait : *Sicut elegit nos in ipso ante mundi constitutionem, ut essemus sancti et immaculati in conspectu ejus in charitate. Qui prædestinavit nos in adoptionem filiorum per Jesum Christum in ipsum*[70]. Et rursum dicit de duobus populis : *Ut duos condat in semetipso in unum novum hominem, faciens pacem, et reconciliet ambos in uno corpore Deo per crucem, interficiens inimicitias in semetipso*[71].

7. Καὶ ὅταν λέγει· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός· ὁ Θεὸς, συναριθμήσας ἑαυτὸν μετὰ τῶν ἀνθρώπων, κατὰ τὴν σάρκα αὐτοῦ τοῦτο εἶπε, καὶ πρὸς τὸν νοῦν τοῦ προσελθόντος αὐτῷ. Ἐκεῖνος γὰρ ἄνθρωπον αὐτὸν ἐνόμιζε μόνον καὶ οὐ Θεὸν, καὶ τοῦτον ἔχει τὸν νοῦν ἡ ἀπόκρισις· Εἰ μὲν γὰρ ἄνθρωπον, φησὶ, νομίζεις με, καὶ οὐ Θεὸν (62), μή με λέγε ἀγαθόν· οὐδεὶς γὰρ ἀγαθός· Οὐ γὰρ διαφέρει ἀνθρωπίνῃ φύσει τὸ ἀγαθὸν, ἀλλὰ Θεῷ. Καὶ ἐπιφέρει· Τὰς ἐντολὰς οἶδας; Εἰρηκότος δὲ ἐκείνου· Ποίας; ἔφη· Οὐ μοιχεύσεις, οὐ φονεύσεις, καὶ τὰ ἑξῆς. Ἀπεκρίνατο λέγων· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, τί ἔτι ὑστερῶ; Ἔφη αὐτῷ· Εἰ θέλεις τέλειος εἶναι (63), ὕπαγε, πώλησόν σου πάντα ὅσα ἔχεις, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ λαβὼν τὸν σταυρόν σου ἀκολούθει μοι. Διὰ τούτων οὖν (64) ἔδειξεν, ὅτι καὶ αὐτῷ διαφέρει τὸ ἀγαθόν· ὁ γὰρ μὴ ἀκολουθῶν τῷ ἀγαθῷ πῶς δύναται ζωὴν αἰώνιον κληρονομῆσαι; Καὶ ὅσαν λέγει περὶ τῆς ἐσχάτης ἡμέρας, ὅτι Οὐδεὶς οἶδεν, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ, ἀνθρωπίνως λέγει. Εἰ γὰρ τὸν Πατέρα ἐπίσταται, τὴν ἐσχάτην ἡμέραν πῶς ἀγνοεῖ; Οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν Πατέρα, φησὶν, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον οἶδε πάντα τὰ τοῦ Θεοῦ, πῶς ὁ Υἱὸς τὴν ἡμέραν, ἣν ἔκτισεν, ἀγνοεῖ; Καὶ εἰ οἱ αἰῶνες δι' αὐτοῦ ἐγένοντο καὶ οἱ χρόνοι, φανερὸν, ὅτι καὶ ἡ ἐσχάτη ἡμέρα ἐν τοῖς αἰῶσι καὶ χρόνοις εὑρίσκεται, καὶ ἀδύνατόν ἐστιν αὐτὸν (65) ἀγνοεῖν.

7. Et cum ait : *Quid me dicis bonum ? nemo bonus, nisi unus Deus*[72]. Deus nempe qui sese annumeravit hominibus, ratione carnis suæ hoc dicit, et ad mentem ejus qui se adierat, respondit. Is enim eum duntaxat hominem esse arbitratus B est, et non Deum, eaque ipsa est illius responsionis sententia : Si enim, ait, me hominem duntaxat esse arbitraris, et non Deum, ne me dicas bonum: nemo enim est bonus. Neque enim hominum naturæ competit, bonum esse : sed soli Deo ; et addit : *Præcepta nosti?* Eoque dicente : *Quænam ? Non mœchaberis*, inquit, *non occides*, etc. Respondit ille : *Hæc omnia custodivi a juventute mea, quid adhuc mihi deest?* Ait illi : *Si vis perfectus esse, vade, vende omnia quæ habes, et da pauperibus, et habebis thesaurum in cœlis, et tollens crucem tuam, sequere me*[73]. Hinc itaque ostendit sibi quoque competere bonum esse : qui enim bonum non sequitur, quomodo potest vitam æternam adipisci? Et cum dicit de ultima die, *Nemo novit, neque Filius, nisi Pater*, secundum humanitatem loquitur. C Si enim Patrem novit, ultimam diem quo pacto ignorabit? *Nemo enim*, inquit, *novit Patrem, nisi Filius, et cui voluerit Filius revelare*[74]. Et si Spiritus sanctus novit omnia quæ Dei sunt, quomodo Filius diem, quam ipse creavit, ignorat ? Et si sæcula et tempora per 700 eum facta sunt, manifestum est ultimam diem in sæculis ipsis et temporibus inveniri, et impossibile est ut eam ignoret ipse.

[69] Ephes. III, 10-12. [70] Ephes. I, 4, 5. [71] Ephes. II, 15, 16. [72] Marc. X, 18, [73] ibid· 19-21 ; Matth. XVII, 21· [74] Matth. XI, 27.

(59) Sic Seguer. Gobler. et Felc. 1, cum Græco Scripturæ textu. Editi et alii, διὰ τῆς χάριτος. Infra omnes fere mss., ἡμᾶς, quæ vox deest in editis.

(60) Ἐν Χριστῷ Ἰησοῦ εἰς ἑαυτόν. Sic Seguer. D Gobler. et Felc. 1. Mox καί ante περί abest ab iisdem. Ibidem omnes mss., τῶν δύο λαῶν, præter Felc. 3, qui cum editis habet τῶν ἄλλων λαῶν. Mox Seguer. Gobler. et Felc. 1, ἐν αὐτῷ.

(61) Seguer., ἔχθραν ἐν τῇ σαρκὶ ἐν ἑαυτῷ. Mox Gobler. et Felc. 5, λέγῃ. Paulo post in Seg. semel ponitur ὁ Θεός, editi, εἰ μὴ ὁ Θεὸς συν. Omnes alii codices ut in textu. Infra Seguer., σάρκα αὐτοῦ, in editis autem et aliis, αὐτοῦ deest. Mox Seguer., τοῦ προσελθόντος ἀπεκρίνατο. Paulo post idem, ἐνόμιζε ψιλὸν εἶναι καί

(62) Seguer., φησίν· ἄνθρωπόν με νομίζεις εἶναι μόνον, καί, Felc. 2, Ἄνθρωπον εἶναί φησι, νομίζεις. Mox illud, Οὐδεὶς γὰρ ἀγαθός, deest in editis et in quibusdam mss., sed habetur in Seguer. Gobler. et Felc. 1, in priori tamen γάρ deest. In iisdem mox ἀνθρώπων pro ἀνθρωπίνῃ. Ibid. Seguer. Anglic. Gobler. et Felc. 1, Θεῷ μόνῳ, sed μόνῳ deest in editis et in Basil. Felc. 2 et 5, qui habent, ἀλλὰ Θεοῦ. Infra Goblerian. et Felc. 1, Οὐ μοιχεύσεις, καὶ τὰ ἑξῆς. Ὁ δέ φησι ταῦτα, etc. Ibid. post ἀπεκρίνατο legebatur οὖν, sed abest ab omnibus mss. Ibid. Seguer., ἐφύλαξα. Ibid. Gobler. et Felc. 1, ὑστερῶ ; Καὶ ὅς· Εἰ.

(63) Seguer. et Felc. 1, γενέσθαι. Mox idem, πάντα τὰ ὑπάρχοντα. Iidem, ἐν οὐρανοῖς.

(64) Seguer., Ἐντεῦθεν γοῦν. Paulo post Felc. 2, τον ἀγαθόν. Infra Seguer. Felc. 2, et 5, ὅταν λέγῃ.

(65) Seg. Gob. et Felc. 1, αὐτόν. Editi et alii, αὐτήν. Iidem mox, λέγεται pro εἴρηται. Mox Seguer., quem sequimur, ἐν αὐτῷ. Editi et alii, ἐν αὐτοῖς. Mox post οὐχ ἵνα legitur ἡμεῖς in editis, sed deest in omnibus mss. præter Felc. 3.

8. Quæcumque igitur humilia verba a Domino dicuntur, inopiæ ejus (id est *humanitati*) conveniunt, ut nos in ipsos ditescamus, non autem ut ejusmodi verborum causa blasphememus contra Filium Dei. Idcirco enim Filius Dei, filius hominis factus est, ut filii hominis, hoc est Adæ, filii Dei efficiantur. Quod enim desuper ex Patre Verbum modo ineffabili, inexplicabili, incomprehensibili, et æterne genitum est, ipsum in tempore inferius generatur ex virgine Deipara Maria, ut qui inferius antea geniti fuerant, desuper secundo gignerentur, id est, ex Deo. Ipse igitur matrem duntaxat habet in terra: et nos Patrem duntaxat habemus in cœlo. Quodcirca Filium hominis seipsum appellat, ut homines Deum vocarent Patrem in cœlis. *Pater noster*, inquit, *qui es in cœlis* [75]. Quemadmodum igitur nos servi Dei, filii Dei facti sumus, sic Dominus servorum, proprii servi, id est Adami, filius mortalis factus est, ut filii Adami, qui mortales erant, filii Dei fierent, juxta illud: *Dedit eis potestatem filios Dei fieri* [76]. Unde mortem gustat Filius Dei, propter carnalem patrem suum, ut filii hominis vitæ Dei participes efficerentur, propter Deum, Patrem suum secundum Spiritum. Ipse igitur secundum naturam Filius est Dei: nos autem per gratiam. Et iterum, ipse quidem per dispensationem, et nostri gratia filius Adæ factus est; nos vero secundum naturam filii Adæ sumus. Unde dicit: *Vado ad Patrem meum et Patrem vestrum, Deum meum et Deum vestrum* [77]. Nam Deus est ejus Pater, uti supra dixi, secundum naturam, nostrum vero, per gratiam: et Deus ejus factus est per dispensationem, quatenus is homo factus est: noster autem Dominus ac Deus est, secundum naturam. Quapropter Verbum et Filius Patris unitus carni, caro factus est, homo perfectus: ut homines Spiritui uniti, unus Spiritus efficerentur. Ipse igitur est Deus carnem gerens, nos homines Spiritum ferentes. Primitias enim sumens ex substantia hominum, id est ex semine Adæ (quæ substantia est forma servi), et in si-

A 8. Ὅσα οὖν εὐτελῆ ῥήματα ὑπὸ τοῦ Κυρίου εἰρηται, τῇ πτωχείᾳ αὐτοῦ διαφέρει, ἵνα ἡμεῖς ἐν αὐτῷ πλουτήσωμεν, οὐχ ἵνα ἐν αὐτοῖς βλασφημήσωμεν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καὶ κατὰ τοῦτο ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γέγονεν, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου (66), τουτέστι τοῦ Ἀδάμ, υἱοὶ τοῦ Θεοῦ γένωνται. Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ Πατρὸς Λόγος ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, ὁ αὐτὸς ἐν χρόνῳ (67) γεννᾶται κάτωθεν ἐκ Παρθένου Θεοτόκου Μαρίας· ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες ἄνωθεν γεννηθῶσιν ἐκ δευτέρου, τουτέστιν, ἐκ Θεοῦ. Αὐτὸς οὖν (68) μητέρα ἔχει μόνον ἐπὶ γῆς, καὶ ἡμεῖς Πατέρα μόνον ἔχομεν ἐν οὐρανῷ. Καὶ διὰ τοῦτο ἑαυτὸν Υἱὸν ἀνθρώπου καλεῖ, ἵνα οἱ ἄνθρωποι Θεὸν καλέσωσι Πατέρα ἐν τοῖς οὐρανοῖς (69)· Πάτερ

B ἡμῶν, φησὶν, ὁ ἐν τοις οὐρανοῖς. Ὥσπερ οὖν ἡμεῖς οἱ δοῦλοι τοῦ Θεοῦ υἱοὶ Θεοῦ γεγόναμεν, οὕτως ὁ Δεσπότης τῶν δούλων υἱὸς τοῦ ἰδίου δούλου γέγονε θνητὸς, τουτέστι τοῦ Ἀδάμ, ἵνα οἱ υἱοὶ τοῦ Ἀδὰμ, θνητοὶ ὄντες, υἱοὶ τοῦ Θεοῦ γένωνται, κατὰ τὸ λεγόμενον· Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. Ὅθεν καὶ θανάτου γεύεται ὁ Υἱὸς τοῦ Θεοῦ (70) διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς τοῦ Θεοῦ μεταλάβωσι, διὰ τὸν κατὰ Πνεῦμα αὐτῶν Πατέρα Θεόν· Αὐτὸς οὖν κατὰ φύσιν Υἱός ἐστι τοῦ Θεοῦ, ἡμεῖς δὲ κατὰ χάριν. Καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ χάριν ἡμετέραν υἱὸς γέγονε τοῦ Ἀδὰμ, ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ (71). Ὅθεν λέγει, Ἀπέρχομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν,

C καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. Πατὴρ γὰρ αὐτοῦ ἐστιν ὁ Θεὸς, ὡς προεἶπον, κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· καὶ Θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι ἄνθρωπος, ἡμῶν δὲ κατὰ φύσιν Δεσπότης ἐστὶ καὶ Θεός (72). Καὶ διὰ τοῦτο ὁ Λόγος καὶ Υἱὸς τοῦ Πατρὸς ἑνωθεὶς σαρκὶ, γέγονε σὰρξ, ἄνθρωπος τέλειος, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες Πνεύματι, γένωνται ἓν Πνεῦμα. Αὐτὸς οὖν ἐστι Θεὸς σαρκοφόρος, καὶ ἡμεῖς ἄνθρωποι πνευματοφόροι. Ἀπαρχὴν γὰρ λαβὼν ἐκ τῆς οὐσίας τῶν ἀνθρώπων, τουτέστιν ἐκ τοῦ

D σπέρματος Ἀδὰμ (73) (ἥτις ἐστὶ μορφὴ δούλου),

[75] Matth. VI, 9. [76] Joan. I, 12. [77] Joan. XX, 17.

(66) Ita Seguer. Gobler. Felckm. 1, et sic Nannius legit. Editi et alii, κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Υἱὸς ἀνθρώπου, omissis mediis.

(67) Ita Seguer. Anglic. Gobler. et Felc. 1. Mox Seguer. Gobler. et Felc. 1, Παρθένου Θεοτόκου. Seguer. solus habet ἀειπαρθένου.

(68) Sic omnes mss. Editi vero, αὐτὸς ὤν.

(69) Goblerian. et Felc. 1, οὐρανοῖς. Ὥσπερ οὖν, omissis mediis propter ὁμοιοτέλευτον, et ita legerat Nannius. Ibid. Felc. 5, ἐν οὐρανῷ. Ibid. Seguer. habet ἐν τῷ λέγειν, Πάτερ ἡμῶν ὁ. Anglic., Πάτερ ἡμῶν, ἐν τῷ λέγειν, ὁ. Infra, hæc, υἱοὶ Θεοῦ, desunt in omnibus editis manuscriptisque præter Seguer. quem sequimur, quia patet veram esse lectionem. Mox idem habet οὐρανῶν pro δούλων. Ibidem Seguer. Gobler. Felc. 1, quos sequimur, τοῦ ἰδίου δούλου. Editi, τοῦ δούλου. In iisdem θνητός mox sequens deest. Ibidem Seguer. Gobler. et Felc. 1, τουτέστι τοῦ Ἀδάμ. Λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώπων, ἔδωκε τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ ἀθάνατον Πατέρα, κατὰ τὸ λεγόμενον, etc.

(70) Sic Gobler. et Felc. 1, et ita etiam Seguer. qui habet κατὰ σάρκα ante ὁ Υἱὸς τοῦ Θεοῦ. Editi, γεύεται κατὰ τὸν σαρκικόν. Mox editi, υἱοὶ αὐτοῦ μεταλάβωσι τοῦ Θεοῦ. Nos sequimur Seguer. Gobler. et Felc. 1.

(71) Editi, γέγονε τοῦ Ἀδάμ. Ὅθεν, omissis mediis, quæ nos ex Seguer. Anglic. Gobler. et Felc. 1, supplevimus.

(72) Basil., ἐστὶν ὁ Θεός. Mox Seguer. solus habet καὶ Υἱός post ὁ Λόγος. Paulo post hæc, ἀνθρωπος τέλειος, desunt in editis, sed habentur in Seguerian. Anglic. Felc. 1, et lecta sunt a Nannio. Vide quæ de his diximus in Monito.

(73) Seguer. Basil. et Felc. 5, Ἀβραάμ, cum aspero, uti solent. Paulo post omnes mss., ἀνθρώπου. Editi, ἀνθρώπων. Mox omnes mss., γεγονώς, præter Anglic. qui cum editis habet γενόμενος. Mox Seguer., τοῦ Θεοῦ.

καὶ ἐν ὁμοιώματι ἀνθρώπου γεγονὼς, ἔδωκεν ἡμῖν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἀπαρχὴν ἁγίου Πνεύματος· ἵνα γενώμεθα οἱ πάντες εἰς υἱοὺς Θεοῦ (74), ἐν ὁμοιώματι τοῦ Υἱοῦ τοῦ Θεοῦ. Αὐτος οὖν ὁ ἀληθινὸς καὶ φύσει Υἱὸς τοῦ Θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα φορέσωμεν Θεόν. A

9. Ἀσεβὲς οὖν ἐστι κτιστὸν ἢ ποιητὸν λέγειν τὸ Πνεῦμα τοῦ Θεοῦ· ὁπότε πᾶσα Γραφὴ Παλαιά τε καὶ Καινὴ (75), μετὰ Πατρὸς καὶ Υἱοῦ αὐτὸ συναριθμεῖ καὶ δοξάζει· διότι τῆς αὐτῆς (76) θεότητός ἐστι, καὶ τῆς αὐτῆς ἐξουσίας· καθὼς αὐτὸς ὁ Κύριος λέγει· Ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· ὡς καὶ ἐν τῷ Ἰωὴλ ἐκ προσώπου τοῦ Πατρὸς λέγει· Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν. Καὶ διὰ τοῦτο (77) ἐμφυσᾷ αὐτὸ εἰς τὸ πρόσωπον τῶν ἀποστόλων λέγων· Λάβετε Πνεῦμα ἅγιον· ἵνα μύθωμεν, ὅτι ἐκ τοῦ πληρώματος τῆς θεότητός ἐστι τὸ διδόμενον Πνεῦμα τοῖς μαθηταῖς. Ἐν Χρισνῷ γὰρ, φησὶ, κατοικεῖ, τουτέστιν ἐν τῇ σαρκὶ αὐτοῦ, πᾶν τὸ πλήρωμα τῆς θεότητος (78) σωματικῶς· καθὼς καὶ ὁ Βαπτιστὴς Ἰωάννης λέγει· Ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Σωματικῷ γὰρ εἴδει, τουτέστιν ὡς περιστερὰ, ὤφθη τὸ Πνεῦμα τὸ ἅγιον, καταβαῖνον καὶ μένον ἐπ' αὐτόν. Ἐν ἡμῖν μὲν γὰρ (79) ἀπαρχὴ καὶ ἀῤῥαβὼν θεότητος κατοικεῖ, ἐν Χριστῷ δὲ πᾶν τὸ πλήρωμα τῆς θεότητος. Καὶ μή τις νομίσῃ, ὅτι μὴ ἔχων αὐτὸ ἐλάμβσνεν· αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν, ὡς Θεός· καὶ αὐτὸς αὐτὸ κάτω ὑπεδέχετο, ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. Καὶ ὁ μὲν Ἡσαΐας ἐκ προσώπου τοῦ Πατρὸς βοᾷ λέγων· Οὕτω λέγει Κύριος (80) ὁ Θεός σου, ὁ ποιήσας σε καὶ πλάσας σε ἐκ κοιλίας· Μὴ φοβοῦ, ὁ παῖς μου Ἰακὼβ, καὶ ὁ ἠγαπημένος Ἰσραὴλ, ὃν ἐξελεξάμην· ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ· ἐπιθήσω τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου (81). Ἐν τῷ Εὐαγγελίῳ δὲ ὁ Υἱὸς ἐπαγγέλ- B C

9. Impium igitur est creatum, aut factum dicere Spiritum Dei, ubi omnis Scriptura Vetus et nova, cum Patre et Filio ipsum annumerat et glorificat, quia ejusdem est deitatis, ejusdemque potentiæ ac substantiæ ut ipse Dominus dicit: *Qui credit in me, flumina de ventre ejus fluent aquæ vivæ. Hoc autem dixit* **701** *de Spiritu quem accepturi erant credentes in eum* [78]; et ut in Joele ex persona Patris ait: *Effundam de Spiritu meo super omnem carnem, et prophetabunt filii vestri, et filiæ vestræ* [79]. Et propterea insufflavit ipsum in faciem apostolorum dicens: *Accipite Spiritum sanctum* [80]: ut dicamus, Spiritum qui discipulis datur, ex plenitudine deitatis esse. *In Christo enim*, inquit, *inhabitat*, hoc est in carne ejus, *omnis plenitudo divinitatis corporaliter* [81]; ut item ait Joannes Baptista: *Nos omnes de plenitudine ejus accepimus* [82]. Corporali enim specie, hoc est, quasi columba, visus est Spiritus sanctus descendere, et manere super eum. In nobis quippe primitiæ et arrha deitatis inhabitant, in Christo autem omnis plenitudo divinitatis. Et ne quis putarit, eum cum prius non haberet, ipsum accepisse; eum ille desuper mittebat, utpote Deus, et ipse infra illum accipiebat, ut homo. Ex ipso igitur in ipsum descendit, nimirum ex divinitate ejus in ejus humanitatem. Et Isaias quidem ex persona Patris clamat his verbis: *Sic dicit Dominus Deus tuus, faciens et formans te ab utero: Noli timere, puer mi Jacob, et dilecte Israel, quem elegi; dabo enim aquam in siti illis qui ambulant in inaquoso: et imponam Spiritum meum super semen tuum, et benedictionem meam super liberos tuos* [83]. In Evangelio autem Filius pollicetur se daturum aquam iis qui in siti ambulant, dum Samaritanæ ita de Spiritu sancto loquitur: *Si scires donum Dei, et quis est*

[78] Joan. VII, 38, 39. [79] Joel. II, 28. [80] Joan. XX, 22. [81] Coloss. II, 9. [82] Joan. I, 16, [83] Isa. XLIV, 2,3.

(74) Ita Seguer., quem sequimur. Alii, εἷς Υἱὸς, minus recte, ut videtur. Infra, post ἀληθινός, in solis Seguer Gobler. et Felc. 1, habetur, καὶ φύσει. Infra, τὸν ἕνα legitur in solo Seguerian. D

(75) Seguer. Gobler. et Felc. 1, καὶ Νέα.

(76) Sic Basil. Anglic. et Seguer. Editi et alii, τῆς αὐτοῦ. Mox Gobl. et Felc. 1, ἐξουσίας καὶ οὐσίας. In editis et aliis hæc, ἐξουσιας καί, desunt. Ibid., ὁ Κύριος deest in Seg. Post περὶ τοῦ Πνεύματος, quidam addunt φησί, alii omittunt.

(77) Hæc. Καὶ διὰ τοῦτο, etc., habentur tomo VII *Conciliorum*, p. 916, vocaturque isthic hoc opusculum, *Oratio de apparitione Domini in carne*, nam Latine tantum exstat ibi locus. Ibidem Seguer., ἐμφυσᾷ αὐτὸς ὁ Κύριος εἰς. Anglic., ἐμφυσᾷ αὐτὸς ὁ Κύριος εἰς. Infra Seguer. solus, πληρώματος αὐτοῦ τῆς θεότητος.

(78) Seguer. post θεότητος habet αὐτοῦ. Mox Seguer. Anglic. Gobler. et Felc. 1, ὁ βαπτιστής, alii et editi, εὐαγγελιστής· id certe ait Joannes Baptista apud Joannem Evangelistam. Mox Seguer. Gobler. et Felc. 1, soli habent πάντες post ὑμεῖς.

(79) Γάρ deest in Felc. 5. Infra Seguer., quem sequimur, μὴ ἔχων αὐτό, Editi et alii, μὴ ἔχων αὐτός. Paulo post Seguer. Gobler. et Felc. 1, ἔπεμπεν recte; alii et editi, ἔπεμψεν. Mox Seguer. solus, κάτω, quem tamen sequimur. Alii, κάτωθεν. Paulo post Seguer. Gobler. et Felc. 1, εἰς τὸν αὐτόν· duo postremi ibidem, κατεῖη.

(80) Ita Seguer. solus. In aliis Κύριος deest. Infra articulus ὁ ante παῖς, et ante ἠγαπημένος deest in quibusdam mss. Mox Segeuer., ὃν ἐγὼ.

(81) Basil., ἐπὶ τὰ τέκνα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὸ σπέρμα σου. Ibid. Seguer., Ἐν δὲ τοῖς Εὐαγγελίοις.

qui dicit tibi, Da mihi bibere, tu forsitan petiisses ab eo, et dedisset tibi aquam vivam [83]*.* Et paulo post eam sic affatur: *Omnis qui bibit ex aqua hac, sitiet iterum: qui autem biberit ex aqua quam ego dabo ei, non sitiet in æternum: sed aqua, quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam* [84]. Eaque de causa ait David: *Quoniam apud te est fons vitæ, in lumine tuo videbimus lumen* [85]. Norat enim apud Deum Patrem Filium esse fontem sancti Spiritus.

A λεται· δι᾽ὃνται ὕδωρ τοῖς πορευομένοις ἐν δίψει, λέγων τῇ Σαμαρείτιδι (82) περὶ τοῦ ἁγίου Πνεύματος· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἂν σοι ὕδωρ ζῶν. Καὶ μετ᾽ ὀλίγα λέγει αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Καὶ διὰ τοῦτο ὁ Δαβὶδ ψάλλων τῷ Θεῷ λέγει· Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς· οἶδε γὰρ παρὰ τῷ Θεῷ (83) Πατρὶ ὄντα τὸν Υἱὸν τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος.

10. Ac per Jeremiam Filius dicit: *Duo mala fecit populus meus: me dereliquerunt fontem aquæ vivæ, et fonderunt sibi cisternas dissipatas, quæ continere non valebunt aquam* [86]. Et cum seraphim Deum glorificant ter dicentes: *Sanctus, sanctus sanctus Dominus sabaoth* [87], Patrem et Filium, et Spiritum sanctum glorificant. Quapropter sicut in nomine Patris et Filii baptizamur, ita et in nomine Spiritus sancti, et efficimur filii Dei, non Deorum. Pater enim et Filius, et Spiritus sanctus, Dominus sabaoth est. Una enim est divinitas, et unus Deus, in tribus hypostasibus. Ideoque quæ Pater dicit in Isaia, ea Joannes ait dixisse Filium; in Actibus autem Paulus ait, eadem Spiritum sanctum locutum fuisse. Sic enim loquitur Isaias: *Vidi Dominum sabaoth, sedentem super* THRONUM *solium excelsum et elevatum, et plena erat domus majestate ejus: et seraphim stabant in circuitu ejus: sex alæ uni, et sex alæ alteri: et duabus quidem velabant faciem, et duabus pedes, et duabus volabant. Et clamabant alter ad alterum: Sanctus, sanctus, sanctus Dominus exercituum, plenum est cœlum et omnis terra gloria ejus* [88]: ac paulo post ait: *Audivi vocem Domini dicentis: Quem mittam? et quis ibit ad populum istum? Et dixi: Ecce ego, mitte me. Et dixit mihi: Vade ad populum istum, et dic illi: Auditu audietis, et non intelligetis: et videntes videbitis, et non videbitis. Incrassatum est enim cor populi hujus; et au-*

10. Καὶ διὰ Ἱερεμίου ὁ Υἱὸς λέγει· Δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον (84) πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. Καὶ ὅτε δοξολογοῦσι τὰ σεραφὶμ τὸν Θεὸν, λέγοντα τρίτον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα δοξολογοῦσι. Καὶ διὰ τοῦτο, ὥσπερ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ βαπτιζόμεθα, οὕτως καὶ εἰς τὸ ὄνομα τοῦ ἁγίου Πνεύματος, καὶ γινόμεθα υἱοὶ Θεοῦ, οὐ Θεῶν. Πατὴρ γὰρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, Κύριος σαβαὼθ ἐστι. Μία γὰρ ἡ (85) Θεότης καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσι. Καὶ διὰ τοῦτο, ἅπερ εἶπεν ὁ Πατὴρ ἐν τῷ Ἡσαΐᾳ, ὁ Ἰωάννης λέγει, ὅτι (86) ὁ Υἱὸς εἶπεν· ἐν δὲ ταῖς Πράξεσιν ὁ Παῦλός φησιν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον εἶπε. Λέγει γὰρ οὕτως ὁ Ἡσαΐας· Εἶδον τὸν Κύριον σαβαὼθ, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ ἐπλήρωθη ὁ (87) οἶκος τῆς δόξης αὐτοῦ· καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξιν ἐκάλυπτον τὰ πρόσωπα, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέτοντο. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, λέγοντες (88)· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Καὶ μετ᾽ ὀλίγα ὁ αὐτός· Ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω (89); καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν

[83] Joan. IV, 10. [84] ibid. 13, 14. [85] Psal. XXXV, 10. [86] Jer. II, 13. [87] Isa. VI, 3. [88] ibid. 1-3.

(82) Gobler. et Felc. 1, Σαμαρίτιδι, alii Σαμαρείτιδι. Ibidem Seguer. Gobler. et Felc. 1 adjiciunt, περὶ τοῦ ἁγίου Πνεύματος, quæ desunt in aliis, sed lecta sunt a Nannio. Mox Basil et Felc. 2, Δός μου ὕδωρ πιεῖν. In iisdem et in Felc. 5, deest ἂν. Paulo post Basil., ὕδωρ ζωῆς. Ibidem Seguer., ὀλίγον. Ibidem omnes pene mss. habent αὐτῇ, quæ vox deest in editis.

(83) In Seguer. Θεῷ deest. Mox Seguer. Gobler. Felck. 1 et 2. soli habent τὴν ante πηγήν. Mox ante καὶ legebatur ὡς in editis et in quibusdam mss., sed deest in Seguer. Gobl. Felc. 1 et 2.

(84) Sic Seguer. et Felc. 5. Editi vero et alii, ἐγκατέλιπε. Infra hæc : καὶ ὅτε, etc. referuntur a Damasceno Epist. de Trisagio. Ibidem Seguer., τὰ χερουβὶμ καὶ οἱ σεραφὶμ τὸν Θεὸν λέγοντα τρίτον. Ang., δοξολογοῦσι τὸ χερ. καὶ οἱ σερ. τρίτον τὸν Θεὸν λ. Damasc., δοξολογοῦσι τὰ σεραφὶμ τρίτον λέγοντα. Recte Gobler. et Felc. 1, δοξ. τὰ χερ. καὶ οἱ σερ. τὸν Θεὸν λέγοντα τρίτον. Editi, δοξολοτὰ χερουβὶμ τρίτον τὸν Θεὸν λέγοντα.

(85) Ἡ ante Θεότης deest in Seguer. Mox hæc, ἐν τρισὶν ὑποστάσεσι, desunt in edit. Comm., sed habentur in Seguer. Gob.er. Felc. 1, et lecta sunt ab interprete Nannio. Vide quæ de hisce diximus in Monito.

(86) Hæc, a voce ὅτι usque ad ὅτι sequens, desunt in Seguer. Gobler. et Felc. 1. Paulo post Gobler. et Felck. 1, Φησὶ γὰρ Ἡσαΐας.

(87) Seguer. solus. πλήρης ὁ. Ibid. Felc. 3, solus cum editis, τῆς δόξης ὁ οἶκος αὐτοῦ. Infra πτέρυξιν deest in Seguerian. et in textu Script. Ibidem Seguerian., τὸ πρόσωπον.

(88) Λέγοντες deest in editis et in quibusdam mss., sed habetur in Seguer. Gobler. et Felckm. 1, et lectum est ab interprete Nannio. Vox σαβαὼθ mox sequens deest in Seguerian. Infra Seguer. Goblerian. et Felc. 1, μετ᾽ ὀλίγα λέγει· ἤκουσα.

(89) Ita omnes manuscripti, præter Felckm. 3, qui cum editis habet ἀποστέλλω. Paulo post Felc. 2, εἶπον. Ibid. Seguerian., ἐγὼ εἰμι, et ita Græcus Scripturæ textus. Mox omnes fere mss., πρὸς τὸν

τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με. Καὶ εἶπέ μοι· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἶπον αὐτῷ· Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου. Καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν· καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν (90)· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης λέγει· Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν οἱ Ἰουδαῖοι εἰς τὸν Ἰησοῦν (91), ὅτι εἶπεν Ἡσαΐας, ὅτι Ἐτύφλωσεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ νοήσωσι (92), καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, τουτέστι τοῦ Υἱοῦ· ὥστε καὶ (93) Κύριος Σαβαὼθ ἐστιν ὁ Υἱός. Κύριος γὰρ τῶν δυνάμεων ἑρμηνεύεται τὸ Κύριος Σαβαώθ· Ὁ δὲ Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὡς ὁ Δαβὶδ εἶπε· Κύριος δὲ τῆς δόξης (94) ἐστὶν ὁ ἐσταυρωμένος Χριστὸς κατὰ τὸν Παῦλον. Καὶ καθὼς εἶπε Δαβίδ· Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· καὶ ἀλλαχοῦ (95)· Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσὴφ, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, ἐμφάνηθι. Ἐν δὲ τοῖς Εὐαγγελίοις λέγει (96) ὁ Υἱός· Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· αὐτὸς οὖν ἐστιν ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, ὁ ποιμαίνων τὸν Ἰσραήλ. Ὁ δὲ Παῦλος ἐν ταῖς Πράξεσι τὸ ἅγιον Πνεῦμα λέγει διὰ Ἡσαΐου εἰρηκέναι ταῦτα, ἅπερ εἶπεν Ἡσαΐας, ὅτι Κύριος Σαβαὼθ μοι εἶπεν. Ὁ Πατὴρ οὖν καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα Κύριος Σαβαώθ ἐστι.

A *ribus suis difficulter audierunt, et oculos clauserunt, ne forte videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos* [89]. Joannes vero evangelista dicit : *Propterea non poterant Judæi credere in Jesum, quia dixit Isaias : Excæcavit oculos eorum, et induravit cor eorum ; ne forte videant oculis, et corde intelligant, et convertantur, et sanem eos. Hæc autem dixit Isaias, cum vidit gloriam ejus*[90], hoc est, Filii : itaque Dominus quoque Sabaoth, Filius est : illud namque Dominus Sabaoth, explicatur, Dominus virtutum ; *Dominus* autem *virtutum ipse est Rex gloriæ* [91], quemadmodum David locutus est : Dominus vero gloriæ est, qui crucifixus est Christus, juxta Paulum. Et ut ait David : *Dominus pascit me, et nihil mihi deerit* [92] : et alibi : *Qui pascis Israel, intende, qui deducis velut* B *ovem Joseph, qui sedes super cherubin, manifestare*[93]. In Evangeliis autem ait Filius : *Ego sum pastor bonus* [94]. Ipse igitur est, qui sedet super cherubim, qui pascit Israel. Paulus autem in Actibus ait Spiritum sanctum per Isaiam dixisse, ea quæ ipse Isaias dixerat : *Dominus Sabaoth dixit mihi* [95]. Pater igitur et Filius et Spiritus sanctus, Dominus Sabaoth est.

11. Καὶ ὅτε λέγει ἡ Γραφὴ περὶ τοῦ Πατρὸς, ὅτι Αὐτὸς ἔκτισε τὰ πάντα, τὰ ὁρατὰ (97) καὶ τὰ ἀόρατα· ἀλλαχοῦ ἡ (98) Γραφὴ διδάσκει ἡμᾶς, ὅτι διὰ τοῦ Υἱοῦ ἐκτίσθη. Οὐχ ἕτερα χωρὶς ὁ Πατὴρ ἔκτισε, καὶ ἄλλα ὁ Υἱός· ἀλλ' ἅπερ ὁ Πατὴρ ποιεῖ, διὰ τῆς ἰδίας δυνάμεως ποιεῖ, ἥτις ἐστὶν ὁ Υἱός· τὰ πάντα γὰρ δι' αὐτοῦ ἐγένετο. Οὕτως οὖν καὶ ὅτε λέγει ὁ Υἱός· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· ἔλεγε δὲ, φησὶ, περὶ τοῦ ἰδίου σώματος· ἑτέρα Γραφὴ λέγει, ὅτι Ὁ Πατὴρ ἤγειρε τὸν Υἱὸν αὐτοῦ ἐκ νεκρῶν· καὶ (99) καλῶς λέγει· ἤγειρε γὰρ διὰ τοῦ ἰδίου Λόγου καὶ Υἱοῦ τὴν σάρκα

C 11. Et cum Scriptura dicat de Patre : *Ipse creavit omnia visibilia et invisibilia* [96] : alibi eadem Scriptura nos edocet, ea per Filium creata fuisse. Neque enim alia Pater creavit, alia Filius : sed quod Pater facit, id per propriam virtutem facit, quæ est Filius : nam *omnia per ipsum facta sunt* [97]. Ita ergo ubi Filius dicit : *Solvite templum hoc, et in tribus diebus excitabo illud : dicebat autem*, inquit, *de corpore suo* [98] ; alia Scriptura dicit : *Pater suscitavit Filium suum ex mortuis* [99] ; et recte loquitur : suscitavit enim per proprium Verbum et Filium carnem Filii sui. Nec dicimus corpus esse na-

[89] Isa. VI, 8-10. [90] Joan. XII, 39-41. [91] Psal. XXIII, 10. [92] Psal. XXII, 1. [93] Psal. LXXIX, 2. [94] Joan. X, 14. [95] Act. XXVIII, 25; Isa. VI, 9. [96] Coloss. I, 16. [97] Joan. I, 3. [98] Joan. II, 19, 21. [99] Gal. I, 1

λαὸν τοῦτον. Editi πρὸς τὸν λαόν, omisso τοῦτον. Basil., πρὸς τὸν λαόν μου. Mox Felc. 2, et Græcus Scripturæ textus, ἀκούσετε. Editi et alii, ἀκούσητε. Infra quidam mss., βλέψητε, alii cum editis, βλέψετε.

(90) Seguer. Gobler. Felc. 1. τοῖς ὀφθαλμοῖς ἐκάμμυσαν, alii, τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. Gobler. Seguer. Felc. 1, τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν. Paulo post αὐτῶν post ὀφθαλμοῖς decst in Seguer.

(91) Sic Seguer. Gobler. et Felc. 1. Alii vero et editi, εἰς τὸν Υἱόν. Mox in Seguer. ὅτι decst ante ἐτύφλωσεν. Infra idem, πεπώρωκεν.

(92) Sic Seg. Gobl. Felc. 1. Editi, καὶ τῇ καρδίᾳ συνῶσιν.

(93) Ita Seguer. solus recte. In aliis καὶ decst. Infra Seg. Gobler. et Felc. 1, καθὼς ὁ Δαβίδ.

(94) Ita Seguer. Gobler. et Felc. 1, quos sequi visum est. Editi et alii, τῆς δυνάμεως. Mox Seguer. solus habet μακάριον ante Παῦλον.

(95) Seguer. solus, καὶ ἀλλαχοῦ λέγει.

(96) Seguer. Gobler. et Felc. 1, Ἐν δὲ τοῖς Εὐαγγελίοις λέγει, in duobus postremis δὲ decst, et eam lectionem secutus est vetus interpres. Anglic. Ἐν τῷ Εὐαγγελίῳ λέγει. Editi vero et alii, Καὶ ἐν τῷ Εὐαγγελίῳ τῷ προσκυνουμένῳ λέγει. Infra Seguer. Anglic. Gobler. et Felc. 1, αὐτός. Editi vero et alii οὗτος.

(97) Gobler. et Felc. 1, ὁρώμενα.

(98) Felc. 5, ἀλλ' ἡ. Editi ἄλλη. Seguer. Gobler. et Felc. 1, ἀλλαχοῦ ἡ, rectius : atque ita legit Nannius.

(99) Ita Seguer. Gobler. et Felc. 1, legitque ita Nannius. In editis καὶ decst. Mox plurimi manuscripti διὰ τοῦ ἰδίου Λόγου καὶ Υἱοῦ. Editi et alii διὰ ἰδίου Υἱοῦ. Mox in editis φύσει decst, sed habetur in Seguer. Gobler. et Felck. 1. Ibid. iidem, ἀλλὰ σῶμα τοῦ Υἱοῦ καὶ Θεοῦ.

tura sua Filium Dei, sed corpus Filii Dei. Cum itaque corpus excitatur, Filius intelligitur excitari ex mortuis. Ideoque dicimus illum secundum carnem mortuum, sepultum, et excitatum fuisse a mortuis: secundum spiritum autem in cœlo, et in terra, et ubique tunc fuisse. Quandoquidem igitur cum esset dives, **703** id est, Deus, factus est inops, id est, homo, et, excepto peccato, in omnibus similis factus est nobis: idcirco ut home accipit vitam, licet vitam habeat, quippe ipse est vita, illam tamen propter nos accipit: ac utpote homo proficiebat sapientia et ætate, qui erat æterna Dei virtus et sapientia. Ut homo etiam sanctificatur qui sanctus est, et qui sanctificatione non eget: nam *pro eis*, inquit, *ego sanctifico meipsum, ut sint et ipsi sanctificati in veritate* [1]. Ut homo item exaltatur accipiens nomen super omne nomen, quod tamen semper natura sua habet. Nam *Deus*, inquit, *erat Verbum* [2].

12. Quæcunque igitur Scriptura dicit accepisse Filium, propter corpus ejus illud dicit: corpusque illud est primitiæ Ecclesiæ: nam *primitiæ*, inquit, *Christus* [3]. Cum ergo primitiæ accepissent nomen quod est super omne nomen, tunc reliqua massa, per illam virtutem simul excitata et consedere facta est, juxta illud dictum: *Conresuscitavit et consedere fecit* [4]. Quapropter eam gratiam homines accepere, ut dei et filii Dei vocarentur. Primo igitur proprium corpus Dominus excitavit ex mortuis, et in seipso exaltavit: deinceps membra corporis sui excitabit, ut omnia illis largiatur, utpote Deus, quæcumque ipse ut homo accepit. Ipse igitur sibi ipsi vitam largitur, ipse seipsum sanctificat, ipse seipsum exaltat. Cum ait igitur, quod Pater illum sanctificaverit et excitaverit, et dederit illi nomen quod est super omne nomen, vitam quoque tribuerit; propalam est Patrem omnia per ipsum facere. Per ipsum igitur ipsum excitat, per ipsum ipsum sanctificat, per ipsum ipsum exaltat, et per ipsum ipsi vitam largitur. Et cum spiritum suum in manus Patris commendat, ut homo seipsum commendat Deo, ut omnes homines Deo commendet. Ipse enim est manus ipsa, et manus ipsæ Patris. Et ubi ait: *Ante omnes colles generat me* [5], id ex persona Ecclesiæ loquitur, quæ prius condita, postmodum ex Deo generatur. Quocirca illud in Proverbio primum ha-

A τοῦ Υἱοῦ αὐτοῦ. Καὶ οὐ λέγομεν τὸ σῶμα εἶναι Υἱὸν φύσει τοῦ Θεοῦ, ἀλλὰ τὸ σῶμα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τοῦ οὖν σώματος ἐγειρομένου, ὁ Υἱὸς νοεῖται ἐγηγερμένος (1) ἐκ νεκρῶν. Διὰ τοῦτο κατὰ σάρκα λέγομεν, ὅτι καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ νεκρῶν· κατὰ δὲ τὸ πνεῦμα καὶ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἦν καὶ πανταχοῦ. Ἐπεὶ οὖν πρότερον πλούσιος ὤν, τουτέστι Θεός· ὕστερον δὲ πτωχὸς γέγονε, τουτέστιν ἄνθρωπος, καὶ (2) ὡμοιώθη ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· καὶ διὰ τοῦτο ὡς ἄνθρωπος λαμβάνει ζωήν, ὁ ἔχων ζωήν, αὐτὸς γάρ κστιν ἡ ζωή· λαμβάνει δὲ δι' ἡμᾶς, καὶ ὡς ἄνθρωπος προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ ἡ ἀΐδιος τοῦ Θεοῦ δύναμις καὶ σοφία, καὶ ὡς ἄνθρωπος ἁγιάζεται ὁ ἅγιος, καὶ μὴ χρείαν ἔχων (3) ἁγιασμοῦ· Ὑπὲρ αὐτῶν γὰρ, φησὶν, ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. Καὶ ὡς ἄν- B θρωπος ὑψοῦται λαβὼν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ὅπερ ἀεὶ κατὰ φύσιν ἔχει. Θεὸς γὰρ ἦν, φησὶν, ὁ Λόγος.

12. Ὅσα οὖν λέγει ἡ Γραφὴ ὅτι ἔλαβεν ὁ Υἱὸς, διὰ τὸ σῶμα αὐτοῦ (4) λέγει, ὅπερ σῶμα ἀπαρχή ἐστι τῆς Ἐκκλησίας· Ἀπαρχὴ γὰρ, φησὶν, ὁ Χριστός. Τῆς οὖν ἀπαρχῆς λαβούσης ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, συνηγέρθη δυνάμει καὶ τὸ φύραμα, καὶ συνεκαθέσθη, κατὰ τὸ λεγόμενον· Καὶ συνήγειρε καὶ συνεκάθισε. Καὶ διὰ τοῦτο χάριν ἔλαβον οἱ ἄνθρωποι τὸ καλεῖσθαι θεοὶ καὶ υἱοὶ Θεοῦ. Πρῶτον οὖν τὸ ἴδιον σῶμα ἤγειρεν ὁ Κύριος ἐκ νεκρῶν, καὶ ὕψωσεν ἐν ἑαυτῷ· μετὰ (5) ταῦτα ἐγερεῖ καὶ τὰ μέλη τοῦ σώματος αὐτοῦ, ἵνα χαρίσηται αὐτοῖς τὰ πάντα, ὡς Θεὸς, ὅσα αὐτὸς ὡς ἄνθρωπος ἔλαβεν. Αὐτὸς οὖν ἑαυτῷ χαρίζεται ζωὴν, καὶ αὐτὸς ἑαυτὸν ἁγιάζει (6), C καὶ αὐτὸς ἑαυτὸν ὑψοῖ. Ὅτε οὖν λέγει, *ὅτι ὁ Πατήρ* ἠγίασεν αὐτὸν, καὶ ἤγειρεν αὐτὸν, *καὶ ἐχαρίσατο* αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, *καὶ ἔδωκεν* αὐτῷ ζωὴν· δῆλον, ὅτι δι' αὐτοῦ τὰ πάντα ποιεῖ ὁ Πατήρ. Δι' αὐτοῦ οὖν αὐτὸν ἐγείρει, καὶ δι' αὐτοῦ αὐτὸν ἁγιάζει, καὶ δι' αὐτοῦ αὐτὸν ὑψοῖ, καὶ δι' αὐτοῦ αὐτῷ ζωὴν δίδωσι. Καὶ ὅτε παρατίθεται τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας τοῦ Πατρὸς, ὡς ἄνθρωπος ἑαυτὸν παρατίθεται (7) τῷ Θεῷ, ἵνα πάντας ἀνθρώπους παραθῆται τῷ Θεῷ. Αὐτὸς γάρ ἐστιν ἡ χεὶρ, καὶ αἱ χεῖρες τοῦ Πατρός. Καὶ ὅτε λέγει· Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με, ἐκ προσώπου τῆς Ἐκκλησίας λέγει, ἥτις, πρότερον κτισθεῖσα, μετὰ ταῦτα γεννᾶται ἐκ Θεοῦ (8). Διὰ τοῦτο πρῶτον κεῖται ἐν τῇ Παρ-

[1] Joan. xvii, 19. [2] Joan. i, 1. [3] I Cor. xv, 23. [4] Ephes. ii, 6. [5] Prov. viii, 25.

(1) Seguer. Gobler. et Felc. 1, ἐγειρόμενος. Alii et editi, ἐγηγερμένος.

(2) Gobler. et Felck. 1, γέγονε ὡς ἄνθρωπος, καὶ. Basil. γέγονε καὶ. Editi et alii, ut in textu supra. Infra hæc, ὁ ἔχων ζωήν, desunt in editis, sed habentur in omnibus manuscriptis, præter Felck. tertium. Anglicanus mox, λαμβάνει δὲ ἡμᾶς.

(3) Ἔχων deest in Gobler. et Felck. 1. Mox in Seguer. legitur ἐγὼ ante ἁγιάζω.

(4) Seguer. Anglic. Gobler. et Felck. 1, διὰ τὸ σῶμα αὐτοῦ, recte. Basil. Felck. 2 et 5, διὰ τὸ σῶμα. Editi, διὰ τοῦ σώματος.

(5) Ita Seguer. Gobler. et Felck. 1. Editi et alii, ὕψωσε, μετὰ, etc.

(6) *Sic Seguer.* Gobler. et Felck. 1. In editis D vero, hæc, καὶ αὐτὸς ἑαυτὸν ἁγιάζει, **desunt**: sed recta sunt a veteri interprete. Infra Seg. et Anglic. soli quos sequimur habent αὐτῷ ante ὄνομα. Paulo post Seg. Basil. Gobl. et Felckm. 1, 2 et 5, δηλονότι. Editi et alii, δῆλον, ὅτι. Ibid. Gobl. et Felckm. 1, δι' αὐτοῦ ταῦτα ποιεῖ.

(7) Ita omnes manuscripti excepto Felckm. 3 quicum editis habet παρατίθησι. Paulo post, ἐστιν legitur in Seg. Anglic. Gobl. et Felckm. 1, deestque in editis.

(8) Maxima pars manuscript., ἐκ Θεοῦ, omisso articulo, qui in cæteris et in editis legitur. Infra, post ἐγέννησε legitur in editis, sed deest in omnibus mss. præter Felckm. 3.

μίᾳ τὸ, Ἔκτισέ με ὁ Κύριος, καὶ ὕστερος τὸ, ἐγέννησε.

13. Καὶ ὅτε λέγει ἡ Γραφὴ περὶ Πατρὸς · Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς : ὁμοίως καὶ περὶ Υἱοῦ λέγει, ὅτι δι' αὐτοῦ ἐκτίσθη τὰ πάντα · τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγεται · Ἀνταναλεῖς, φησὶ, τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ · ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Καὶ ὅτε λέγει ὁ Υἱὸς περὶ Πατρὸς τῷ Πέτρῳ · Μακάριος εἶ, ὅτι (9) σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς · τὰ αὐτὰ περὶ ἑαυτοῦ λέγει · Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Ὁμοίως δὲ καὶ περὶ τοῦ ἁγίου (10) Πνεύματος ὁ Παῦλος λέγει · Ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ · τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν (11) εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ὥσπερ οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου τῆς ἀνθρωπότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐ κεχώρισται, οὕτω καὶ τὸ Πνεῦμα (12) τοῦ Θεοῦ τῆς θεότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐκ ἔστιν ἀλλότριον. Καὶ ὅταν λέγῃ ὁ Κύριος ἐν Ἡσαΐᾳ · Υἱοὺς ἐγέννησα καὶ ὕψωσα · αὐτοὶ δέ με ἠθέτησαν, ἐν τῷ Εὐαγγελίῳ λέγει · Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι, Καὶ πάλιν . Τὸ Πνεῦμα ὅπου θέλει, πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις · ἀλλ' οὐκ οἶδας, πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος. Ἐν δὲ τῇ ἀρχῇ τοῦ Εὐαγγελίου Ἰωάννης (13) λέγει · Ὅσοι δὲ ἔλυβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ · οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Ὅσοι οὖν ἐκ Πνεύματος ἁγίου ἐγεννήθησαν, οὗτοι ἐκ Θεοῦ ἐγεννήθησαν . Καὶ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, οὗτοι εἰς Πατέρα καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθησαν. Καὶ πάλιν, ὅτε λέγει ὁ Πέτρος τῷ Ἀνανίᾳ · Διὰ τί (14) ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου ; Οὐκ ἐψεύσω ἀνθρώποις. ἀλλὰ τῷ Θεῷ. Ὥστε ὁ ψευσάμενος τῷ ἁγίῳ Πνεύματι, τῷ Θεῷ ἐψεύσατο, τῷ κατοικοῦντι ἐν ἀνθρώποις διὰ τοῦ Πνεύματος αὐτοῦ

betur: *Creavit me Dominus* [6] ultimo autem illud: *generavit.*

τέρας τούτους, ὧν οὐκ ἀποδέχονται τὴν ὁμολογίαν τὴν καλῶς καὶ ἀποστολικῶς γραφεῖναν ; Ἐπεὶ, εἰ νομίζουσιν ἀντιλέγειν δύνασθαι, εἰπάτωσαν, μᾶλλον δὲ ἀποκρινάσθωσαν, ἵνα καὶ ἑαυτοῖς περιπίπτοντες ἐλεγχθῶσιν, εἰ πιστεύουσι λέγοντι τῷ Υἱῷ· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα ; Ναὶ, εἴποιεν ἄν, ἐπειδὴ γέγραπται, πιστεύομεν, Ἀλλὰ καὶ Πῶς ἓν εἰσι, καὶ πῶς ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε καὶ (67) τὸν Πατέρα, ἐὰν ἐρωτηθῶσιν εἰπεῖν, πάντως που φήσουσι, Δι' ὁμοιότητα· εἰ μὴ τέλεον συμπεπτώκασι τοῖς ἀδελφὰ φρονοῦσιν αὐτοῖς, καὶ λεγομένοις Ἀνομοίοις. Ἀλλ' ἐὰν πάλιν ἐρωτηθῶσι, Πῶς ὅμοιος ; ἀποθρασυνόμενοι φήσουσιν · Ἀρετῇ τελείᾳ καὶ συμφωνίᾳ τὸ αὐτὸ θέλειν τῷ Πατρὶ, καὶ μὴ θέλειν ὅπερ ὁ Πατὴρ οὐ θέλει. Ἀλλὰ μαθέτωσαν· ὅτι ἐξ ἀρετῆς καὶ τοῦ θέλειν ὁμοιούμενος τῷ Θεῷ, ἔχει μὲν καὶ τοῦ τρέπεσθαι (68) τὴν προαίρεσιν · οὐκ ἔστι δὲ οὕτως ὁ Λόγος, εἰ μὴ ἄρα ἐκ μέρους καὶ καθ' ἡμᾶς ὅμοιος, ὅτι μὴ καὶ κατ' οὐσίαν ὅμοιός ἐστι. Ταῦτα δὲ ἴδια ἡμῶν τῶν γενητῶν καὶ κτιστὴν ἐχόντων τὴν φύσιν. Καὶ γὰρ καὶ ἡμεῖς, καίτοι μὴ δυνάμενοι ὅμοιοι κατ' οὐσίαν τον Θεοῦ γενέσθαί, ὅμως, ἐξ ἀρετῆς βελτιούμενοι, μιμούμεθα τὸν Θεὸν (69), χαρισαμένου καὶ τοῦτο τοῦ Κυρίου, καὶ λέγοντος · Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Γίνεσθε τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. Τρεπτὰ δὲ τὰ γενητά. οὐκ ἄν τις ἀρνήσαιτο, ἀγγέλων μὲν παραβάντων, τοῦ δὲ Ἀδὰμ παρακούσαντος, καὶ πάντων δεομένων τῆς τοῦ Λόγου χάριτος. Τρεπτὸν δὲ ἀτρέπτου ὄντος τοῦ Θεοῦ οὐκ ἄν εἴη ὅμοιον · ὥσπερ οὐδὲ τὸ κτισθὲν τοῦ κτίσαντος. Διὰ τοῦτο περὶ μὲν ἡμῶν σκοπῶν ὁ ἅγιος ἔλεγεν · Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι ; καὶ, Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε ; θεοὺς λέγων, τοὺς κτισθέντας μὲν, μετόχους δὲ γενομένους τοῦ Λόγου, ὡς αὐτὸς εἶπεν · Εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο. Τὰ δὲ μετέχοντα οὐκ ἄν εἴη τὰ (70) αὐτὰ οὐδὲ ὅμοια τοῦ μετεχομένου. Περὶ ἑαυτοῦ γοῦν ἔλεγεν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ὡς τῶν γενητῶν μὴ ὄντων οὕτως· Ἐπεὶ ἀποκρίνάσθωσαν οἱ τὴν Ἀρίμηνον προτείνοντες, εἰ κτιστὴ (71) οὐσία δύναται εἰπεῖν · Ἃ βλέπω τὸν Πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ. Ποιούμενα γὰρ ἐστι τὰ γενητὰ, καὶ οὐ ποιοῦντα · εἰ (72) δὲ μή γε, καὶ ἑαυτὰ ἐποίησαν. Ἀμέλει εἴ, ὡς λέγουσι, κτίσμα ἐστὶν ὁ Υἱὸς, καὶ ποιεῖ αὐτὸν ὁ Πατὴρ, πάντως ἂν ἐποίησε καὶ ἑαυτὸν ὁ Υἱὸς, δυνάμενος ποιεῖν ἃ ποιεῖ ὁ Πατὴρ, ὡς εἶπεν αὐτός · ἀλλ' ἄτοπον καὶ λίαν ἀσύστατόν ἐστι τὸ τοιοῦτον · ποιεῖν γὰρ ἑαυτὸν οὐδεὶς δύναται.

8. Πάλιν δὲ εἰπάτωσαν, εἰ δύναται τὰ γενητὰ εἰπεῖν · Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν ;

A recte et apostolice scriptam non recipiunt? Quod si sese repugnare posse arbitrantur, dicant, aut potius respondeant, ut in sese impingentes coarguantur ; num credant Filio dicenti : *Ego et Pater unum sumus ;* et : *qui vidit me, vidit et Patrem* [38]. Imo, dicent, hoc quia scriptum est, credimus. Sed quomodonam unum sunt, et quomodo, qui vidit Filium vidit et Patrem ; si sic interrogentur, respondebunt sane, Ob similitudinem : nisi cum iis collapsi sint qui affinem suæ sententiam tuentur, et vocantur Anomœi. Sed si rursum sciscitere, qua ratione similis ? audacius dicent : Virtute perfecta et consensu, quod idipsum velit quod Pater, et quod nihil velit, nisi quod Pater. Sed discant eum qui ex virtute et voluntate Deo similis sit, mutandi sui arbitrium habere : atqui Verbum nequaquam est tale, B nisi forte ex aliqua parte et nostro more, nedum secundum substantiam simile sit. Id enim proprium nobis est qui facti, et natura creata præditi sumus. Etenim nos, licet secundum substantiam Deo similes esse nequeamus, tamen in virtute proficientes, Deum imitamur, hoc donante Domino, qui ait : *Estote misericordes, sicut Pater vester misericors est* [39]. *Estote perfecti, sicut Pater vester cœlestis perfectus est* [40]. Opificia autem mutabilia esse, nemo negarit : cum et angeli prævaricati sint, et Adam non obedierit, et omnes egeant gratia Verbi. Mutabile autem immutabili Deo simile esse nunquam poterit : ut nec creatum creanti. Quapropter in nos respiciens sanctus ille dicebat : *Deus, quis similis erit tibi* [41] ? et : *Quis similis tibi in diis, Domine* [42] ? C deos dicens illos qui creati quidem, sed participes Verbi sunt, quemadmodum ipse ait : *Si illos dixit deos, ad quos Verbum Dei factum est* [43]. Res autem quæ alicujus participes sunt, nunquam eædem aut similes ei fuerint cujus sunt participes. De seipso igitur dixit : *Ego et Pater unum sumus*, quod scilicet res factæ nunquam hujusmodi sint. Alioqui respondeant qui Ariminensem obtenduntsynodum, an creata substantia dicere possit : *Quæ video Patrem facientem, hæc et ego facio* [44]. Nam opificia condita sunt, et nihil condunt ; sin autem minus, ergo seipsa condiderunt. Certe si, ut dicunt, creatura est Filius, et Pater fecerit eum, plane Filius seipsum condiderit, cum, ut ipse testatur, ea possit facere quæ Pater facit : sed illud absurdum et nunquam constare potest : nemo enim seipsum potest D efficere.

717 8. Rursum dicant an possint res factæ dicere : *Omnia quæcunque habet Pater, mea sunt* [45] ?

[38] Joan. XIV, 9 [39] Luc. VI, 36. [40] Matth. V, 48 [41] Psal. LXXXII, 2. [42] Psal. LXXXV, 8. [43] Joan. XI 35. [44] Joan. V, 19. [45] Joan. XVI, 15.

(67) Καί deest in Regio et in Anglicano. Infra, καὶ λεγομένοις, ἀνομοίοις, vix augurari possumus quid hic legerit Nannius, qui vertit, *qui, quod ipsis animis cogitant, verbis promunt.*

(68) Ita Regius. Editi vero, πρέπεσθαι male. Infra in eodem, καί deest ante κατ' οὐσίαν. Paulo post Anglicadus, τῶν γενητὴν καί.

(69) Anglicanus, τὸν Θεόν. Mox, καί deest in Regio. Infra Anglicanus. καθὼς καὶ ὁ Πατὴρ.

(70) Anglicanus, οὐκ ἦν ἀεὶ τὰ αὐτά.

(71) Anglicanus, προκρίναντες, κτιστὴ οὐσία.

(72) Εἰ deest in Anglicano. Infra idem, πάντως ἂν ἐποίει.

Habet autem ille, quod sit creator, conditor, æternus, omnipotens, immutabilis. Opificia autem nec creare possunt, creata cum sint; nec æterna esse, intium quippe exsistendi habent: nec omnia posse et immutabilia esse, sub imperio enim sunt, naturæque sunt mutabilis, ut Scripturæ dicunt. Ergo si hæc Filii sunt, non ex virtute, ut diximus, sed ex substantia sua illa habet, ut synodus ait: nec ex alia substantia ipse est, sed ex substantia Patris, cujus hæc sunt propria: quod autem substantiæ Patris proprium est, ejusque proles, quid aliud fuerit, aut quomodo appellandum sit, nisi consubstantiale? Nam quæ quis in Patre videt, eadem in Filio conspicit; in Filio, inquam, non ex participatione, sed secundum substantiam. Et hoc est: *Ego et Pater unum sumus* [46]; et, *Qui vidit me, vidit et Patrem* [47]. Verum hinc quoque e re fuerit eorum amentiam commonstrare: Si ex virtute, quam sequitur velle et non velle, nec non morum profectus, similis est Patri Filius, ut vos dicitis, hæc autem sunt qualitatis propria: ergo Deum dicitis ex qualitate et ex substantia compositum. Ecquis vos ultra ferat talia dicentes? non enim compositus est Deus, qui omnia ut essent composuit: neque talis, qualia sunt quæ ab ipso per Verbum sunt facta, absit. Simplex enim est substantia, in qua nulla qualitas, neque, ut ait Jacobus, *transmutatio aut vicissitudinis obumbratio* [48]. Cum igitur demonstratum sit eum non ex virtute procedere, quippe nec in Deo nec in Filio est qualitas; ergo substantiæ proprius fuerit: hocque sane fateamini necesse est, nisi plane in vobis intelligentia perierit. Jam quod proprium est, et idem ac substantia divina, et ex ipsa naturale germen, quid aliud fuerit, nisi consequenter genitori consubstantiale: illa quippe nota est Filii erga Patrem. Et hoc qui negat, is minime credit Verbum esse natura ac vere Filium.

9. Cum rem ita intelligerent Patres, scripserunt, Filium esse Patri consubstantialem; et anathemate damnaverunt eos qui dicerent, Filium ex alia esse substantia: neque verba ejusmodi commenti sunt, sed ea ipsi a priscis Patribus edidicerant, uti diximus. His igitur ita commonstratis, superflua est quæ ab illis affertur Ariminensis synodus, superflua et alia ab ipsis synodus de fide appellata. Sufficit enim Nicæna quæ cum priscis episcopis consentit, in qua Patres ipsorum subscripsere, quos revereri illos oportuit, ne omnia potius quam Christiani habeantur. Quod si post hæc tanta, post priscorum

A Ἔχει δὲ τὸ τὸ κτίζειν, τὸ δημιουργεῖν, τὸ ἄϊδιον, τὸ εἶναι παντοκράτωρ, τὸ ἄτρεπτον. Τὰ δὲ γεννητὰ οὐ δύναται ἔχειν τὸ δημιουργεῖν· κτιστὰ γάρ ἐστιν· οὐδὲ τὸ ἀΐδιον· ἀρχὴν γὰρ ἔχει τοῦ εἶναι· οὐδὲ τὸ παντοκράτωρ καὶ ἄτρεπτον· κρατούμενα γὰρ καὶ τρεπτῆς φύσεώς ἐστιν, ὥσπερ αἱ Γραφαὶ λέγουσιν. Οὐκοῦν εἰ ταῦτα τοῦ Υἱοῦ ἐστιν, οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι (73) δηλονότι, ὡς εἶπεν ἡ σύνοδος· οὐκ ἐξ ἄλλης οὐσίας ἐστὶν, ἀλλὰ τῆς τοῦ Πατρὸς, ἧς ἐστι καὶ ταῦτα ἴδια· τὸ δὲ τῆς τοῦ Πατρὸς οὐσίας ἴδιον, καὶ ἐξ αὐτῆς γέννημα, τί ἂν εἴη, ἢ πῶς ἄν τις ἀνομάσειεν αὐτὸ, ἢ ὁμοούσιον; ἃ γὰρ βλέπει τις ἐν τῷ Πατρὶ, ταῦτα βλέπει καὶ (74) ἐν τῷ Υἱῷ· Υἱῷ δὲ οὐκ ἐκ μετουσίας, ἀλλὰ κατ' οὐσίαν. Καὶ τοῦτό ἐστιν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ B Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα. Ἄλλως τε καὶ ἐκ τούτου πάλιν καλὸν δεικύναι τὴν ἀφροσύνην αὐτῶν· εἰ ἐξ ἀρετῆς (75) ἔπεται τὸ θέλειν καὶ τὸ μὴ θέλειν, καὶ τρόπων βελτίωσις, ὅμοιος καθ' ὑμᾶς ὁ Υἱός ἐστι τῷ Πατρί· ταῦτα δὲ ποιότητος ἴδια (76) δηλονότι σύνθετον τὸν Θεὸν ἐκ ποιότητος καὶ οὐσίας λέγετε. Καὶ τὶς ὑμῶν ἀνέξεται ταῦτα λεγόντων· ὡ γὰρ σύνθερος ὁ Θεὸς ὁ τὰ πάντα εἰς τὸ εἶναι συνθετικῶς, οὐδὲ τοιοῦτος, οἷά ἐστι τὰ παρ' αὐτοῦ διὰ τοῦ (77) Λόγου γενόμενα, μὴ γένοιτο! Ἁπλῆ γάρ ἐστιν οὐσία, ἐν ᾗ οὐκ ἔνι ποιότης, οὐδὲ, ὡς εἶπεν ὁ Ἰάκωβος, Παραλλαγή τις ἢ τροπῆς ἀποσκίασμα. Οὐκοῦν εἰ δείκνυται οὐκ ἐξ ἀρετῆς (78)· οὐ γὰρ ποιότης ἐν τῷ Θεῷ, οὔτε ἐν τῷ Υἱῷ· δηλονότι τῆς οὐσίας ἴδιος ἂν εἴη· καὶ τοῦτο πάντως ὁμολογήσετε, εἰ μὴ τέλεον τὸ νοεῖν ἀπώλετο ἐν ὑμῖν (79). Τὸ δὲ C ἴδιον καὶ ταὐτὸν τῇ τοῦ Θεοῦ οὐσίᾳ καὶ ἐξ αὐτῆς γέννημα φύσει τυγχάνον τί ἂν εἴη, ἢ πάλιν καὶ κατὰ τοῦτο ὁμοούσιον τῷ γεννήσαντι; τοῦτο γὰρ Υἱοῦ πρὸς Πατέρα γνώρισμα. Καὶ ὁ μὴ τοῦτο λέγων, οὐ φρονεῖ φύσει καὶ ἀληθῶς Υἱὸν εἶναι τὸν Λόγον.

9. Οὕτω νοήσαντες οἱ Πατέρες, ἔγραψαν ὁμοούσιον εἶνα τὸν Υἱὸν τῷ Πατρὶ, καὶ ἀνεθεμάτισαν τοὺς λέγοντας ἐξ ἑτέρας ὑποστάσεως εἶναι τὸν Υἱόν· οὐχ ἑαυτοῖς πλασάμενοι λέξεις, ἀλλὰ καὶ αὐτοὶ ἀπὸ τῶν πρὸ αὐτῶν Πατέρων μαθόντες, καθάπερ εἴπομεν. Τούτων δὲ οὕτω δεικνυμένων, περιττὴ αὐτῶν ἡ Ἀριμηνος, περιττὴ καὶ ἡ (80) ἄλλη παρ' αὐτῶν ὀνομαζομένη περὶ πίστεως σύνοδος. Ἀρκεῖ γὰρ ἡ ἐν Νικαίᾳ τύμφωνος οὕτα καὶ τοῖς ἀρχαίοις ἐπισκόποις, ἐν D καὶ οἱ Πατέρες αὐτῶν ὑπέγραψαν, οὓς αἰδεῖσθαι τοὺς ἔπρεπεν, ἵνα μὴ πάντα μᾶλλον ἢ Χριστιανοὶ νομισθῶσιν. Εἰ δὲ καὶ μετὰ τοσαῦτα, μετὰ καὶ τὴ

[46] Joan. x, 30. [47] Joan. xiv, 9. [48] Jac. i, 17.

(73) Ἐστι deest in Anglicano.

(74) Καί deest in Regio.

(75) Legendum putamus, ἐξ ἀρετῆς ἧς, omissum nempe videtur ἧς ob repetitionem ejusdem syllabæ, quod plerumque contingit.

(76) Regius, ταῦτα δὲ ποιότητος καὶ οὐσίας, omissis interpositis, δι' ὁμοιοτέλευτον. Ibid. Anglic., λέγεται. Καὶ τίς ὑμᾶς.

(77) Ita Regius. In editis vero, διὰ τοῦ deest.

(78) Ita Anglicanus, atque ita legit Nannius recte. In editis et in aliis, οὐκ deest. Infra Regius ἰδιος. Editi vero et alii, ἴδιον.

(79) Regius et Anglicanus, ἐν ὑμῖν. Editi vero ἐν ἡμῖν male.

(80) Ita Anglicanus. In editis et aliis, ἡ deest. Paulo post Reg. et Anglicanus, Ἀρκεῖ γάρ. Editi vero et alii, Ἐκεῖ γὰρ.

μαρτυρίαν τῶν ἀρχαίων ἐπισκόπων, καὶ μετὰ τὴν ὑπογραφὴν τῶν ἰδίων Πατέρων, προσποιοῦνται, ὡς ἀγνοοῦντες, τὴν λέξιν φοβεῖσθαι τοῦ ὁμοουσίου, εἰπάτωσαν καὶ φρονείτωσαν ἁπλούστερον μὲν καὶ ἀληθῶς τὸν Υἱὸν φύσει Υἱὸν, ἀναθεματισάτωσαν δὲ, ὡς παρήγγειλεν ἡ σύνοδος, τοὺς λέγοντας κτίσμα, ἢ ποίημα, ἢ ἐξ οὐκ ὄντων, ἢ, Ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ὅτι τρεπτὸς καὶ ἀλλοιωτός ἐστι, καὶ ἐξ ἑτέρας (81) ὑποστάσεως· καὶ οὕτω φευγέτωσαν ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως· καὶ θαῤῥοῦμεν, ὅτι γνησίως ταῦτα ἀναθεματίζοντες ὁμολογοῦσιν εὐθὺς, ἐκ τῆς οὐσίας καὶ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί. Διὰ τοῦτο γὰρ καὶ οἱ Πατέρες, εἰρηκότες ὁμοούσιον εἶναι τὸν Υἱὸν, ἐπήγαγον εὐθύς· Τοὺς δὲ λέγοντας κτίσμα, ἢ ποίημα, ἢ ἐξ οὐκ ὄντων, ἢ, Ἦν ποτε, ὅτε οὐκ ἦν, ἀναθεματίζει ἡ Καθολικὴ Ἐκκλησία· ἵνα διὰ
B
τούτων γνωρίσωσιν, ὅτι ταῦτα σημαίνει (82) τὸ ὁμοούσιον. Καὶ ἡ τοῦ ὁμοουσίου δύναμις γινώσκεται ἐκ τοῦ μὴ εἶναι κτίσμα ἢ ποίημα τὸν Υἱόν· καὶ ὅτι ὁ λέγων ὁμοούσιον οὐ φρονεῖ κτίσμα εἶναι τὸν Λόγον· καὶ ὁ ἀναθεματίζων τὰ προειρημένα ὁμοούσιον ἅμα φρονεῖ εἶναι τὸν Υἱὸν τῷ Πατρί· καὶ ὁ ὁμοούσιον λέγων γνήσιον καὶ ἀληθινὸν λέγει τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ ὁ Γνήσιον λέγων νοεῖ τό· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.

A episcoporum testimonium, post subscriptionem Patrum suorum, quasi eorum ignari, sese simulant consubstantialis vocem reformidare; dicant sentiantque simplicius, ac sincerius, Filium, natura esse Filium; anathemate autem damnent, uti synodus præcepit, eos qui dicunt eum, creaturam, aut rem factam: aut, ex non exstantibus, vel, aliquando non erat Filius Dei: et mutabilis, ac variabilis est, et ex alia substantia: et sic ab Ariana hæresi refugiant: ut confidimus eos, si hæc sinceriter anathemate damnent, statim confessuros, Filium ex substantia Patris et Patri consubstantialem esse. Ideo enim Patres cum dixissent Filium esse Patri consubstantialem, statim addiderunt: Eos autem qui dixerint, creaturam, aut rem factam, aut ex non exstantibus, aut, aliquando **718** non erat, anathemate damnat catholica Ecclesia; ut iis verbis notum facerent, vocem consubstantialis hæc significare. Atque vis hujus vocis, consubstantiale, eo intelligitur quod Filius non sit res creata vel facta, et quod, qui dicit consubstantiale, nequaquam credat Verbum esse creaturam: et qui superius dicta anathemate damnat, una sentit Filium esse Patri consubstantialem: cumque dicit consubstantialem, germanum ac verum dicit Dei Filium. Et qui dicit germanum, probe intelligit illud: *Ego et Pater unum sumus*; et: *Qui vidit me, vidit et Patrem.*

10. Ἔπρεπε μὲν οὖν διὰ πλειόνων τὰ τοιαῦτα γράφειν· ἐπειδὴ δὲ πρὸς εἰδότας ὑμᾶς γράφομεν (83), διὰ τοῦτο συντόμως ὑπηγορεύσαμεν· εὐχόμενοι παρὰ πᾶσι σώζεσθαι τὸν σύνδεσμον τῆς εἰρήνης, καὶ πάντας τοὺς τῆς Καθολικῆς Ἐκκλησίας τὸ αὐτὸ λέγειν, τὸ αὐτὸ φρονεῖν. Καὶ οὐχ ὡς διδάσκοντες, ἀλλὰ ὡς ὑπομι-
C
μνήσκοντές ἐσμεν (84). Ἐσμὲν δὲ οὐχ ἡμεῖς οἱ γράφοντες μόνοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ Αἰγύπτῳ καὶ ταῖς Λιβύαις ἐνενήκοντά που ἐπίσκοποι. Πάντων γὰρ ἕν ἐστι τοῦτο φρόνημα, καὶ ὑπὲρ ἀλλήλων ἀεὶ ὑπογράφομεν, ἐὰν συμβῇ τινα μὴ παρεῖναι. Οὕτως οὖν (85) διακείμενοι, ἐπειδὴ συνέβη συνελθεῖν ἡμᾶς, ἐγράψαμεν καὶ τῷ ἀγαπητῷ ἡμῶν Δαμάσῳ τῷ ἐπισκόπῳ τῆς μεγάλης Ῥώμης περὶ τοῦ Αὐξεντίου τοῦ ἐπελθόντος τῇ ἐν Μεδιολάνῳ ἐκκλησίᾳ, διηγούμενοι τὰ κατ' αὐτόν· ὅτι τε οὐ μόνον τῆς Ἀρειανῆς αἱρέσεώς ἐστι κοινωνὸς, ἀλλὰ καὶ ὑπεύθυνός ἐστι πολλοῖς κακοῖς, πράξας ταῦτα μετὰ Γρηγορίου τοῦ κοινωνοῦ τῆς ἀσεβείας αὐτοῦ· καὶ θαυμάζοντες πῶς μέχρι νῦν οὐ καθῃρέθη καὶ ἐκβέβληται τῆς Ἐκκλησίας, καὶ χάριν ὁμολογήσαμεν τῇ θεοσεβείᾳ αὐτοῦ τε καὶ τῶν
D
συνελθόντων ἐν τῇ μεγάλῃ Ῥώμῃ, ὅτι καὶ τοὺς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα, καὶ τοὺς τὰ αὐτὰ (86) αὐτοῖς φρονοῦντας ἐκβάλλοντες, ἔσωσαν τὴν ὁμοψυχίαν τῆς Καθολικῆς Ἐκκλησίας· ἣν καὶ παρ' ὑμῖν εὐχό-

10. Cæterum par erat hæc pluribus scribere: verum, quia vobis jam horum gnaris scribimus, ideo paucis dictavimus. Optantes ut apud omnes vinculum pacis servetur, et omnes qui catholicæ sunt Ecclesiæ, idem dicant, idemque sentiant. Et hæc non quasi docentes, sed quasi admonentes dicimus. Non enim nos soli scribimus, sed omnes Ægypti et Libyarum nonaginta circiter episcopi. Omnium enim una hæc est sententia, et cum aliquem abesse contigerit, alii pro aliis subscribimus. Sic nos igitur affecti, cum contigisset nos in unum convenire, litteras quoque dilecto nostro Damaso magnæ Romæ episcopo misimus, de Auxentio qui Mediolanensem invasit ecclesiam, cujus illi gesta enarravimus, eum nempe non modo esse Arianæ hæreseos sectatorem, sed etiam multis sceleribus obnoxium, quæ cum Gregorio impietatis suæ socio perpetravit: neque mirari cur nondum depositus et ab Ecclesia ejectus sit. Gratiasque retulimus ejus pietati, nec non iis qui in magnam urbem Romam convenerant, quod Ursacio et Valente aliisque qui cum illis sentirent ejectis, catholicæ Ecclesiæ concordiam servassent. Quam cum apud vos quoque servari peroptemus, hortamur, vos, ne feratis ut supra diximus, eos qui fidei occasione, multitu-

(81) Anglicanus, ὅτι ἄτρεπτος, καὶ ἀναλλοίωτός ἐστι, καὶ οὐκ ἐξ ἑτέρας, male.

(82) Regius et editio Commel., σημαίνῃ male: alii, σημαίνει.

(83) Basil. et Anglicanus, προειδόσιν ὑμῖν γράφομεν. Mox Regius. ὑπηγορεύσαμεν. Alii, συνηγορεύσαμεν.

(84) Ita Regius quem sequimur. Anglicanus, ἀλλὰ ὡς ὑπομιμνήσκοντες ὑμᾶς γράφομεν. Ἐσμέν Infra Regius, καὶ ταῖς Λιβύαις, et sic supra legitur n. 1, τὰς Λιβύας, in plurali. Editi et alii, τῇ Λιβύῃ.

(85) Anglicanus, Οὕτως γοῦν.

(86) Sic Reg. optime. In aliis vero et in editis, αὐτὰ deest. Infra manuscripti et editio Commel., παρ' ὑμῖν. Edit. vero Paris., παρ' ἡμῖν.

dinem synodum objiciunt. Ariminensem, Sirmiensem, eam quæ in Isauria, aliam quæ in Thracia, eas quæ Constantinopoli, item quæ Antiochiæ celebratæ sunt, quæ plurimæ sunt et tumultuosæ. Sed apud vos Nicæna solum fides obtineat. quam Patres promulgarunt: ubi omnes aderant Patres, imo quidam ex illis qui eam nunc oppugnant, uti supra diximus, ipsique subscripserunt; ut de nobis etiam Apostolus dicat: *Laudo autem vos, quod per omnia memores mei estis: et sicut tradidi vobis præcepta mea tenetis* [49].

11. Hæc enim Nicæna synodus, vere cippus est inscriptus contra universas hæreses. Hac ipsa eos qui in Spiritum sanctum blasphemant, ipsumque dicunt esse creaturam, confutat. Cum enim Patres de fide in Filium pertractassent, statim addiderunt: credimus et in Spiritum sanctum; ut perfectam et plenam de sancta Trinitate fidem confessi, Christianæ fidei tesseram et catholicæ Ecclesiæ doctrinam in hoc ipso exhiberent. Propalam quippe vobis omnibusque est, et nemini Christianorum hoc dubium fuerit, nos in creaturam minime credere, sed in unum Deum, Patrem omnipotentem, omnium visibilium et invisibilium factorem. Et in unum Dominum Jesum Christum Filium ejus unigenitum. Et in unum Spiritum sanctum: unum Deum in sancta et perfecta Trinitate cognitum. In cujus nomine baptizati et in qua divinitati conjuncti, credimus nos regnum cœlorum hæreditate accepturos in Christo Jesu Domino nostro, per quem Patri gloria et imperium in sæcula. Amen.

δι' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν (90).

A μένοι σώζεσθαι, παρακαλοῦμεν μὴ ἀνέχεσθαι, καθὰ προείπομεν, τῶν προβαλλομένων ὄχλον συνόδων προφάσει πίστεως, τὴν ἐν Ἀριμήνῳ, τὴν ἐν Σιρμίῳ (87), τὴν ἐν τῇ Ἰσαυρίᾳ, τὴν ἐν τῇ Θρᾴκῃ, τὰς ἐν Κωνσταντινουπόλει, τὰς ἐν Ἀντιοχείᾳ πολλὰς καὶ ἀτάκτους. Ἀλλὰ μόνον κρατείτω ἐν ὑμῖν ἡ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσα πίστις· ἐν ᾗ καὶ πάντες καὶ τῶν νῦν μαχομένων πρὸς αὐτὴν παρῆσαν Πατέρες, καθὰ προείπομεν (88), καὶ ὑπέγραψαν· ἵνα καὶ περὶ ἡμῶν ὁ Ἀπόστολος εἴπῃ· Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε.

11. Αὕτη γὰρ ἡ ἐν Νικαίᾳ σύνοδος, ἀληθῶς στηλογραφία κατὰ πάσης αἱρέσεώς ἐστιν. Αὕτη καὶ τοὺς βλασφημοῦντας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ λέγοντας αὐτὸ κτίσμα, ἀνατρέπει. Εἰρηκότες γὰρ οἱ Πατέρες B περὶ τῆς εἰς τὸν Υἱὸν πίστεως, ἐπήγαγον εὐθύς· Πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα, τελείαν καὶ πλήρη τὴν εἰς τὴν ἁγίαν Τριάδα πίστιν ὁμολογήσαντες, τὸν χαρακτῆρα τῆς ἐν Χριστῷ πίστεως καὶ τὴν διδασκαλίαν τῆς Καθολικῆς Ἐκκλησίας ἐν τούτῳ (89) γνωρίσωσι. Δῆλον γὰρ καὶ παρ' ὑμῖν καὶ παρὰ πᾶσι καθέστηκε· καὶ οὐδεὶς ἂν Χριστιανῶν ἀμφίβολον εἰς τοῦτο σχοίη τὴν διάνοιαν, ὡς οὐκ ἔστιν ἡμῶν ἡ πίστις εἰς τὴν κτίσιν, ἀλλ' εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ· καὶ εἰς ἓν Πνεῦμα ἅγιον· ἕνα Θεὸν τὸν ἐν τῇ ἁγίᾳ καὶ τελείᾳ Τριάδι γινωσκόμενον· εἰς ἣν καὶ βαπτιζόμενοι, καὶ ἐν ταύτῃ συναπτόμενοι τῇ θεότητι, πιστεύομεν καὶ κληρονομῆσαι C βασιλείαν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ *Κυρίῳ ἡμῶν*, Ἀμήν (90).

[49] I Cor. xi, 2.

(87) Anglicanus, τὴν Ἀρσενίῳ, unde Nannius vertit, *Arsenicam*.

(88) Regius, καθάπερ εἴπομεν. Paulo post Regius et Basil., ἡμῶν ὁ Ἀπόστολος. Anglicanus, ὑμῶν ὁ Ἀπόστολος. Editi, ἡμῶν Ἀπόστολος.

(89) Ita Regius et Anglicanus. Editi vero, ἐν ταυτῷ.

(90) Anglican. solus, quem sequitur Nannius, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Post, Ἀμήν, subjungit Anglican., ἐρρῶσθαι ἡμᾶς καὶ μνημονεύειν ἡμῶν ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι, quæ absunt a Reg. Basil. et Felckm. 7, et edit.

IN EPISTOLAM AD EPICTETUM ADMONITIO.

719 I. *Celeberrima apud antiquos scriptores exstitit hæc epistola: eam quippe integram affert Epiphanius hæresi* LXXVII; *hujus item meminit Cyrillus in epistola ad Joannem Antiochenum et aliis in locis: aitque jam olim ipsam ab hæreticis fuisse vitiatam, quod in illa cernerent errores convelli suos; a se tamen collatis exemplaribus pristinæ integritati restitutam. Verum depravata ejusmodi exempla ad nostram usque ætatem non pervenere; est enim ea, quæ jam in Athanasianis exstat editis, et plane orthodoxa: et ei quæ apud Epiphanium legitur consimillima. Cyrilli autem locum citat Rusticus diaconus,* Contra Acephalos, *cap.* 2. *Epistolam ad Epictetum memorant item, et loca inde excerpta afferunt synodi Ephesina et Chalcedonensis. Leo papa, Theodoretus, Gelasius libro* De duabus in Christo naturis *infra suis omnes notatis locis. Item apud Leontium Byzantium multa hinc afferuntur loca lib.* II, *sub finem. Ipseque Apollinaris vaferrimus sane homo, in fragmento epistolæ ad Serapionem apud Leontium Byzantinum, ait, se epistolam*

domini sui (scilicet Athanasii) Corinthum missam summopere approbare, et eorum qui dicunt carnem Deo consubstantialem magnam insaniam damnare. Nimirum id sedulo curavit heresiarcha ille, ut omnem pravæ sententiæ suspicionem a se, cum Athanasio agens, amoveret, quod sane, ad tempus saltem, ex voto illi cessisse videtur; etenim in hac epistola et in subsequentibus contra Apollinarium libris, nulla Apollinarii mentio. Vide item supra p. 618. »

« II. Occasione autem ductus Commentariorum, quæ sibi transmiserat Epictetus Corinthi episcopus, hanc ad illum rescripsit epistolam. Erant quippe Corinthi, referente Epicteto, quidam homines, qui sententias de fide impiissimas proposuissent agitassentque; aiebant scilicet 1° corpus ex Maria genitum consubstantiale esse Verbi deitati; 2° Verbum in carnem, ossa et capillos et in totum corpus mutatum fuisse. Quæ sententia Marcionitis ascribitur in Dialogo qui Origenis nomine circumfertur. 3° Dominum fictione non natura gestasse corpus. Qui sane error antiquissimus fuit; ab Ignatio namque memoratur epistola ad Trallianos, cap. 10, et ab omnibus deinde Patribus; 4° Ipsam deitatem circumcisam et cruci affixam fuisse; 5° Verbum nequaquam ex Maria, sed ex sua ipsius substantia sibi corpus efformasse; 6° Qui ait Domini corpus ex Maria esse, non Trinitatem, sed quaternitatem admittere. Maximam harumce sententiarum partem Apollinario ascribit Gregorius Nazianzenus orat. 46, pag. 722. Nec tamen hic comparet ille Apollinaristarum error, quo negabant mentem humanam inesse Christo, quæ videtur fuisse sectæ illius quasi tessera; sed ea duntaxat hic tangit Athanasius, quæ Corinthi in controversiam venerant. Nec leviter objurgat Epictetum quod talia vel proponi concesserit. Iisque omnibus sententiis brevissime confutatis, claudens epistolam, sese multum gaudere testatur, quod eo demum res cesserit, ut quisque disputantium in catholica consisteret fide. »

« III. Dimæritarum porro nomine Apollinaristas insectatur Epiphanius hæresi LXXVII, cujus appellationis causam aperit Gregorius Nazianzenus cum ait orat. 46, pag. 722 : corpus et animam esse in Christo τὸ τριτημόριον, *tertiam partem*. Apollinaristæ quippe aiebant, in Christo partem unam hominis, νοῦν scilicet, seu mentem, a Verbo suppleri, solumque Verbum junctum corpori et animæ (nempe sensitivæ, ut dictitabant illi) totum constituere Christum. Quamobrem, cum ex Catholicorum sententia, tribus constaret Christus, Verbo scilicet, mente humana, et corpore animato; qui unam ex illis demerent partem, mentem scilicet, a duabus aliis, διμοιρῖται audiebant : nam δίμοιρον Græcis est, duæ tertiæ partes, cujus significationis exempla sæpius advertere est in *Analectis* nostris *Græcis*, pag. 319 et seq. Cæterum hanc epistolam in annum conferri posse putamus circiter 371, ut fusius in *Vita Athanasii*.»

—

ΤΟΥ ΕΝ ΛΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΕΠΙΚΤΗΤΟΝ ΚΟΡΙΝΘΟΥ, ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΤΙΚΩΝ ΕΠΙΣΤΟΛΗ (91).

—

S. P. N. ATHANASII

ARCHIEPISCOPI ALEXANDRIÆ

AD EPICTETUM EPISCOPUM CORINTHI CONTRA HÆRETICOS EPISTOLA.

—

Κυρίῳ μου (92) ἀγαπητῷ ἀδελφῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ἐπικτήτῳ · Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

Domino meo dilecto fratri et optatissimo comministro Epicteto, Athanasius in Domino salutem.

1. Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάντων, ὅσοι δηποτοῦν εἰσιν αἱρετικοὶ, πεπαῦσθαι ἐκ

720 1. Arbitrabar equidem omnium, qui unquam fuere hæreticorum, vanam loquacitatem, a

(91) Scripta anno circiter 371. Seguer. Gobler. et Felck. 1, τοῦ αὐτοῦ ἐπιστολὴ γραφεῖσα (γραφεῖσα deest in Gobler. et Felck. 1) πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου κατὰ αἱρετικῶν. Ibid Gobler., λόγος κατὰ αἱρετικῶν. Basiliens. et Ang., τοῦ αὐτοῦ πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου κατὰ αἱρετικῶν. Felck. 2, nullum habet titulum, codex Jesuit. Latinus habet *ad Epictitum*, et inferius, *Epictito*.

(92) Ita Seguer. Gobler, Felck. 1, et Basiliens. in quo tamen μου deest. Editi sic habent, τῷ ἀγαπητῷ · . . . συλλειτουργῷ καὶ συμμύστῃ Ἀθανάσιος, etc., quæ ex aliquone deprompta sint codice ignoratur. In Anglicano et Felck. 2, horum nihil. In appendice ad divi Leonis opera tom. II, p. 198 sic titulus.

Nicæna synodo compressam fuisse. Nam quæ illic a Patribus ex divinis Scripturis promulgata fides est, tum ad impietatem omnem evertendam, tum ad piam in Christo fidem asserendam sufficit. Quamobrem cum hoc tempore variæ synodi per Galliam, Hispanias et magnæ Romæ celebratæ sint, quotquot eo convenere, eos qui etiam nunc latenter hæresin sapiunt Arianam, Auxentium nempe Mediolanensem, Ursacium, Valentem et Gaium ex Pannonia, communi calculo, quasi uno eodemque concitante Spiritu, anathemate damnarunt. Litteras autem ubique miserunt (quod varia isti synodorum nomina comminiscerentur) nulla ut deinceps in Ecclesia catholica nominaretur synodus præter unam Nicænam, quæ omnis hæresis tropæum est, atque in primis Arianæ, cujus potissimum causa tunc coacta fuit. His tot tantisque gestis rebus, quid est quod nonnulli disceptare ac quæstiones movere ausint? Qui si ex Arianis quidem sint, nihil mirum eos quæ contra se scripta sunt criminari : quemadmodmum et ethnici, dum illud audiunt : *Simulacra gentium argentum et aurum, opera manum hominum* [50], doctrinam de divina cruce stultitiam arbitrantur. Sin autem ii, qui ejusmodi quæstionibus rem de integro tractare peroptant, ex eorum numero sunt qui recte sentire, et iis quæ a Patribus promulgata sunt favere videntur, nihil aliud præstant, quam quod, ut scriptum est [51], proximo quidem suo eversionem lutosam propinant, verbis autem decertant non ad aliquam utilitatem, sed ad simpliciorum perniciem.

2. Hæc ita scribo postquam legi commentarios a tua pietate mihi oblatos, qui utinam scripti nunquam fuissent, ut ne minima quidem horum memoria transmitteretur ad posteros. Quis enim talia unquam audivit? quis docuit, didicitve? *De Sion* quidem *exibit lex Dei, et Verbum Domini de Jerusalem* [52] : hæc autem unde prodierunt? Quisnam infernus illud eructavit, corpus ex Maria genitum esse Verbi divinitati 721 consubstantiale? aut Verbum in carnem, ossa et capillos, et in totum

A τῆς γενομένης ἐν Νικαίᾳ συνόδου· ἡ γὰρ ἐν αὐτῇ παρὰ τῶν Πατέρων κατὰ τὰς θείας Γραφὰς ὁμολογηθεῖσα πίστις αὐτάρκης ἐστι πρὸς ἀνατροπὴν μὲν πάσης ἀσεβείας, πρὸς (93) σύστασιν δὲ τῆς εὐσεβοῦς ἐν Χριστῷ πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν διαφόρων γενομένων συνόδων ἔν τε τῇ Γαλλίᾳ, καὶ Σπανίᾳ, καὶ τῇ μεγάλῃ Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν ἔτι κρυπτομένους καὶ φρονοῦντας νὰ Ἀρείου, Αὐξέντιον δὴ λέγω τὸν ἐν Μεδιολάνῳ, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, καὶ Γάϊον ἀπὸ τῆς Πανονίας (94) παμψηφεὶ, ὡς ἀφ' ἑνὸς Πνεύματος κινούμενοι, ἀνεθεμάτισαν· ἔγραψάν τε πανταχοῦ (διὰ τὸ τοὺς τοιούτους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων), μηδεμίαν ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ μόνην τὴν ἐν Νικαίᾳ σύνοδον (95) γενομένην, τρόπαιον οὖσαν πάσης μὲν αἱ-
B ρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς, δι' ἣν μάλιστα καὶ ἡ σύνοδος τότε συνήχθη. Πῶς τοίνυν ἔτι μετὰ (96) τοσαῦτα ἀμφισβητεῖν, ἢ ζητεῖν τινες ἐπιχειροῦσιν ; Εἰ μὲν οὖν ἐκ τῶν Ἀρειανῶν εἰσιν, οὐδὲ θαυμαστὸν, εἰ τὰ κατ' αὐτῶν γραφέντα διαβάλλουσιν, ὥσπερ Ἕλληνες ἀκούοντες· Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, μωρίαν ἡγοῦνται τὴν περὶ τοῦ Θείου (97 σταυροῦ διδασκαλίαν· εἰ δὲ τῶν δοκούντων ὀρθως πιστεύειν καὶ ἀγαπᾷν τὰ δηλωθέντα παρὰ τῶν Πατέρων εἰσὶν οἱ διὰ τοῦ ζητεῖν ἀνασκευάζειν θέλοντες, οὐδὲν ἕτερον ποιοῦσιν ἢ κατὰ τὸ γεγραμμένον, τὸν μὲν πλησίον ποτίζουσιν ἀνατροπὴν θολερὰν (98), λογομαχοῦσι δὲ ἐπ' οὐδενὶ χρησίμῳ ἢ ἐπὶ καταστροφῇ
C τῶν ἀκεραίων.

2. Ταῦτα δὲ οὕτω γράφω, ἐντυχὼν τοῖς παρὰ τῇ σῇ θεοσεβείᾳ προσαχθεῖσιν ὑπομνήμασιν, ἃ μηδὲ γραφῆναι ὤφελον, ἵνα μηδὲ μνήμη τις τούτων τοῖς μετὰ ταῦτα γένηται. Τίς γὰρ ἤκουσε τοιαῦτα πώποτε ; τίς ὁ (99) διδάξας, ἢ μαθών ; Ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται νόμος Θεοῦ, καὶ Λόγος Κυρίου ἐξ Ἱερουσαλήμ· ταῦτα δὲ, πόθεν ἐξῆλθε ; Ποῖος φόβης ἠρεύξατο ὁμοούσιον εἰπεῖν τὸ ἐκ Μαρίας σῶμα τῇ τοῦ Λόγου θεότητι ; ἢ, ὅτι ὁ Λόγος εἰς σάρκα (1), καὶ ὀστέα, καὶ τρίχας, καὶ ὅλον σῶμα μετε-

[50] Psal. CXIII, 4. [51] Habacuc. II, 15. [52] Isa. II, 3.

Epistola Athanasii episcopi ad Epictetum Corinthi episcopum, contra eos qui de Domini incarnatione spiritu blasphemiæ diversa senserunt. Deinde : *Dilectissimo fratri et amabili consacerdoti Epicteto, Athanasius in Domino salutem.*

(93) Sic Epiph. Seguer. Gobler. et Felckm. 1, in editis vero et in aliis manuscriptis πρός deest. Infra Seguerianus, secunda manu, Ἰσπανίᾳ. Goblerianus et Felckm. 1, τῇ Ισπανίᾳ καὶ Ῥώμῃ. Mox ἔτι deest in Epiph. qui habet ἐπικρυπτομένους,

(94) Seguer. Basil. et Gobler., Πανονίας. Nannius male verterat, *Gaium Pannonem*, cum vertendum fuisset *ex Pannonia*. Nam illud, ἀπὸ Πανονίας, intelligitur de Ursacio, Valente et Gaio. Ibid. Epiph., παμψήφι, Seguerian., παμψήφως, in quo ibidem ως deest Gobler. et Felck. 1, παμψήφους. Mox Epiph., ἔγραψεν δέ.

(95) Σύνοδον deest in Seguerian. Gobler. Felck. 1, et Epiph.

D (96) Sic Seguer. Gobler. Felck. 1, et Epiph. Editi, Πῶς οὖν μετά. Infra Epiphan., καθ' ἑαυτῶν γραφέντα. Mox Seguer., ὥσπερ καί.

(97) Epiphanius solus, περὶ τοῦ ἁγίου Πνεύματος, minus recte. Nam respicit Athanasius illud Pauli, I Cor. I, 23 : Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον. Ἕλλησι δὲ μωρίαν.

(98) Ποτιζουσιν ἀνατ. In hæc verba hæc Fronto Duc. : *Locus exstat Habacuc.* II, 15. *Docet Hieronymus veterem editionem Græcam reddidisse* ἐκστασιν ὀχλουμένην, *amentiam turbidam.*

(99) Sic Seguer. et Theodoret., apud quem hæc leguntur dial. 1. Editi vero et alii ἢ τίς ὁ. Paulo post Epiph., νόμος Κύριου καὶ λόγος Θεοῦ. Editi νόμος καὶ λόγος Θεοῦ. Seguer. Gobler. et Felck. 1. ut in textu.

(1) Sic omnes pene mss. In editis, εἰς deest. Mox post τρίχα, Seguer. solus addit, καὶ νεῦρα. Paulo

βέβληται, καὶ ἠλλάγη τῆς ἰδίας φύσεως ; Τίς δὲ ἤκουσεν ἐν Ἐκκλησίᾳ, ἢ ὅλως παρὰ Χριστιανῶν, ὅτι θέσει καὶ οὐ φύσει σῶμα πεφόρηκεν ὁ Κύριος ; (2) Ἡ τίς τοσοῦτον ἠσέβησέν, ὥστε εἰπεῖν ἅμα καὶ φρονεῖν, ὅτι ἡ θεότης αὐτὴ ἡ ὁμοούσιος τῷ Πατρὶ περιετμήθη καὶ ἀτελὴς ἐκ τελείου γέγονεν · καὶ ὅτι τὸ ἐν ξύλῳ καθηλούμενον, οὐκ ἦν τὸ σῶμα, ἀλλ' αὐτὴ ἡ δημιουργὸς οὐσία τῆς σοφίας (3) ; Τίς δὲ ἀκούων, ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς ἑαυτοῦ οὐσίας, μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ Λόγος, εἴποι ἂν Χριστιανὸν τὸν λέγοντα ταῦτα (4) ; Τίς δὲ τὴν ἀθέμιτον ταύτην ἐπενόησεν ἀσέβειαν, ὥστε κἂν εἰς ἐνθύμησιν ἐλθεῖν, καὶ εἰπεῖν, ὅτι ὁ λέγων ἐκ Μαρίας εἶναι τὸ Κυριακὸν σῶμα οὐκέτι τριάδα, ἀλλὰ τετράδα ἐν τῇ θεότητι φρονεῖ ; Ὡς διὰ τοῦτο τοὺς οὕτω διακειμένους τῆς οὐσίας τῆς Τριάδος λέγειν εἶνα τὴν σάρκα, ἣν ἐνεδύσατο ἐκ Μαρίας ὁ Σωτήρ. Πόθεν δὲ πάλιν ἠρεύξαντό τινες ἴσην ἀσέβειαν τοῖς προειρημένοις, ὥστε εἰπεῖν μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος, ἀλγὰ συναΐδιον αὐτῷ διαπαντὸς γεγενῆσθαι, ἐπειδὴ ἐκ τῆς οὐσίας τῆς σοφίας συνέστη (5) ; Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοί, εἰ ὁ ἐκ Μαρίας πρελθὼν Κύριος Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαβὶδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας ; Τίνες δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι Κύριον, καὶ Σωτῆρα, καὶ Θεὸν, καὶ Υἱὸν τοῦ Πατρὸς ; Ἢ πῶς Χριστιανοὶ θέλουσι ὀνομάσθαι οἱ λέγοντες εἰς ἄνθρωπον (6) ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν Λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ ἕτερον τὸν τοῦ Θεοῦ Λόγον (7), τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων Υἱὸν ὄντα τοῦ Πατρὸς ; Ἢ πῶς εἶναι χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν Υἱὸν (8) καὶ ἄλλον τὸν τοῦ Θεοῦ Λόγον ;

3. Ταῦτα ἦν ἐν τοῖς Ὑπομνήμασι, διαφόρως μὲν εἰρημένα, μίαν δὲ τὴν διάνοιαν καὶ τὴν αὐτὴν ἔχοντα πρὸς ἀσέβειαν βλέπουσαν δύναμιν (9). Διὰ ταῦτα διεκρίνοντο καὶ διεμάχοντο πρὸς ἀλλήλους οἱ αὐχοῦντες ἐπὶ τῇ ὁμολογίᾳ τῶν Πατέρων τῇ ἐν Νικαίᾳ γενομένῃ. Ἐγὼ δὲ, τὴν σὴν ἐθαύμασα θεοσέβειαν ἀνασχομένην, καὶ ὅτι μὴ τούτους ἔπαυσε μὲν ταῦτα λέγοντας, τὴν δὲ εὐσεβῆ πίστιν παρέθηκεν αὐτοῖς ·

corpus mutatum fuisse, eta natura descivisse sua? Quis autem in Ecclesia, aut a Christianis unquam audivit Dominum fictione non natura gestasse corpus? Aut quis eo processit impietatis, ut diceret sentiretque, ipsam deitatem Patri consubstantialem, circumcisam, et imperfectam ex perfecta factam fuisse : et quod cruci affixum erat, non fuisse corpus, sed ipsam Sapientiæ substantiam rerum opificem? Quis hæc audiens, Non ex Maria, sed ex sua ipsius substantia Verbum sibi passibile corpus efformavit, hæc loquentem Christianum dixerit? Quis nefariam illam commentus est impietatem, aut cui hoc in mentem venerit dixeritque : Qui ait ex Maria esse Dominicum corpus, is non amplius Trinitatem, sed quaternitatem in deitate sentit? Quasi vero qui ita censent dicant, carnem quam ex Maria Salvator induit, ex substantia esse Trinitatis. Jam vero undenam æqualem supra dictis impietatem nonnulli evomuere, non minoris, sientes, ætatis esse corpus, quam Verbi divinitas, sed omnino coæternum illi fuisse, quia ex sapientiæ substantia constat? Quo pacto viri qui dicuntur Christiani vel ambigere ausi sunt, sitne Dominus qui ex Maria natus est, substantia et natura sua Filius Dei ; secundum carnem vero ex semine David et ex carne sanctæ Mariæ ortus? Quinam vero ea temeritate fuerunt, ut dicerent, Christum qui carne passus et crucifixus est, non esse Dominum et Salvatorem, ac Deum Filiumque Patris? Aut quomodo Christiani volunt nuncupari, qui dicunt in sanctum hominem, perinde atque in unum ex prophetis, venisse Verbum, nec ipsum hominem factum fuisse, ex Maria corpus assumendo, sed alium esse Christum, et alium Dei Verbum quod ante Mariam et ante sæcula Filius erat Patris? Aut qua, quæso, ratione Christiani fuerint, qui dicunt alium esse Filium et alium Dei Verbum ?

3. Hæc in Commentariis erant, diversis quidem verbis, sed quibus una eademque sententia visque impietatem spectans inerat. Propter illa mutuo disceptabant concertabantque, qui de confessione Patrum Nicæna gloriantur. Ego vero tuam miratus sum pietatem, quæ res ferat ejusmodi, et quod non illis quidem talia dictitantibus silentium indixerit, nec piam fidem illis proposuerit, ut vel

post, ἐν Ἐκκλησίᾳ deest in Epiph. Ibid. Theod., παρὰ Χριστιανοῖς. Gobler et Felck. 1, ἢ παρὰ Χριστιανῶν. Ibid. Gobler. et Felckm. 1, ὁ Θεὸς Λόγος. Epiph., ὁ Υἱός.

(2) Hæc apud Theod. dial. 3, p. 159. Mox, θεότης αὐτή. Epiphan., αὐτοῦ. In editis et in quibusdam mss., περιετμήθη τραπεῖσα καὶ ἀτελής. Sed vocem τραπεῖσα, Epiph. Theod. et Seguer. secuti, expunximus. Infra Theod. Gobl. et Felck. 1, καθηλωμένον.

(3) Epiphanius solus, δημιονργὸς οὐσία τῆς φύσεως. Quæ sequuntur autem, Τίς δὲ ἀκούων, a Theodoreto citantur dialog. ibid.

(4) Theod. et Seguer., εἰπόντα ἢ λέγοντα.

(5) Locus frequentissime citatus, nempe in synodo Ephesina, act. 1, et alibi. Item apud Cyrillum defens. anathem. 2, synod. Chalcedon. act. 1, Leonis papæ epistola ad Leonem imperatorem, item

apud Mercatorem erud. Baluzii p. 177 et 226, et apud Gelasium. Ibidem, λεγόμενοι in editis deerat, in omnibus pene manuscriptis legitur. Ibidem Anglicanus, ὅτι, εἰ ὁ ἐκ Μαρίας. Mox Seguer. solus, Θεὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει Υἱὸς τοῦ Θεοῦ. Alii et editi, Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ. Ubi Epiphanius, καὶ τῇ φύσει τοῦ Θεοῦ.

(6) Ἄνθρωπον, in editis deerat ; ex prædictis autoribus et ex Seguer. restituimus

(7) Mss. alii Λόγον, alii Υἱόν habent. Mox πρὸ αἰώνων. Sic mss. fere omnes, in editis, ἀπὸ αἰώνων.

(8) Υἱὸν restituimus ex mss. Seguer. Gobler. et Felck. 1, et ex prædictis auctoribus, uno excepto Epiph· qui habet Θεόν. Editi, Χριστόν.

(9) Sic Seguer. Felck. 1, et Epiph. ; sed δύναμιν deest in quibusdam. Editi, ῥέπουσαν δύναμιν.

obtemperantes acquiescerent ; vel si repugnarent, pro hæreticis haberentur. Etenim quæ jam memorata sunt, neque dictu neque auditu sunt Christianis tolerabilia, sed ab apostolica doctrina penitus abhorrent. Quocirca eorum dicta, ut jam memorata sunt, ipsis verbis in epistola conscribenda curavi ; ut quisquis audierit, eorum turpitudinem et impietatem animadvertat. Et tametsi oportebat illorum qui hæc commenti sunt stultitiam pluribus arguere et confutare ; attamen satius fuisset epistolam huc desinere, et nihil ultra scribere : quæ enim ita manifeste prava commonstrantur, exagitare et curiosius indagare non expedit, ne a contentiosis 722 hominibus ambigua existimentur : sed sufficit his duntaxat verbis ad illa respondere : Hæc catholicæ Ecclesiæ non sunt, neque ea est Patrum sententia. Cæterum ne ex perpetuo silentio impudentiæ occasionem malarum illi rerum artifices arripiant, e re fuerit ex divinis Scripturis pauca memorare ; fortasse vel hoc modo pudore affecti, turpissimas opiniones excogitandi finem facient.

4. Heus vos, qui eo animum appulistis ut corpus diceretis esse Verbi divinitati consubstantiale (hinc enim ordiri operæ pretium fuerit, ut cum ejus sententiæ fœditas palam fuerit, neque cætera majoris esse pretii conspicuum sit) ? In divinis certe Scripturis nihil comparet hujusmodi, nam ipsæ Deum in humano fuisse corpore affirmant : sed etiam Patres qui Nicææ convenerunt, non corpus, sed ipsum Filium dixerunt esse Patri consubstantialem, et hunc quidem ex substantia Patris, corpus vero ex Maria esse ex Scripturis item declararunt. Quamobrem aut Nicænam repudiate synodum, et utpote hæretici, hæc aliena inducite ; aut si vultis Patrum illorum filii esse, ne diversam ab eorum scriptis sententiam consectemini. Hac quoque ratione illud quantæ sit absurditatis advertite : si Verbum corpori, quod ex terra naturam tenet suam, est consubstantiale, et aliunde Verbum itidem, juxta Patrum confessionem, est Patri consubstantiale ; ipse Pater corpori ex terra facto consubstantialis erit. Ecquid ultra Arianos insectemini, quod dicant Filium esse creaturam, cum ipsi Patrem rebus creatis esse consubstantialem affirmetis, et in aliam impietatem transeuntes dicatis, in carnem, ossa, capillos, nervos et in totum corpus conversum esse Verbum, et a propria muta-

A ἵνα ἢ ἀκούσαντες ἠρεμήσωσιν, ἢ ἀντ
αἱρετικοὶ νομισθῶσι. Τὰ γὰρ εἰρημέ
λεκτὰ οὔτε ἀκουστὰ παρὰ Χριστιανοῖς
τρια κατὰ πάντα τρόπον τῆς ἀποστολ
λίας. Διὰ τοῦτο γοῦν κἀγὼ τὰ παρ
προείρηται (11), ἐγγραφῆναι γυμνῶς
ἐπιστολῇ, ἵνα καὶ μόνον ὁ ἀκούων θεω
τοῖς αἰσχύνην καὶ ἀσέβειαν. Καὶ εἰ
πλειόνων κατηγορεῖν καὶ διελέγχειν (1
σύνην τῶν τὰ τοιαῦτα νοησάντων · ἀλ
τούτων εἶναι τὴν ἐπιστολήν, καὶ μηδὲ
φειν · τὰ γὰρ οὕτω φανερῶς δεικνύμε
μνάζειν ἐπὶ πλεῖον καὶ περιεργάζεσθα
μὴ τοῖς φιλονεικοῦσιν ὡς ἀμφίβολα νομ
μόνον ἀποκρίνασθαι πρὸς τὰ τοιαῦτα,
B Ἀρκεῖ, ὅτι οὐκ ἔστι ταῦτα τῆς Καθο
σίας, οὐδὲ ταῦτα οἱ Πατέρες ἐφρόνησα
ἐκ τῆς τέλεον σιωπῆς πρόφασιν ἀναι
ἑαυτοῖς οἱ τῶν κακῶν ἐφευρεταὶ πορί
ἐκ τῶν θείων Γραφῶν ὀλίγα μνημονεῦσ
οὕτως αἰδεσθέντες παύσωνται ἀπὸ τῶν
των ἐπινοιῶν.

4. Πόθεν ὑμῖν ἐπῆλθεν εἰπεῖν (1
ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ Λ
(ἀπὸ γὰρ τούτου καλόν ἐστιν ἄρξασθαι
δεικνυμένου σαθροῦ, καὶ πάντα τὰ ἄλλ
χθῇ) ; Ἀπὸ μὲν οὖν τῶν θείων Γρ
εὑρεῖν, θεὸν γὰρ ἐν ἀνθρωπίνῳ σώμ
γονέναι. Ἀλλὰ γὰρ (15) καὶ οἱ Πατέ
C συνελθόντες οὐ τὸ σῶμα, ἀλλ' αὐτὸν
σιον εἰρήκασι τοῦ Πατρὸς, καὶ τοῦτο
οὐσίας τοῦ Πατρὸς, τὸ δὲ σῶμα ἐκ Μα
σαν εἶναι πάλιν κατὰ τὰς Γραφάς (16
ἀρνήσασθε τὴν ἐν Νικαίᾳ σύνοδον, καὶ
παρεισφέρετε ταῦτα · ἢ, εἰ βούλεσθε τ
τέρων εἶναι, μὴ φρονεῖτε παρ' ἐκεῖνα,
αὐτοί (17). Καὶ γὰρ καὶ ἐκ τούτου τὸ ἄ
ὑμᾶς ἔξεστιν · εἰ ἀμοούσιος ὁ Λόγος τῷ
ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ
Πατρὶ κατὰ τὴν τῶν Πατέρων ὁμολογ
σιος ἔσται καὶ αὐτὸς ὁ Πατὴρ τῷ σώμ
γενομένῳ. Καὶ τί ἔτι μέμφεσθε τοῖς Ἀ
γουσι τὸν Υἱὸν κτίσμα, λέγοντες αὐτοὶ
Πατέρα ὁμοούσιον τοῖς κτίσμασι ; κα
D ἀσέβειαν μετερχόμενοι, φάσκοντες εἰς
ἀστέα, καὶ τρίχας, καὶ νεῦρα, καὶ ὅλον τὸ
βεβλῆσθαι τὸν Λόγον, καὶ ἠλλάχθαι τ
σεως. Ὥρα γὰρ ὑμᾶς φανερῶς εἰπεῖν

(10) Seguer. et Epiph., ὀνομασθῶσι. Τὰ γὰρ προειρημένα.

(11) Sic Seguer. Gobler. et Felckm. 1. In editis, εἴρηται.

(12) Quidam mss., κατηγορῆσαι καὶ ἐλέγχειν Mox, τῶν ταῦτα διανοηθέντων. Gobler. Felck. 1, Seguer et Epiph., τὴν τῶν ταῦτα διανοηθέντων αἰσχύνην. Mox Epiph. Seguer. Basil. Gobler. et Felc. 1, πλέον. Editi et alii, πλεῖον. Infra Seguer. solus, ἀποκρίνεσθαι.

(13) Seguer. solus ἀναισχυντίας. Alii, ἀναίσχυντον.

(14) Seguerian., Πόθεν ὑμῖν, ὦ οὗτ
eodem infra post καλόν, non legitur, ἐσ

(15) Γὰρ deest in editis. Ex mss. Se
et Anglic. restituimus.

(16) Θείας Γραφάς, in Seguer. Basil
Felckm. 1.

(17) bocus citatus in dial. Theoriani
nos, tom. I *Bibl, Græc. PP.* p. 447, Ep
ἐκ τούτου.

(18) Gobler. Felckm. 1, εἰ ὁμοούσιον
σῶμα.

(19) Καὶ deest in Basil.

γεγενῆσθαι· ἐκ γῆς γὰρ (20) τῶν ὀστέων καὶ ὅλου τοῦ σώματος φύσις. Τίς οὖν ἡ τοσαύτη παραφροσύνη, ἵνα καὶ πρὸς ἑαυτοὺς διαμάχησθε; ὁμοούσιν μὲν γὰρ λέγοντες τὸν Λόγον τῷ σώματι, ἕτερον πρὸς ἕτερον σημαίνετε (21)· τὸ δὲ εἰς σάρκα μεταβεβλῆσθαι αὐτοῦ τοῦ Λόγου τροπὴν φαντάζεσθε. Καὶ τίς ἔτι λοιπὸν ὑμῶν ἀνέξεται ταῦτα καὶ μόνον φθεγγομένων; Πάσης γὰρ αἱρέσεως πλέον εἰς ἀσέβειαν ἐξεκλίνατε. Εἰ γὰρ ὁμοούσιος ὁ Λόγος τῷ σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη καὶ ἡ (22) χρεία, δυναμένου τοῦ σώματος εἶναι καὶ πρὸ Μαρίας ἀΐδιος, ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ Λόγος· εἴ γε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῷ σώματι. Τίς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ Λόγου, ἵνα ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται, ἢ θαπεὶς ἀπὸ (23) τῆς ἰδίας φύσεως, σῶμα γένηται; Οὐ γὰρ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον ἑαυτῆς ἐνδύσηται. Ἀλλ' οὐδὲ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος Λόγος, ἵνα, τραπεὶς εἰς σῶμα (24), ἑαυτὸν ὑπὲρ ἑαυτοῦ εἰς θυσίαν προσενέγκῃ, καὶ ἑαυτὸν λυτρώσηται.

tum esse natura? Restat enim ut aperte dicatis ipsum ex terra factum fuisse : ex terra enim ossium totiusque corporis natura originem ducit. Quænam igitur hæc tanta dementia ut vobiscum ipsi pugnetis? dum enim dicitis Verbum corpori esse consubstantiale, alterum cum altero conferri significatis : cum vero in carnem mutatum esse affirmatis, ipsi Verbo mutationem affingitis. Ecquis vos ultra ferat hæc vel proferre ausos? Hæresim quippe omnem impietate superastis. Si enim Verbum est corpori consubstantiale, superflua fuerit Mariæ mentio et ministerium, cum corpus ante Mariam ab æterno esse possit, ut est ipsum Verbum ; si tamen, ut vos dicitis, consubstantiale est corpori. Quænam item necessitas Verbi adventus, ut vel illud quod sibi consubstantiale erat, indueret, vel mutatum a propria natura, corpus efficeretur? Non enim seipsam deitas assumit, ut quod sibi consubstantiale est induat. Sed neque peccavit Verbum quod aliorum peccata redemit, ut mutatum in corpus seipsum pro seipso in sacrificium offerret, ac seipsum redimeret.

5. Ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο! Σπέρματος γὰρ Ἀβραὰμ ἐπιλαμβάνεται, ὡς εἶπεν ὁ Ἀπόστολος· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, καὶ λαβεῖν ὅμοιον ἡμῖν σῶμα. Διὰ τοῦτο γοῦν καὶ ὑπόκειται ἀληθῶς ἡ Μαρία, ἵν' ἐξ αὐτῆς τοῦτο λάβῃ, καὶ ὡς ἴδιον ὑπὲρ ἡμῶν αὐτὸ προσενέγκῃ. Καὶ ταύτην ὁ μὲν Ἡσαΐας προφητεύων, ἐδείκνυε λέγων. Ἰδοὺ ἡ Παρθένος· ὁ δὲ Γαβριὴλ ἀποστέλλεται πρὸς αὐτὴν οὐχ ἁπλῶς πρὸς (25) παρθένον, Ἀλλὰ πρὸς παρθένον μεμνηστευμένην ἀνδρί· ἵν' ἐκ τοῦ μνηστῆρος (26) δείξῃ τὴν Μαριαν ἀληθῶς ἄνθρωπον οὖσαν. Διὸ καὶ τοῦ τίκτειν μνημονεύει ἡ Γραφὴ, καὶ φησιν· Ἐσπαργάνωσε· καὶ ἐμακαρίζοντο μαστοὶ, οὓς ἐθήλασε, καὶ προσενέχθη θυσία, ὡς διανοίξαντος τοῦ τεχθέντος τὴν μήτραν· ταῦτα δὲ πάντα, τικτούσης ἦν Παρθένου γνωρίσματα. Καὶ ὁ Γαβριὴλ δὲ ἀσφαλῶς εὐηγγελίζετο αὐτῇ, λέγων οὐχ ἁπλῶς, τὸ γεννώμενον ἐν σοὶ, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῇ σῶμα νομισθῇ· ἀλλ' ἐκ σοῦ, ἵν' ἐξ αὐτῆς φύσει τὸ γεννώμενον εἶναι πιστευθῇ, φανερως καὶ τοῦτο τῆς φύσεως δεικνυούσης, ὡς ἀδύνατον παρθένον φέρειν γύλα μὴ τεκοῦσαν, καὶ ἀδύνατον γάλακτι τραφῆναι σῶμα καὶ σπαργανωθῆναι, μὴ πρότερον φύσει τεχθέν. Τοῦτό ἐστι τὸ περιτμηθὲν ὀκταήμερον· τοῦτο Συμεὼν εἰς τὰς ἀγκάλας δέξατο· τοῦτο γέγονε παιδίον καὶ ηὔξησε, δωδε-

5. Sed non ita se res habet, absit : nam, *semen Abrahæ apprehendit*, ut ait Apostolus, *unde debuit per omnia fratribus similari* [52a], et corpus assumere nobis simile. Propterea igitur adest vere Maria ut ab ea illud assumat, et tanquam proprium pro nobis illud offerat. Illamque Isaias quidem indicavit dicens [53] : *Ecce virgo*, Gabriel vero ad eam mittitur, nec simpliciter ad virginem, sed *ad virginem desponsatam viro* [54]. Ut ex sponsi mentione indicaret Mariam vere hominem esse. Partumque memorat Scriptura, et ait : *Pannis eum involvit* [55] : ac beata prædicabantur ubera quibus ipse lactatus est [56], et quasi partu vulvam adaperiente oblatum est sacrificium [57] : hæc autem omnia parientis Virginis erant indicia. Et Gabriel quidem caute ac prudenter annuntiabat illi dicendo, non simpliciter, quod *in te* nascetur, ne extrinsecus corpus ipsi inductum putaretur, sed, *ex te* [58], ut quod gignebatur ortum ex illa duxisse crederetur, liquido hoc ipsum natura demonstrante, nempe, impossibile esse Virginem citra partum lac habere : impossibile item esse lacte nutriri et pannis involvi corpus, quod nondum naturali partu sit editum. Illud ipsum corpus octavo die circumcisum est, idem a Simeone in ulnas susceptum, idipsum puer evasit, crevit, duodecimque annorum factum est [59], et ad

[52a] Hebr. II, 16, 17. [53] Isa. VII, 14. [54] Luc. I, 27. [55] Luc. II, 7. [56] Luc. XI, 27. [57] Luc. II, 23 [58] Luc. I, 39. [59] Luc. II, 21-42.

(20) Ἐκ γῆς γάρ, Gobler. Felckm. 1, Seguer. et Epiph. Editi, Ἐκ τῆς γὰρ γῆς πρὸς αὐτοὺς διαμάχησθε, ὁμοούσιον γάρ. Ibidem γάρ deest in Epiph.

(21) Sic Anglic. Basil. Seguer. et Epiph. in editis: σώματι ἕτερον σημαι-. Quæ sequuntur autem, ὁ δὲ εἰς σάρκα, a Gelasio citantur in lib. *De duabus naturis*, sed paulo diverse.

(22) Sic Seguerianus et Epiphan., atque ita legit Nannius. Alii et editi, καὶ τίς ἡ.

(23) Ita Seguer. Anglic. Gobler. Felck. 1, et Epiph. Editi, male τραπεῖσα πρό.

(24) Sic Seguerian. Epiph., et ita legit Nannius. Editi εἰς σάρκα. Mox Seguer., εἰς θυσίαν. In aliis, εἰς deest. Infra, κατὰ πάντα, deest in Seguer.

(25) Epiph. et Seguer.. πρός, sed deest in editis.

(26) Gobler. Felck. 1, Seguer., μνήστορος. Editi et alii, μνηστῆρος· Mox editi, Διὸ καὶ τοῦ τίκτειν in Epiph. et in Seguer., διό deest. Paulo post Gobler. et Felck. 1, οἱ μαστοί.

que multæ sunt: *Et egressa est omnis virtus Domini de terra Ægypti.* Eruca vero et locusta dicuntur virtutes magnæ [34]. Et, *Dominus virtutum nobiscum susceptor noster Deus Jacob* [35]. Imo vero quod Deo simus proprii accepimus, haud levi modo, sed quia fratres nos vocavit. Quod si Filium etiam verum Deum vocant, neque illud ægre ferimus: cum enim factus fuerit, verus exsistit.

6. Hæc corrupta mens Arianorum fuit. Verum episcopi, tum quoque intellecta eorum fraude, ex Scripturis has collegere voces, splendorem, fontem, fluvium et figuram substantiæ: illud item, *In lumine tuo videbimus lumen* [36]: et illud, *Ego et Pater unum sumus* [37]. Demum lucidius et compendiose scripserunt, consubstantialem esse Patri Filium: nam supra dicta omnia hanc habent significationem. Porro quod effutiunt illi, eas voces in Scriptura non esse, vanum ab ipsis commonstratur: cum ex non scriptis impietatem proferant: nusquam enim hæc scripta sunt: ex non exsistentibus, et illud: aliquando non erat: sese tamen, ex non scriptis licet pie excogitatis verbis, damnatos queruntur. Sed illi, utpote ex sterquilinio orti, vere de terra loquuntur; episcopi vero nequaquam voces illas excogitarunt, sed Patrum testimonio freti, ita scripserunt. Siquidem prisci episcopi ante annos prope centum triginta, cum magnæ 716 Romæ (55), tum etiam nostræ urbis, scriptis suis eos culpaverunt qui Filium rem factam et Patri non consubstantialem dicerent. Cujus rei non ignarus Eusebius, Cæsareæ olim episcopus, qui cum prius Arianæ hæresi suffragaretur, postea Nicænæ synodo subscripsit; in litteris ad suos missis hæc affirmavit (56): « Ex antiquis quosdam eruditos clarosque episcopos, atque scriptores, scimus circa Patris et Filii divinitatem, consubstantialis nomine usos. »

7. Quid igitur adhuc Ariminensem memorant, in qua depositi sunt? Quid Nicænam synodum recusant, cui etiam Patres sui subscripserunt, et confessi sunt, ex substantia, et consubstantialem esse Patri Filium? quid circumcursant? non enim cum Nicænis tantum episcopis, sed et cum aliis inter suos clarissimis et cum propriis tandem dimicant. Quorumnam igitur hæredes et successores sunt? qui possunt eos vocare Patres, quorum confessionem

A Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες. Καὶ δυνάμεις πολλαί εἰσι· Καὶ ἐξῆλθε μὲν (57) πᾶσα ἡ δύναμις Κυρίου ἐκ γῆς Αἰγύπτου. Ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς λέγεται δύναμις μεγάλη. Καὶ, Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Ἀλλὰ γὰρ τὸ (58) ἰδίους ἡμᾶς εἶναι τοῦ Θεοῦ ἔχομεν, οὐχ ἁπλῶς, ἀλλ' ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσεν. Εἰ δὲ καὶ Θεὸν ἀληθινὸν λέγουσι τὸν Υἱόν, οὐ λυπεῖ ἡμᾶς· γενόμενος γὰρ, ἀληθινός ἐστιν.

(54) Regius, εκατελίφθησαν. Mox Theodoretus et Regius secunda manu, ἀλλήλοις. Editi et Regius prima manu, ἀλλήλους. Infra, εἰκών deest in editis: sed legitur in omnibus mss. et in Theodor.

que multæ sunt: *Et egressa est omnis virtus Domini de terra Ægypti.* Eruca vero et locusta dicuntur virtutes magnæ [34]. Et, *Dominus virtutum nobiscum susceptor noster Deus Jacob* [35]. Imo vero quod Deo simus proprii accepimus, haud levi modo, sed quia fratres nos vocavit. Quod si Filium etiam verum Deum vocant, neque illud ægre ferimus: cum enim factus fuerit, verus exsistit.

A Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες. Καὶ δυνάμεις πολλ
Καὶ ἐξῆλθε μὲν (57) πᾶσα ἡ δύναμις Κ
γῆς Αἰγύπτου. Ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς λέγ
ναμις μεγάλη. Καὶ, Κύριος τῶν δυνάμε
ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ
γὰρ τὸ (58) ἰδίους ἡμᾶς εἶναι τοῦ Θεοῦ ἔχ
ἁπλῶς, ἀλλ' ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσ
καὶ Θεὸν ἀληθινὸν λέγουσι τὸν Υἱόν, οὐ λυπ
γενόμενος γὰρ, ἀληθινός ἐστιν.

6. Hæc corrupta mens Arianorum fuit. Verum episcopi, tum quoque intellecta eorum fraude, ex Scripturis has collegere voces, splendorem, fontem, fluvium et figuram substantiæ: illud item, *In lumine tuo videbimus lumen* [36]: et illud, *Ego et Pater unum sumus* [37]. Demum lucidius et compendiose scripserunt, consubstantialem esse Patri Filium: nam supra dicta omnia hanc habent significationem. Porro quod effutiunt illi, eas voces in Scriptura non esse, vanum ab ipsis commonstratur: cum ex non scriptis impietatem proferant: nusquam enim hæc scripta sunt: ex non exsistentibus, et illud: aliquando non erat: sese tamen, ex non scriptis licet pie excogitatis verbis, damnatos queruntur. Sed illi, utpote ex sterquilinio orti, vere de terra loquuntur; episcopi vero nequaquam voces illas excogitarunt, sed Patrum testimonio freti, ita scripserunt. Siquidem prisci episcopi ante annos prope centum triginta, cum magnæ **716** Romæ (55), tum etiam nostræ urbis, scriptis suis eos culpaverunt qui Filium rem factam et Patri non consubstantialem dicerent. Cujus rei non ignarus Eusebius, Cæsareæ olim episcopus, qui cum prius Arianæ C hæresi suffragaretur, postea Nicænæ synodo subscripsit; in litteris ad suos missis hæc affirmavit (56): « Ex antiquis quosdam eruditos clarosque episcopos, atque scriptores, scimus circa Patris et Filii divinitatem, consubstantialis nomine usos. »

Αὕτη τῶν Ἀρειανῶν ἡ ἐφθαρμένη
Ἀλλὰ καὶ (59) ἐνταῦθα οἱ ἐπίσκοποι, θεω
ἐκείνων τὸ δόλιον, συνάγαγον ἐκ τῶν Γ
ἀπαύγασμα, τήν τε πηγὴν καὶ τὸν ποταμὸν
χαρακτῆρα πρὸς τὴν ὑπόστασιν, καὶ τὸ, Ἐν
σου ὀψόμεθα (60) φῶς· καὶ τὸ, Ἐγὼ καὶ
B ἓν ἐσμεν. Καὶ λευκότερον λοιπὸν καὶ συντόμ
ψαν ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱόν· τὰ
εἰρημένα πάντα ταύτην ἔχει τὴν σημασία
γογγυσμὸς αὐτῶν, ὅτι ἄγραφοί εἰσιν αἱ λέξ
χεται παρ' αὐτῶν μάταιος, ἐξ ἀγράφων (61
σαντες· ἄγραφα δὲ τὸ, Ἐξ οὐκ ὄντων, καὶ
ποτε, ὅτε οὐκ ἦν· αἰτιῶνται, ὅτι ἐξ ἀγρά
εὐσεβείας νοουμένων λέξεων κατεκρίθησαν. Α
ὡς ἐκ κοπρίας ὄντες, ἐλάλησαν ἀληθῶς ἀπ
δὲ ἐπίσκοποι, οὐχ ἑαυτοῖς (62) εὑρόντες τὰ
ἀλλ' ἐκ Πατέρων ἔχοντες τὴν μαρτυρίαν, οὕτ
ψαν. Ἐπίσκοποι γὰρ ἀρχαῖοι πρὸ ἐτῶν ἐν
ἑκατὸν τριάκοντα τῆς μεγάλης Ῥώμης καὶ τ
τέρας πόλεως γράφοντες ἠτιάσαντο (63) τοὺς
λέγοντας τὸν Υἱὸν καὶ μὴ ὁμοούσιον τῷ Πα
τοῦτο ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος ἐπίσκοπ
C Καισαρείας, πρότερον μὲν συντρέχων τῇ Ἀ
αἱρέσει, ὕστερον δὲ ὑπογράψας ἐν αὐτῇ τῇ ἐν Ν
συνόδῳ, ἔγραψε τοῖς ἰδίοις διαβεβαιούμενος, ὅ
τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπίσ
καὶ συγγραφέας, ἔγνωμεν ἐπὶ τῆς τοῦ (64)
καὶ Υἱοῦ θεότητος τῷ τοῦ ὁμοουσίου χρῆσ
ὀνόματι.

7. Quid igitur adhuc Ariminensem memorant, in qua depositi sunt? Quid Nicænam synodum recusant, cui etiam Patres sui subscripserunt, et confessi sunt, ex substantia, et consubstantialem esse Patri Filium? quid circumcursant? non enim cum Nicænis tantum episcopis, sed et cum aliis inter suos clarissimis et cum propriis tandem dimicant. Quorum nam igitur hæredes et successores sunt? qui possunt eos vocare Patres, quorum confessionem D

7. Τί οὖν ἔτι τὴν Ἀρίμηνον (65) ὀνομάζο
ἣ καθηρέθησαν; Τί παραιτοῦνται τὴν ἐν Νικ
οδον, ἐν ᾗ καὶ οἱ Πατέρες αὐτῶν ὑπέγραψ
ὡμολόγησαν ἐκ τῆς οὐσίας καὶ ὁμοούσιον
Υἱὸν τῷ Πατρί; τί περιτρέχουσιν; οὐ γὰρ
νους τοὺς ἐν Νικαίᾳ ἐπισκόπους (66) συνε
ἀλλὰ γὰρ καὶ πρὸς τοὺς ἑαυτῶν μεγάλους ἐπι
καὶ πρὸς τοὺς ἰδίους λοιπὸν μάχονται. Τίνων
κληρονόμοι καὶ διάδοχοι; πῶς δύνανται λέγ

[34] Joel II, 25. [35] Psal. XLV, 8. [36] Psal. XXXV, 10. [37] Joan. X, 30.

(55) Cum Dionysius Rom., anno 261 pontificatum inierit, haud multo plures 100 annis erant cum hæc Athanasius scriberet, a datis utriusque Dionysii litteris. Nam de Dionysiis hic loquitur. Vide supra p. 605.

(56) Hæc Eusebii verba vide supra p. 189.

(57) Μέν deest in Theodor. Mox idem, δύναμις τοῦ Θεοῦ.

(58) Anglicanus, Ἀλλὰ γὰρ καὶ τό. Theodor., Ἀλλὰ καὶ τό.

(59) In Anglic. καί deest.

(60) Sic pene omnes manuscripti. Editi vero, ὄψομαι. Paulo post Anglic, λοιπὸν ἐκεῖ ἐν

(61) Theodoret., ἐξ ἀγράφων γάρ. Infra διότι ἐξ ἀγράφων.

(62) Regius, ἑαυτούς male. Infra Theod Ἐπίσκοποι γὰρ ἦσαν ἀρχαῖοι male. Paulo post τῆς τε μεγάλης.

(63) Theodoretus, οἳ ἠτιάσαντο, omisso τες, ut et Anglican.

(64) Theodor., εὕρομεν ἐπὶ τῆς τοῦ.

(65) Anglicanus, Ἀριμηνῶν hic et inferi more. Infra Regius. ἐν ᾗ καὶ ὁ πρες, sic.

(66) Ἐπισκόπους deest in Anglicano.

τέρας τούτους, ὧν οὐκ ἀποδέχονται τὴν ὁμολογίαν τὴν καλῶς καὶ ἀποστολικῶς γραφεῖναν ; Ἐπεὶ, εἰ νομίζουσιν ἀντιλέγειν δύνασθαι, εἰπάτωσαν, μᾶλλον δὲ ἀποκρινάσθωσαν, ἵνα καὶ ἑαυτοῖς περιπίπτοντες ἐλεγχθῶσιν, εἰ πιστεύουσι λέγοντι τῷ Υἱῷ· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα ; Ναὶ, εἴποιεν ἄν, ἐπειδὴ γέγραπται, πιστεύομεν, Ἀλλὰ καὶ Πῶς ἓν εἰσι, καὶ πῶς ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε καὶ (67) τὸν Πατέρα, ἐὰν ἐρωτηθῶσιν εἰπεῖν, πάντως που φήσουσι, Δι' ὁμοιότητα· εἰ μὴ τέλεον συμπεπτώκασι τοῖς ἀδελφὰ φρονοῦσιν αὐτοῖς, καὶ λεγομένοις Ἀνομοίοις. Ἀλλ' ἐὰν πάλιν ἐρωτηθῶσι, Πῶς ὅμοιος ; ἀποθρασυνόμενοι φήσουσιν· Ἀρετῇ τελείᾳ καὶ συμφωνίᾳ τὸ αὐτὸ θέλειν τῷ Πατρὶ, καὶ μὴ θέλειν ὅπερ ὁ Πατὴρ οὐ θέλει. Ἀλλὰ μαθέτωσαν· ὅτι ἐξ ἀρετῆς καὶ τοῦ θέλειν ὁμοιούμενος τῷ Θεῷ, ἔχει μὲν καὶ τοῦ τρέπεσθαι (68) τὴν προαίρεσιν· οὐκ ἔστι δὲ οὕτως ὁ Λόγος, εἰ μὴ ἄρα ἐκ μέρους καὶ καθ' ἡμᾶς ὅμοιος, ὅτι μὴ καὶ κατ' οὐσίαν ὅμοιός ἐστι. Ταῦτα δὲ ἴδια ἡμῶν τῶν γενητῶν καὶ κτιστὴν ἐχόντων τὴν φύσιν. Καὶ γὰρ καὶ ἡμεῖς, καίτοι μὴ δυνάμενοι ὅμοιοι κατ' οὐσίαν τον Θεοῦ γενέσθαί, ὅμως, ἐξ ἀρετῆς βελτιούμενοι, μιμούμεθα τὸν Θεὸν (69), χαρισαμένου καὶ τοῦτο τοῦ Κυρίου, καὶ λέγοντος· Γίνεσθε οἰκτίρμονες, ὡς ὅ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Γίνεσθε τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. Τρεπτὰ δὲ τὰ γενητὰ. οὐκ ἄν τις ἀρνήσαιτο, ἀγγέλων μὲν παραβάντων, τοῦ δὲ Ἀδὰμ παρακούσαντος, καὶ πάντων δεομένων τῆς τοῦ Λόγου χάριτος. Τρεπτὸν δὲ ἀτρέπτου ὄντος τοῦ Θεοῦ οὐκ ἄν εἴη ὅμοιον· ὥσπερ οὐδὲ τὸ κτισθὲν τοῦ κτίσαντος. Διὰ τοῦτο περὶ μὲν ἡμῶν σκοπῶν ὁ ἅγιος ἔλεγεν· Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι ; καὶ, Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε ; θεοὺς λέγων, τοὺς κτισθέντας μὲν, μετόχους δὲ γενομένους τοῦ Λόγου, ὡς αὐτὸς εἶπεν· Εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο. Τὰ δὲ μετέχοντα οὐκ ἂν εἴη τὰ (70) αὐτὰ οὐδὲ ὅμοια τοῦ μετεχομένου. Περὶ ἑαυτοῦ γοῦν ἔλεγεν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ὡς τῶν γενητῶν μὴ ὄντων οὕτως· Ἐπεὶ ἀποκρίνάσθωσαν δὶ τὴν Ἀρίμηνον προτείνοντες, εἰ κτιστὴ (71) οὐσία δύναται εἰπεῖν· Ἃ βλέπω τὸν Πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ. Ποιούμενα γὰρ ἐστι τὰ γενητὰ, καὶ οὐ ποιοῦντα· εἰ (72) δὲ μή γε, καὶ ἑαυτὰ ἐποίησαν. Ἀμέλει εἴ, ὡς λέγουσι, κτίσμα ἐστὶν ὁ Υἱὸς, καὶ ποιεῖ αὐτὸν ὁ Πατὴρ, πάντως ἂν ἐποίησε καὶ ἑαυτὸν ὁ Υἱὸς, δυνάμενος ποιεῖν ἃ ποιεῖ ὁ Πατὴρ, ὡς εἶπεν αὐτός· ἀλλ' ἄτοπον καὶ λίαν ἀσύστατόν ἐστι τὸ τοιοῦτον· ποιεῖν γὰρ ἑαυτὸν οὐδεὶς δύναται.

8. Πάλιν δὲ εἰπάτωσαν, εἰ δύναται τὰ γενητὰ εἰπεῖν· Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν ;

recte et apostolice scriptam non recipiunt? Quod si sese repugnare posse arbitrantur, dicant, aut potius respondeant, ut in sese impingentes coarguantur; num credant Filio dicenti : *Ego et Pater unum sumus ;* et : *qui vidit me, vidit et Patrem* [38]. Imo, dicent, hoc quia scriptum est, credimus. Sed quomodonam unum sunt, et quomodo, qui vidit Filium vidit et Patrem ; si sic interrogentur, respondebunt sane, Ob similitudinem : nisi cum iis collapsi sint qui affinem suæ sententiam tuentur, et vocantur Anomœi. Sed si rursum sciscitere, qua ratione similis ? audacius dicent : Virtute perfecta et consensu, quod idipsum velit quod Pater, et quod nihil velit, nisi quod Pater. Sed discant eum qui ex virtute et voluntate Deo similis sit, mutandi sui arbitrium habere : atqui Verbum nequaquam est tale, nisi forte ex aliqua parte et nostro more, nedum secundum substantiam simile sit. Id enim proprium nobis est qui facti, et natura creata præditi sumus. Etenim nos, licet secundum substantiam Deo similes esse nequeamus, tamen in virtute proficientes, Deum imitamur, hoc donante Domino, qui ait : *Estote misericordes, sicut Pater vester misericors est* [39]. *Estote perfecti, sicut Pater vester cœlestis perfectus est* [40]. Opificia autem mutabilia esse, nemo negarit : cum et angeli prævaricati sint, et Adam non obedierit, et omnes egeant gratia Verbi. Mutabile autem immutabili Deo simile esse nunquam poterit : ut nec creatum creanti. Quapropter in nos respiciens sanctus ille dicebat : *Deus, quis similis erit tibi* [41] ? et : *Quis similis tibi in diis, Domine* [42] ? deos dicens illos qui creati quidem, sed participes Verbi sunt, quemadmodum ipse ait : *Si illos dixit deos, ad quos Verbum Dei factum est* [43]. Res autem quæ alicujus participes sunt, nunquam eædem aut similes ei fuerint cujus sunt participes. De seipso igitur dixit : *Ego et Pater unum sumus*, quod scilicet res factæ nunquam hujusmodi sint. Alioqui respondeant qui Ariminensem obtenduntsynodum, an creata substantia dicere possit : *Quæ video Patrem facientem, hæc et ego facio* [44]. Nam opificia condita sunt, et nihil condunt; sin autem minus, ergo seipsa condiderunt. Certe si, ut dicunt, creatura est Filius, et Pater fecerit eum, plane Filius seipsum condiderit, cum, ut ipse testatur, ea possit facere quæ Pater facit : sed illud absurdum et nunquam constare potest : nemo enim seipsum potest efficere.

717 8. Rursum dicant an possint res factæ dicere : *Omnia quæcunque habet Pater, mea sunt* [45] ?

[38] Joan. XIV, 9 [39] Luc. VI, 36. [40] Matth. V, 48 [41] Psal. LXXXII, 2. [42] Psal. LXXXV, 8. [43] Joan. XI 35. [44] Joan. , 19. [45] Joan. XVI, 15.

(67) Καί deest in Regio et in Anglicano. Infra, καὶ λεγομένοις, ἀνομοίοις, vix augurari possumus uid hic legerit Nannius, qui vertit, *qui, quod ipsis nimis cogitant, verbis promunt.*

(68) Ita Regius. Editi vero, πρέπεσθαι male. In- a in eodem, καί deest ante κατ' οὐσίαν. Paulo post nglicadus, τῶν γενητὴν καί.

(69) Anglicanus, τὸν Θεόν. Mox, καί deest in Regio. Infra Anglicanus. καθὼς καὶ ὁ Πατὴρ.

(70) Anglicanus, οὐκ ἦν ἀεὶ τὰ αὐτά.

(71) Anglicanus, προκρίναντες, κτιστὴ οὐσία.

(72) Εἰ deest in Anglicano. Infra idem, πάντως ἂν ἐποίει.

Habet autem ille, quod sit creator, conditor, æternus, omnipotens, immutabilis. Opificia autem nec creare possunt, creata cum sint; nec æterna esse, intium quippe exsistendi habent: nec omnia posse et immutabilia esse, sub imperio enim sunt, naturæque sunt mutabilis, ut Scripturæ dicunt. Ergo si hæc Filii sunt, non ex virtute, ut diximus, sed ex substantia sua illa habet, ut synodus ait: nec ex alia substantia ipse est, sed ex substantia Patris, cujus hæc sunt propria: quod autem substantiæ Patris proprium est, ejusque proles, quid aliud fuerit, aut quomodo appellandum sit, nisi consubstantiale? Nam quæ quis in Patre videt, eadem in Filio conspicit; in Filio, inquam, non ex participatione, sed secundum substantiam. Et hoc est: *Ego et Pater unum sumus* [46]; et, *Qui vidit me, vidit et Patrem* [47]. Verum hinc quoque e re fuerit eorum amentiam commonstrare: Si ex virtute, quam sequitur velle et non velle, nec non morum profectus, similis est Patri Filius, ut vos dicitis, hæc autem sunt qualitatis propria: ergo Deum dicitis ex qualitate et ex substantia compositum. Ecquis vos ultra ferat talia dicentes? non enim compositus est Deus, qui omnia ut essent composuit: neque talis, qualia sunt quæ ab ipso per Verbum sunt facta, absit. Simplex enim est substantia, in qua nulla qualitas, neque, ut ait Jacobus, *transmutatio aut vicissitudinis obumbratio* [48]. Cum igitur demonstratum sit eum non ex virtute procedere, quippe nec in Deo nec in Filio est qualitas; ergo substantiæ proprius fuerit: hocque sane fateamini necesse est, nisi plane in vobis intelligentia perierit. Jam quod proprium est, et idem ac substantia divina, et ex ipsa naturale germen, quid aliud fuerit, nisi consequenter genitori consubstantiale: illa quippe nota est Filii erga Patrem. Et hoc qui negat, is minime credit Verbum esse natura ac vere Filium.

9. Cum rem ita intelligerent Patres, scripserunt, Filium esse Patri consubstantialem; et anathemate damnaverunt eos qui dicerent, Filium ex alia esse substantia: neque verba ejusmodi commenti sunt, sed ea ipsi a priscis Patribus edidicerant, uti diximus. His igitur ita commonstratis, superflua est quæ ab illis affertur Ariminensis synodus, superflua et alia ab ipsis synodus de fide appellata. Sufficit enim Nicæna quæ cum priscis episcopis consentit, in qua Patres ipsorum subscripsere, quos revereri illos oportuit, ne omnia potius quam Christiani habeantur. Quod si post hæc tanta, post priscorum

Ἔχει δὲ τὸ τὸ κτίζειν, τὸ δημιουργεῖν, τὸ ἀΐδιον, τὸ εἶναι παντοκράτωρ, τὸ ἄτρεπτον. Τὰ δὲ γεννητὰ οὐ δύναται ἔχειν τὸ δημιουργεῖν· κτιστὰ γάρ ἐστιν· οὐδὲ τὸ ἀΐδιον· ἀρχὴν γὰρ ἔχει τοῦ εἶναι· οὐδὲ τὸ παντοκράτωρ καὶ ἄτρεπτον· κρατούμενα γὰρ καὶ τρεπτῆς φύσεώς ἐστιν, ὥσπερ αἱ Γραφαὶ λέγουσιν. Οὐκοῦν εἰ ταῦτα τοῦ Υἱοῦ ἐστιν, οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι (73) δηλονότι, ὡς εἶπεν ἡ σύνοδος· οὐκ ἐξ ἄλλης οὐσίας ἐστὶν, ἀλλὰ τῆς τοῦ Πατρὸς, ἧς ἐστι καὶ ταῦτα ἴδια· τὸ δὲ τῆς τοῦ Πατρὸς οὐσίας ἴδιον, καὶ ἐξ αὐτῆς γέννημα, τί ἂν εἴη, ἢ πῶς ἄν τις ἀνομάσειεν αὐτὸ, ἢ ὁμοούσιον; ἃ γὰρ βλέπει τις ἐν τῷ Πατρὶ, ταῦτα βλέπει καὶ (74) ἐν τῷ Υἱῷ· Υἱῷ δὲ οὐκ ἐκ μετουσίας, ἀλλὰ κατ' οὐσίαν. Καὶ τοῦτό ἐστιν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα. Ἄλλως τε καὶ ἐκ τούτου πάλιν καλὸν δεικύναι τὴν ἀφροσύνην αὐτῶν· εἰ ἐξ ἀρετῆς (75) ἔπεται τὸ θέλειν καὶ τὸ μὴ θέλειν, καὶ τρόπων βελτίωσις, ὅμοιος καθ' ὑμᾶς ὁ Υἱός ἐστι τῷ Πατρί· ταῦτα δὲ ποιότητος ἴδια (76) δηλονότι σύνθετον τὸν Θεὸν ἐκ ποιότητος καὶ οὐσίας λέγετε. Καὶ τὶς ὑμῶν ἀνέξεται ταῦτα λεγόντων· οὐ γὰρ σύνθερος ὁ Θεὸς ὁ τὰ πάντα εἰς τὸ εἶναι συνταθεικὼς, οὐδὲ τοιοῦτος, οἷά ἐστι τὰ παρ' αὐτοῦ διὰ τοῦ (77) Λόγου γενόμενα, μὴ γένοιτο! Ἁπλῆ γάρ ἐστιν οὐσία, ἐν ᾗ οὐκ ἔνι ποιότης, οὐδὲ, ὡς εἶπεν ὁ Ἰάκωβος, Παραλλαγὴ τις ἢ τροπῆς ἀποσκίασμα. Οὐκοῦν εἰ δείκνυται οὐκ ἐξ ἀρετῆς (78)· οὐ γὰρ ποιότης ἐν τῷ Θεῷ, οὔτε ἐν τῷ Υἱῷ· δηλονότι τῆς οὐσίας ἴδιος ἂν εἴη· καὶ τοῦτο πάντως ὁμολογήσετε, εἰ μὴ τέλεον τὸ νοεῖν ἀπώλετο ἐν ὑμῖν (79). Τὸ δὲ ἴδιον καὶ ταὐτὸν τῇ τοῦ Θεοῦ οὐσίᾳ καὶ ἐξ αὐτῆς γέννημα φύσει τυγχάνον τί ἂν εἴη, ἢ πάλιν καὶ κατὰ τοῦτο ὁμοούσιον τῷ γεννήσαντι; τοῦτο γὰρ Υἱοῦ πρὸς Πατέρα γνώρισμα. Καὶ ὁ μὴ **τοῦτο λέγων, οὐ φρονεῖ** φύσει καὶ ἀληθῶς Υἱὸν εἶναι **τὸν Λόγον.**

9. Οὕτω νοήσαντες οἱ **Πατέρες**, ἔγραψαν ὁμοούσιον εἶνα τὸν Υἱὸν τῷ Πατρὶ, καὶ **ἀνεθεμάτισαν** τοὺς λέγοντας ἐξ ἑτέρας ὑποστάσεως εἶναι τὸν Υἱόν· οὐχ ἑαυτοῖς πλασάμενοι λέξεις, **ἀλλὰ καὶ** αὐτοὶ **ἀπὸ** τῶν πρὸ αὐτῶν **Πατέρων** μαθόντες, **καθάπερ** εἴπομεν. Τούτων δὲ οὕτω δεικνυμένων, **περιττὴ** αὐτῶν ἡ Ἀριμηνος, περιττὴ καὶ ἡ (80) ἄλλη παρ' αὐτῶν ὀνομαζομένη περὶ πίστεως σύνοδος. Ἀρκεῖ γὰρ ἡ ἐν Νικαίᾳ τύμφωνος οὖσα καὶ τοῖς ἀρχαίοις ἐπισκόποις, ἐν ᾗ καὶ οἱ Πατέρες αὐτῶν ὑπέγραψαν, οὓς αἰδεῖσθαι πάντους ἔπρεπεν, ἵνα μὴ πάντα μᾶλλον ἢ Χριστιανοὶ νομισθῶσιν. Εἰ δὲ καὶ μετὰ τοσαῦτα, μετὰ καὶ τὴν

[46] Joan. x, 30. [47] Joan. xiv, 9. [48] Jac. i, 17.

(73) Ἐστι deest in Anglicano.

(74) Καὶ deest in Regio.

(75) Legendum putamus, ἐξ ἀρετῆς ἧς, omissum nempe videtur ἧς ob repetitionem ejusdem syllabæ, quod plerumque contingit.

(76) Regius, ταῦτα δὲ ποιότητος καὶ οὐσίας, omissis interpositis, δι' ὁμοιοτέλευτον. Ibid. Anglic., λέγεται. Καὶ τίς ὑμᾶς.

(77) Ita Regius. In editis vero, διὰ τοῦ deest.

(78) Ita Anglicanus, atque ita legit Nannius recte. In editis et in aliis, οὐκ deest. Infra Regius ἰδιος. Editi vero et alii, ἴδιον.

(79) Regius et Anglicanus, ἐν ὑμῖν. Editi vero ἐν ἡμῖν male.

(80) Ita Anglicanus. In editis et aliis, ἡ deest. Paulo post Reg. et Anglicanus, Ἀρκεῖ γάρ. Editi vero et alii, Ἐκεῖ γὰρ.

μαρτυρίαν τῶν ἀρχαίων ἐπισκόπων, καὶ μετὰ τὴν ὑπογραφὴν τῶν ἰδίων Πατέρων, προσποιοῦνται, ὡς ἀγνοοῦντες, τὴν λέξιν φοβεῖσθαι τοῦ ὁμοουσίου, εἰπάτωσαν καὶ φρονείτωσαν ἁπλούστερον μὲν καὶ ἀληθῶς τὸν Υἱὸν φύσει Υἱὸν, ἀναθεματισάτωσαν δὲ, ὡς παρήγγειλεν ἡ σύνοδος, τοὺς λέγοντας κτίσμα, ἢ ποίημα, ἢ ἐξ οὐκ ὄντων, ἤ, Ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ὅτι τρεπτὸς καὶ ἀλλοιωτός ἐστι, καὶ ἐξ ἑτέρας (81) ὑποστάσεως· καὶ οὕτω φευγέτωσαν ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως· καὶ θαῤῥοῦμεν, ὅτι γνησίως ταῦτα ἀναθεματίζοντες ὁμολογοῦσιν εὐθὺς, ἐκ τῆς οὐσίας καὶ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί. Διὰ τοῦτο γὰρ καὶ οἱ Πατέρες, εἰρηκότες ὁμοούσιον εἶναι τὸν Υἱὸν, ἐπήγαγον εὐθύς· Τοὺς δὲ λέγοντας κτίσμα, ἢ ποίημα, ἢ ἐξ οὐκ ὄντων, ἤ, Ἦν ποτε, ὅτε οὐκ ἦν, ἀναθεματίζει ἡ Καθολικὴ Ἐκκλησία· ἵνα διὰ τούτων γνωρίσωσιν, ὅτι ταῦτα σημαίνει (82) τὸ ὁμοούσιον. Καὶ ἡ τοῦ ὁμοουσίου δύναμις γινώσκεται ἐκ τοῦ μὴ εἶναι κτίσμα ἢ ποίημα τὸν Υἱόν· καὶ ὅτι ὁ λέγων ὁμοούσιον οὐ φρονεῖ κτίσμα εἶναι τὸν Λόγον· καὶ ὁ ἀναθεματίζων τὰ προειρημένα ὁμοούσιον ἅμα φρονεῖ εἶναι τὸν Υἱὸν τῳ Πατρί· καὶ ὁ ὁμοούσιον λέγων γνήσιον καὶ ἀληθινὸν λέγει τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ ὁ Γνήσιον λέγων νοεῖ τό· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καί, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.

10. Ἔπρεπε μὲν οὖν διὰ πλειόνων τὰ τοιαῦτα γράφειν· ἐπειδὴ δὲ πρὸς εἰδότας ὑμᾶς γράφομεν (83), διὰ τοῦτο συντόμως ὑπηγορεύσαμεν· εὐχόμενοι παρὰ πᾶσι σώζεσθαι τὸν σύνδεσμον τῆς εἰρήνης, καὶ πάντας τοὺς τῆς Καθολικῆς Ἐκκλησίας τὸ αὐτὸ λέγειν, τὸ αὐτὸ φρονεῖν. Καὶ οὐχ ὡς διδάσκοντες, ἀλλὰ ὡς ὑπομιμνήσκοντές ἐσμεν (84). Ἐσμὲν δὲ οὐχ ἡμεῖς οἱ γράφοντες μόνοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ Αἰγύπτῳ καὶ ταῖς Λιβύαις ἐνενήκοντά που ἐπίσκοποι. Πάντων γὰρ ἓν ἐστι τοῦτο φρόνημα, καὶ ὑπὲρ ἀλλήλων ἀεὶ ὑπογράφομεν, ἐὰν συμβῇ τινα μὴ παρεῖναι. Οὕτως οὖν (85) διακείμενοι, ἐπειδὴ συνέβη συνελθεῖν ἡμᾶς, ἐγράψαμεν καὶ τῷ ἀγαπητῷ ἡμῶν Δαμάσῳ τῷ ἐπισκόπῳ τῆς μεγάλης Ῥώμης περὶ τοῦ Αὐξεντίου τοῦ ἐπελθόντος τῇ ἐν Μεδιολάνῳ ἐκκλησίᾳ, διηγούμενοι τὰ κατ' αὐτόν· ὅτι τε οὐ μόνον τῆς Ἀρειανῆς αἱρέσεώς ἐστι κοινωνὸς, ἀλλὰ καὶ ὑπεύθυνός ἐστι πολλοῖς κακοῖς, πράξας ταῦτα μετὰ Γρηγορίου τοῦ κοινωνοῦ τῆς ἀσεβείας αὐτοῦ· καὶ θαυμάζοντες πῶς μέχρι νῦν οὐ καθῃρέθη καὶ ἐκβέβληται τῆς Ἐκκλησίας, καὶ χάριν ὁμολογήσαμεν τῇ θεοσεβείᾳ αὐτοῦ τε καὶ τῶν συνελθόντων ἐν τῇ μεγάλῃ Ῥώμῃ, ὅτι καὶ τοὺς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα, καὶ τοὺς τὰ αὐτὰ (86) αὐτοῖς φρονοῦντας ἐκβάλλοντες, ἔσωσαν τὴν ὁμοψυχίαν τῆς Καθολικῆς Ἐκκλησίας· ἣν καὶ παρ' ὑμῖν εὐχό-

A episcoporum testimonium, post subscriptionem Patrum suorum, quasi eorum ignari, sese simulant consubstantialis vocem reformidare; dicant sentiantque simplicius, ac sincerius, Filium, natura esse Filium; anathemate autem damnent, uti synodus præcepit, eos qui dicunt eum, creaturam, aut rem factam: aut, ex non exstantibus, vel, aliquando non erat Filius Dei: et mutabilis, ac variabilis est, et ex alia substantia: et sic ab Ariana hæresi refugiant: et confidimus eos, si hæc sinceriter anathemate damnent, statim confessuros, Filium ex substantia Patris et Patri consubstantialem esse. Ideo enim Patres cum dixissent Filium esse Patri consubstantialem, statim addiderunt: Eos autem qui dixerint, creaturam, aut rem factam,
B aut ex non exstantibus, aut, aliquando **718** non erat, anathemate damnat catholica Ecclesia; ut iis verbis notum facerent, vocem consubstantialis hæc significare. Atque vis hujus vocis, consubstantiale, eo intelligitur quod Filius non sit res creata vel facta, et quod, qui dicit consubstantiale, nequaquam credat Verbum esse creaturam: et qui superius dicta anathemate damnat, una sentit Filium esse Patri consubstantialem: cumque dicit consubstantialem, germanum ac verum dicit Dei Filium. Et qui dicit germanum, probe intelligit illud: *Ego et Pater unum sumus*; et: *Qui vidit me, vidit et Patrem.*

10. Cæterum par erat hæc pluribus scribere: verum, quia vobis jam horum gnaris scribimus, ideo paucis dictavimus. Optantes ut apud omnes vinculum pacis servetur, et omnes qui catholicæ sunt Ecclesiæ, idem dicant, idemque sentiant. Et hæc
C non quasi docentes, sed quasi admonentes dicimus. Non enim nos soli scribimus, sed omnes Ægypti et Libyarum nonaginta circiter episcopi. Omnium enim una hæc est sententia, et cum aliquem abesse contigerit, alii pro aliis subscribimus. Sic nos igitur affecti, cum contigisset nos in unum convenire, litteras quoque dilecto nostro Damaso magnæ Romæ episcopo misimus, de Auxentio qui Mediolanensem invasit ecclesiam, cujus illi gesta enarravimus, eum nempe non modo esse Arianæ hæreseos sectatorem, sed etiam multis sceleribus obnoxium, quæ cum Gregorio impietatis suæ socio perpetravit: neque mirari cur nondum depositus et ab Ecclesia ejectus sit. Gratiasque retulimus ejus pietati, nec non iis qui in magnam urbem Romam convenerant, quod Ursacio et Valente aliisque
D qui cum illis sentirent ejectis, catholicæ Ecclesiæ concordiam servassent. Quam cum apud vos quoque servari peroptemus, hortamur, vos, ne feratis ut supra diximus, eos qui fidei occasione, multitu-

(81) Anglicanus, ὅτι ἄτρεπτος, καὶ ἀναλλοίωτός ἐστι, καὶ οὐκ ἐξ ἑτέρας, male.

(82) Regius et editio Commel., σημαίνῃ male: alii, σημαίνει.

(83) Basil. et Anglicanus, προειδόσιν ὑμῖν γράφομεν. Mox Regius. ὑπηγορεύσαμεν. Alii, συνηγορεύσαμεν.

(84) Ita Regius quem sequimur. Anglicanus, ἀλλὰ ὡς ὑπομιμνήσκοντες ὑμᾶς γράφομεν. Ἐσμὲν Infra Regius, καὶ ταῖς Λιβύαις, et sic supra legitur n. 1, τὰς Λιβύας, in plurali. Editi et alii, τῇ Λιβύῃ.

(85) Anglicanus, Οὕτως γοῦν.

(86) Sic Reg. optime. In aliis vero et in editis, αὐτὰ deest. Infra manuscripti et editio Commel., παρ' ὑμῖν. Edit. vero Paris., παρ' ἡμῖν.

dinem synodum objiciunt. Ariminensem, Sirmiensem, eam quæ in Isauria, aliam quæ in Thracia, eas quæ Constantinopoli, item quæ Antiochiæ celebratæ sunt, quæ plurimæ sunt et tumultuosæ. Sed apud vos Nicæna solum fides obtineat. quam Patres promulgarunt: ubi omnes aderant Patres, imo quidam ex illis qui eam nunc oppugnant, uti supra diximus, ipsique subscripserunt;ut de nobis etiam Apostolus dicat: *Laudo autem vos,quod per omnia memores mei estis: et sicut tradidi vobis præcepta mea tenetis* [49].

11. Hæc enim Nicæna synodus, vere cippus est inscriptus contra universas hæreses. Hac ipsa eos qui in Spiritum sanctum blasphemant, ipsumque dicunt esse creaturam, confutat. Cum enim Patres de fide in Filium pertractassent,statim addiderunt: credimus et in Spiritum sanctum; ut perfectam et plenam de sancta Trinitate fidem confessi, Christianæ fidei tesseram et catholicæ Ecclesiæ doctrinam in hoc ipso exhiberent. Propalam quippe vobis omnibusque est, et nemini Christianorum hoc dubium fuerit, nos in creaturam minime credere, sed in unum Deum,Patrem omnipotentem,omnium visibilium et invisibilium factorem. Et in unum Dominum Jesum Christum Filium ejus unigenitum. Et in unum Spiritum sanctum: unum Deum in sancta et perfecta Trinitate cognitum.In cujus nomine baptizati et in qua divinitati conjuncti, credimus nos regnum cœlorum hæreditate accepturos in Christo Jesu Domino nostro, per quem Patri gloria et imperium in sæcula. Amen.

[49] I Cor. xi, 2.

A μένοι σώζεσθαι, παρακαλοῦμεν μὴ ἀνέχεσθαι, καθὰ προείπομεν, τῶν προβαλλομένων ὄχλον συνόδων προφάσει πίστεως, τὴν ἐν Ἀριμήνῳ, τὴν ἐν Σιρμίῳ (87), τὴν ἐν τῇ Ἰσαυρίᾳ, τὴν ἐν τῇ Θρᾴκῃ, τὰς ἐν Κωνσταντινουπόλει, τὰς ἐν Ἀντιοχείᾳ πολλὰς καὶ ἀτάκτους. Ἀλλὰ μόνον κρατείτω ἐν ὑμῖν ἡ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσα πίστις· ἐν ᾗ καὶ πάντες καὶ τῶν νῦν μαχομένων πρὸς αὐτὴν παρῆσαν Πατέρες, καθὰ προείπομεν (88), καὶ ὑπέγραψαν· ἵνα καὶ περὶ ἡμῶν ὁ Ἀπόστολος εἴπῃ· Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε.

11. Αὕτη γὰρ ἡ ἐν Νικαίᾳ σύνοδος, ἀληθῶς στηλογραφία κατὰ πάσης αἱρέσεώς ἐστιν. Αὕτη καὶ τοὺς βλασφημοῦντας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ λέγοντας B αὐτὸ κτίσμα, ἀνατρέπει. Εἰρηκότες γὰρ οἱ Πατέρες περὶ τῆς εἰς τὸν Υἱὸν πίστεως, ἐπήγαγον εὐθύς· Πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα, τελείαν καὶ πλήρη τὴν εἰς τὴν ἁγίαν Τριάδα πίστιν ὁμολογήσαντες, τὸν χαρακτῆρα τῆς ἐν Χριστῷ πίστεως καὶ τὴν διδασκαλίαν τῆς Καθολικῆς Ἐκκλησίας ἐν τούτῳ (89) γνωρίσωσι. Δῆλον γὰρ καὶ παρ' ὑμῖν καὶ παρὰ πᾶσι καθέστηκε· καὶ οὐδεὶς ἂν Χριστιανῶν ἀμφίβολον εἰς τοῦτο σχοίη τὴν διάνοιαν, ὡς οὐκ ἔστιν ἡμῶν ἡ πίστις εἰς τὴν κτίσιν, ἀλλ' εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ· καὶ εἰς ἓν Πνεῦμα ἅγιον ἕνα Θεὸν τὸν ἐν τῇ ἁγίᾳ καὶ τελείᾳ Τριάδι γινωσκόμενον· εἰς ἣν καὶ βαπτιζόμενοι, καὶ ἐν τούτῃ συναπτόμενοι τῇ θεότητι, πιστεύομεν καὶ κληρονομήσειν C βασιλείαν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν (90).

(87) Anglicanus, τὴν Ἀρσενίῳ, unde Nannius vertit, *Arsenicam*.

(88) Regius, καθάπερ εἴπομεν. Paulo post Regius et Basil., ἡμῶν ὁ Ἀπόστολος. Anglicanus, ὑμῶν ὁ Ἀπόστολος. Editi, ἡμῶν Ἀπόστολος.

(89) Ita Regius et Anglicanus. Editi vero, ἐν ταυτῷ.

(90) Anglican. solus,quem sequitur Nannius, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Post, Ἀμήν, subjungit Anglican., ἐρρῶσθαι ἡμᾶς καὶ μνημονεύειν ἡμῶν ἐν Κυρίῳ εὐχόμαι, ἀγαπητοὶ καὶ ποθεινότατοι, quæ absunt a Reg. Basil. et Felckm. 7, et edit.

IN EPISTOLAM AD EPICTETUM ADMONITIO.

719 I. *Celeberrima apud antiquos scriptores exstitit hæc epistola: eam quippe integram affert Epiphanius hæresi* LXXVII ; *hujus item meminit Cyrillus in epistola ad Joannem Antiochenum et aliis in locis: atque jam olim ipsam ab hæreticis fuisse vitiatam, quod in illa cernerent errores convelli suos ; a se tamen collatis exemplaribus pristinæ integritati restitutam. Verum depravata ejusmodi exempla ad nostram usque ætatem non pervenere ; est enim ea, quæ jam in Athanasianis exstat editis, et plane orthodoxa: et ei quæ apud Epiphanium legitur consimillina. Cyrilli autem locum citat Rusticus diaconus,* Contra Acephalos *cap.* 2. *Epistolam ad Epictetum memorant item, et loca inde excerpta afferunt synodi Ephesima et Chalcedonensis. Leo papa, Theodoretus, Gelasius libro* De duabus in Christo naturis *infra suis omnes notatis locis. Item apud Leontium Byzantium multa hinc afferuntur loca lib.* II, *sub finem. Ipseque Apollinaris vaferrimus sane homo, in fragmento epistolæ ad Serapionem apud Leontium Byzantinum, ait, ea epistola*

domini sui (scilicet Athanasii) Corinthum missam summopere approbare, et eorum qui dicunt carnem Deo consubstantialem magnam insaniam damnare. Nimirum id sedulo curavit heresiarcha ille, ut omnem pravæ sententiæ suspicionem a se, cum Athanasio agens, amoveret, quod sane, ad tempus saltem, ex voto illi cessisse videtur; etenim in hac epistola et in subsequentibus contra Apollinarium libris, nulla Apollinarii mentio. Vide item supra p. 618. »

« II. Occasione autem ductus Commentariorum, quæ sibi transmiserat Epictetus Corinthi episcopus, hanc ad illum rescripsit epistolam. Erant quippe Corinthi, referente Epicteto, quidam homines, qui sententias de fide impiissimas proposuissent agitassentque; aiebant scilicet 1° corpus ex Maria genitum consubstantiale esse Verbi deitati; 2° Verbum in carnem, ossa et capillos et in totum corpus mutatum fuisse. Quæ sententia Marcionitis ascribitur in Dialogo qui Origenis nomine circumfertur. 3° Dominum fictione non natura gestasse corpus. Qui sane error antiquissimus fuit; ab Ignatio namque memoratur epistola ad Trallianos, cap. 10, et ab omnibus deinde Patribus; 4° Ipsam deitatem circumcisam et cruci affixam fuisse; 5° Verbum nequaquam ex Maria, sed ex sua ipsius substantia sibi corpus efformasse; 6° Qui ait Domini corpus ex Maria esse, non Trinitatem, sed quaternitatem admittere. Maximam harumce sententiarum partem Apollinario ascribit Gregorius Nazianzenus orat. 46, pag. 722. Nec tamen hic comparet ille Apollinaristarum error, quo negabant mentem humanam inesse Christo, quæ videtur fuisse sectæ illius quasi tessera; sed ea duntaxat hic tangit Athanasius, quæ Corinthi in controversiam venerant. Nec leviter objurgat Epictetum quod talia vel proponi concesserit. Iisque omnibus sententiis brevissime confutatis, claudens epistolam, sese multum gaudere testatur, quod eo demum res cesserit, ut quisque disputantium in catholica consisteret fide. »

« III. Dimæritarum porro nomine Apollinaristas insectatur Epiphanius hæresi LXXVII, cujus appellationis causam aperit Gregorius Nazianzenus cum ait orat. 46, pag. 722 : corpus et animam esse in Christo τὸ τριτημόριον, *tertiam partem*. Apollinaristæ quippe aiebant, in Christo partem unam hominis, νοῦν scilicet, seu mentem, a Verbo suppleri, solumque Verbum junctum corpori et animæ (nempe sensitivæ, ut dictitabant illi) totum constituere Christum. Quamobrem, cum ex Catholicorum sententia, tribus constaret Christus, Verbo scilicet, mente humana, et corpore animato; qui unam ex illis demerent partem, mentem scilicet, a duabus aliis, διμοιρῖται audiebant : nam δίμοιρον Græcis est, duæ tertiæ partes, cujus significationis exempla sæpius advertere est in *Analectis* nostris *Græcis*, pag. 319 et seq. Cæterum hanc epistolam in annum conferri posse putamus circiter 371, ut fusius in *Vita Athanasii*.»

—

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΕΠΙΚΤΗΤΟΝ ΚΟΡΙΝΘΟΥ, ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΤΙΚΩΝ ΕΠΙΣΤΟΛΗ (91).

—

S. P. N. ATHANASII

ARCHIEPISCOPI ALEXANDRIÆ

AD EPICTETUM EPISCOPUM CORINTHI CONTRA HÆRETICOS EPISTOLA.

—

Κυρίῳ μου (92) ἀγαπητῷ ἀδελφῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ἐπικτήτῳ · Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

Domino meo dilecto fratri et optatissimo comministro Epicteto, Athanasius in Domino salutem.

1. Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάντων, ὅσοι δηποτοῦν εἰσιν αἱρετικοὶ, πεπαῦσθαι ἐκ

720 1. Arbitrabar equidem omnium, qui unquam fuere hæreticorum, vanam loquacitatem, a

(91) Scripta anno circiter 371. Seguer. Gobler. et Felck. 1, τοῦ αὐτοῦ ἐπιστολὴ γραφεῖσα (γραφεῖσα deest in Gobler. et Felck. 1) πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου κατὰ αἱρετικῶν. Ibid Gobler., λόγος κατὰ αἱρετικῶν. Basiliens. et Ang., τοῦ αὐτοῦ πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου κατὰ αἱρετικῶν. Felck. 2, nullum habet titulum, codex Jesuit. Latinus habet *ad Epictitum*, et inferius, *Epictito*.

(92) Ita Seguer. Gobler, Felck. 1, et Basiliens. in quo tamen μου deest. Editi sic habent, τῷ ἀγαπητῷ · . . . συλλειτουργῷ καὶ συμμύστῃ Ἀθανάσιος, etc., quæ ex aliquone deprompta sint codice ignoratur. In Anglicano et Felck. 2, horum nihil. In appendice ad divi Leonis opera tom. II, p. 198 sic titulus:

Nicæna synodo compressam fuisse. Nam quæ illic a Patribus ex divinis Scripturis promulgata fides est, tum ad impietatem omnem evertendam, tum ad piam in Christo fidem asserendam sufficit. Quamobrem cum hoc tempore variæ synodi per Galliam, Hispanias et magnæ Romæ celebratæ sint, quotquot eo convenere, eos qui etiam nunc latenter hæresin sapiunt Arianam, Auxentium nempe Mediolanensem, Ursacium, Valentem et Gaium ex Pannonia, communi calculo, quasi uno eodemque concitante Spiritu, anathemate damnarunt. Litteras autem ubique miserunt (quod varia isti synodorum nomina comminiscerentur) nulla ut deinceps in Ecclesia catholica nominaretur synodus præter unam Nicænam, quæ omnis hæresis tropæum est, atque in primis Arianæ, cujus potissimum causa tunc coacta fuit. His tot tantisque gestis rebus, quid est quod nonnulli disceptare ac quæstiones movere ausint? Qui si ex Arianis quidem sint, nihil mirum eos quæ contra se scripta sunt criminari : quemadmodmum et ethnici, dum illud audiunt : *Simulacra gentium argentum et aurum, opera manum hominum* [50], doctrinam de divina cruce stultitiam arbitrantur. Sin autem ii, qui ejusmodi quæstionibus rem de integro tractare peroptant, ex eorum numero sunt qui recte sentire, et iis quæ a Patribus promulgata sunt favere videntur, nihil aliud præstant, quam quod, ut scriptum est [51], proximo quidem suo eversionem lutosam propinant, verbis autem decertant non ad aliquam utilitatem, sed ad simpliciorum perniciem.

2. Hæc ita scribo postquam legi commentarios a tua pietate mihi oblatos, qui utinam scripti nunquam fuissent, ut ne minima quidem horum memoria transmitteretur ad posteros. Quis enim talia unquam audivit? quis docuit, didicitve? *De Sion* quidem *exibit lex Dei, et Verbum Domini de Jerusalem* [52] : hæc autem unde prodierunt? Quisnam infernus illud eructavit, corpus ex Maria genitum esse Verbi divinitati 721 consubstantiale? aut Verbum in carnem, ossa et capillos, et in totum

A τῆς γενομένης ἐν Νικαίᾳ συνόδου· ἡ γὰρ ἐν αὐτῇ παρὰ τῶν Πατέρων κατὰ τὰς θείας Γραφὰς ὁμολογηθεῖσα πίστις αὐτάρκης ἐστὶ πρὸς ἀνατροπὴν μὲν πάσης ἀσεβείας, πρὸς (93) σύστασιν δὲ τῆς εὐσεβοῦς ἐν Χριστῷ πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν διαφόρων γενομένων συνόδων ἔν τε τῇ Γαλλίᾳ, καὶ Σπανίᾳ, καὶ τῇ μεγάλῃ Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν ἔτι κρυπτομένους καὶ φρονοῦντας νὰ Ἀρείου, Αὐξέντιον δὴ λέγω τὸν ἐν Μεδιολάνῳ, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, καὶ Γάϊον ἀπὸ τῆς Πανονίας (94) παμψηφεὶ, ὡς ἀφ' ἑνὸς Πνεύματος κινούμενοι, ἀνεθεμάτισαν· ἔγραψάν τε παντα χοῦ (διὰ τὸ τοὺς τοιούτους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων), μηδεμίαν ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ μόνην τὴν ἐν Νικαίᾳ σύνοδον (95) γενομένην, τρόπαιον οὖσαν πάσης μὲν αἱ-
B ρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς, δι' ἣν μάλιστα καὶ ἡ σύνοδος τότε συνήχθη. Πῶς τοίνυν ἔτι μετὰ (96) τοσαῦτα ἀμφισβητεῖν, ἢ ζητεῖν τινες ἐπιχειροῦσιν ; Εἰ μὲν οὖν ἐκ τῶν Ἀρειανῶν εἰσιν, οὐδὲ θαυμαστὸν, εἰ τὰ κατ' αὐτῶν γραφέντα διαβάλλουσιν, ὥσπερ Ἕλληνες ἀκούοντες· Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, μωρίαν ἡγοῦνται τὴν περὶ τοῦ θείου σταυροῦ διδασκαλίαν· εἰ δὲ τῶν δοκούντων ὀρθῶς πιστεύειν καὶ ἀγαπᾷν τὰ δηλωθέντα παρὰ τῶν Πατέρων εἰσὶν οἱ διὰ τοῦ ζητεῖν ἀνασκευάζειν θέλοντες, οὐδὲν ἕτερον ποιοῦσιν ἢ κατὰ τὸ γεγραμμένον τὸν μὲν πλησίον ποτίζουσιν ἀνατροπὴν θολερὰν 98, λογομαχοῦσι δὲ ἐπ' οὐδενὶ χρησίμῳ ἢ ἐπὶ καταστροφῇ
C τῶν ἀκεραίων.

2. Ταῦτα δὲ οὕτω γράφω, ἐντυχὼν τοῖς παρὰ τῆς σῆς θεοσεβείας προσαχθεῖσιν ὑπομνήμασι, ἃ μηδὲ γραφῆναι ὤφελον, ἵνα μηδὲ μνήμη τις τούτων τοῖς μετὰ ταῦτα γένηται. Τίς γὰρ ἤκουσε τοιαῦτα πώποτε ; τίς ὁ (99) διδάξας, ἢ μαθών ; Ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται νόμος Θεοῦ, καὶ Λόγος Κυρίου ἐξ Ἰερουσαλήμ· ταῦτα δὲ, πόθεν ἐξῆλθε ; Ποῖος ᾠδὴ ἠρεύξατο ὁμοούσιον εἰπεῖν τὸ ἐκ Μαρίας σῶμα τῇ τοῦ Λόγου θεότητι ; ἢ, ὅτι ὁ Λόγος εἰς σάρκα (1), καὶ ὀστέα, καὶ τρίχας, καὶ ὅλον σῶμα μετα-

[50] Psal. CXIII, 4. [51] Habacuc. II, 15. [52] Isa. II, 3.

Epistola Athanasii episcopi ad Epictetum Corinthi episcopum, contra eos qui de Domini incarnatione spiritu blasphemiæ diversa senserunt. Deinde : *Dilectissimo fratri et amabili consacerdoti Epicteto, Athanasius in Domino salutem.*

(93) Sic Epiph. Seguer. Gobler. et Felckm. 1, in editis vero et in aliis manuscriptis πρός deest. Infra Seguerianus, secunda manu, Ἰσπανίᾳ. Goblerianus et Felckm. 1, τῇ Ισπανίᾳ καὶ Ῥώμῃ. Mox ἔτι deest in Epiph. qui habet ἐπικρυπτομένους,

(94) Seguer. Basil. et Gobler., Πανονίας. Nannius male verterat, *Gaium Pannonem*, cum vertendum fuisset *ex Pannonia*. Nam illud, ἀπὸ Πανονίας, intelligitur de Ursacio, Valente et Gaio. Ibid. Epiph., παμψήφι, Seguerian., παμψήφως, in quo ibidem ως deest Gobler. et Felck. 1, παμψήφους. Mox Epiph., ἔγραψεν δέ.

(95) Σύνοδον deest in Seguerian. Gobler. Felck. 1, et Epiph.

(96) Sic Seguer. Gobler. Felck. 1, et Epiph. Editi Πῶς οὖν μετά. Infra Epiphan., καθ' ἑαυτῶν γραφέντα. Mox Seguer., ὥσπερ καί.

D (97) Epiphanius solus, περὶ τοῦ ἁγίου Πνεύματος minus recte. Nam respicit Athanasius illud Pauli I Cor. I, 23 : Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον. Ἕλλησι δὲ μωρίαν.

(98) Ποτιζουσιν ἀνατ. In hæc verba hæc Frontonius Duc. : *Locus exstat Habacuc.* II, 15. *Docet Hieronymus veterem editionem Græcam reddidisse* ἐκπίνων ὀχλουμένην, *amentiam turbidam.*

(99) Sic Seguer. et Theodoret.. apud quem hæc leguntur dial. 1. Editi vero et alii ἢ τίς ὁ. Paulo post Epiph., νόμος Κύριου καὶ λόγος Θεοῦ. Editi νόμος καὶ λόγος Θεοῦ. Seguer. Gobler. et Felck. ut in textu.

(1) Sic omnes pene mss. In editis, εἰς deest. Mox post τρίχα, Seguer. solus addit, καὶ νεῦρα. Paulo

βέβληται, καὶ ἠλλάγη τῆς ἰδίας φύσεως ; Τίς δὲ ἤκουσεν ἐν Ἐκκλησίᾳ, ἢ ὅλως παρὰ Χριστιανῶν, ὅτι θέσει καὶ οὐ φύσει σῶμα πεφόρηκεν ὁ Κύριος ; (2) Ἢ τίς τοτοῦτον ἠσέβησέν, ὥστε εἰπεῖν ἅμα καὶ φρονεῖν, ὅτι ἡ θεότης αὐτὴ ἡ ὁμοούσιος τῷ Πατρὶ περιετμήθη καὶ ἀτελὴς ἐκ τελείου γέγονεν · καὶ ὅτι τὸ ἐν ξύλῳ καθηλούμενον, οὐκ ἦν τὸ σῶμα, ἀλλ' αὐτὴ ἡ δημιουργὸς οὐσία τῆς σοφίας (3) ; Τίς δὲ ἀκούων, ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς ἑαυτοῦ οὐσίας, μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ Λόγος, εἴποι ἂν Χριστιανὸν τὸν λέγοντα ταῦτα (4) ; Τίς δὲ τὴν ἀθέμιτον ταύτην ἐπενόησεν ἀσέβειαν, ὥστε κἂν εἰς ἐνθύμησιν ἐλθεῖν, καὶ εἰπεῖν, ὅτι ὁ λέγων ἐκ Μαρίας εἶναι τὸ Κυριακὸν σῶμα οὐκέτι τριάδα, ἀλλὰ τετράδα ἐν τῇ θεότητι φρονεῖ ; ὡς διὰ τοῦτο τοὺς οὕτω διακειμένους τῆς οὐσίας τῆς Τριάδος λέγειν εἶναι τὴν σάρκα, ἣν ἐνεδύσατο ἐκ Μαρίας ὁ Σωτήρ. Πόθεν δὲ πάλιν ἠρεύξαντό τινες ἴσην ἀσέβειαν τοῖς προειρημένοις, ὥστε εἰπεῖν μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος, ἀλγὰ συναίδιον αὐτῷ διαπαντὸς γεγενῆσθαι, ἐπειδὴ ἐκ τῆς οὐσίας τῆς σοφίας συνέστη (5) ; Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοί, εἰ ὁ ἐκ Μαρίας πρελθὼν Κύριος Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαβίδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας ; Τίνες δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι Κύριον, καὶ Σωτῆρα, καὶ Θεὸν, καὶ Υἱὸν τοῦ Πατρὸς ; Ἢ πῶς Χριστιανοὶ θέλουσι ὀνομάσθαι οἱ λέγοντες εἰς ἄνθρωπον (6) ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν Λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ ἕτερον τὸν τοῦ Θεοῦ Λόγον (7), τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων Υἱὸν ὄντα τοῦ Πατρὸς ; Ἢ πῶς εἶναι χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν Υἱὸν (8) καὶ ἄλλον τὸν τοῦ Θεοῦ Λόγον ;

3. Ταῦτα ἦν ἐν τοῖς Ὑπομνήμασι, διαφόρως μὲν εἰρημένα, μίαν δὲ τὴν διάνοιαν καὶ τὴν αὐτὴν ἔχοντα πρὸς ἀσέβειαν βλέπουσαν δύναμιν (9). Διὰ ταῦτα διεκρίνοντο καὶ διεμάχοντο πρὸς ἀλλήλους οἱ αὐχοῦντες ἐπὶ τῇ ὁμολογίᾳ τῶν Πατέρων τῇ ἐν Νικαίᾳ γενομένῃ. Ἐγὼ δὲ, τὴν σὴν ἐθαύμασα θεοσέβειαν ἀνασχομένην, καὶ ὅτι μὴ τούτους ἔπαυσε μὲν ταῦτα λέγοντας, τὴν δὲ εὐσεβῆ πίστιν παρέθηκεν αὐτοῖς · A corpus mutatum fuisse, eta natura descivisse sua? Quis autem in Ecclesia, aut a Christianis unquam audivit Dominum fictione non natura gestasse corpus? Aut quis eo processit impietatis, ut diceret sentiretque, ipsam deitatem Patri consubstantialem, circumcisam, et imperfectam ex perfecta factam fuisse : et quod cruci affixum erat, non fuisse corpus, sed ipsam Sapientiæ substantiam rerum opificem? Quis hæc audiens, Non ex Maria, sed ex sua ipsius substantia Verbum sibi passibile corpus efformavit, hæc loquentem Christianum dixerit? Quis nefariam illam commentus est impietatem, aut cui hoc in mentem venerit dixeritque : Qui ait ex Maria esse Dominicum corpus, is non amplius Trinitatem, sed quaternitatem in deitate sentit? B Quasi vero qui ita censent dicant, carnem quam ex Maria Salvator induit, ex substantia esse Trinitatis. Jam vero undenam æqualem supra dictis impietatem nonnulli evomuere, non minoris, aientes, ætatis esse corpus, quam Verbi divinitas, sed omnino coæternum illi fuisse, quia ex sapientiæ substantia constat? Quo pacto viri qui dicuntur Christiani vel ambigere ausi sunt, sitne Dominus qui ex Maria natus est, substantia et natura sua Filius Dei ; secundum carnem vero ex semine David et ex carne sanctæ Mariæ ortus? Quinam vero ea temeritate fuerunt, ut dicerent, Christum qui carne passus et crucifixus est, non esse Dominum et Salvatorem, ac Deum Filiumque Patris? Aut quomodo Christiani volunt nuncupari, qui dicunt in sanctum hominem, perinde atque in unum ex C prophetis, venisse Verbum, nec ipsum hominem factum fuisse, ex Maria corpus assumendo, sed alium esse Christum, et alium Dei Verbum quod ante Mariam et ante sæcula Filius erat Patris? Aut qua, quæso, ratione Christiani fuerint, qui dicunt alium esse Filium et alium Dei Verbum?

3. Hæc in Commentariis erant, diversis quidem verbis, sed quibus una eademque sententia visque impietatem spectans inerat. Propter illa mutuo disceptabant concertabantque, qui de confessione Patrum Nicæna gloriantur. Ego vero tuam miratus sum pietatem, quæ res ferat ejusmodi, et quod non illis quidem talia dictitantibus silentium indixerit, nec piam fidem illis proposuerit, ut vel

post, ἐν Ἐκκλησίᾳ deest in Epiph. Ibid. Theod., παρὰ Χριστιανοῖς. Gobler et Felck. 1, ἢ παρὰ Χριστιανῶν. Ibid. Gobler. et Felckm. 1, ὁ Θεὸς Λόγος. **Epiph.**, ὁ Υἱός.

(2) Hæc apud Theod. dial. 3, p. 159. **Mox**, θεότης **αὐτὴ**. Epiphan., αὐτοῦ. In **editis et in quibusdam mss.**, περιετμήθη τραπεῖσα καὶ ἀτελής. **Sed vocem ραπεῖσα**, Epiph. Theod. et Seguer. **secuti, expunimus.** Infra Theod. Gobl. et Felck. 1, καθηλωμένον.

(3) Epiphanius solus, δημιονργὸς οὐσία τῆς φύ**εως.** Quæ sequuntur autem, Τίς δὲ ἀκούων, a Theo**oreto** citantur dialog. ibid.

(4) Theod. et Seguer., εἰπόντα ἢ λέγοντα.

(5) Locus frequentissime citatus, nempe in sy**odo** Ephesina, act. 1, et alibi. Item apud Cyrillum **fens.** anathem. 2, synod. Chalcedon. act. 1, Leo**s** papæ epistola ad Leonem imperatorem, item apud Mercatorem erud. Baluzii p. 177 et 226, et D apud Gelasium. Ibidem, λεγόμενοι in editis deerat, in omnibus pene manuscriptis legitur. Ibidem Anglicanus, ὅτι, εἰ ὁ ἐκ Μαρίας. Mox Seguer. solus, Θεὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει Υἱὸς τοῦ Θεοῦ. Alii et editi, Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ. Ubi Epiphanius, καὶ τῇ φύσει τοῦ Θεοῦ.

(6) Ἄνθρωπον, in editis deerat ; ex prædictis autoribus et ex Seguer. restituimus.

(7) Mss. alii Λόγον, alii Υἱόν habent. Mox πρὸ αἰώνων. Sic mss. fere omnes, in editis, ἀπὸ αἰώνων.

(8) Υἱὸν restituimus ex mss. Seguer. Gobler. et Felck. 1, et ex prædictis auctoribus, uno excepto Epiph· qui habet Θεόν. Editi, Χριστόν.

(9) Sic Seguer. Felck. 1, et Epiph. ; sed δύναμιν **deest** in quibusdam. Editi, ῥέπουσαν δύναμιν.

obtemperantes acquiescerent; vel si repugnarent, pro hæreticis haberentur. Etenim quæ jam memorata sunt, neque dictu neque auditu sunt Christianis tolerabilia, sed ab apostolica doctrina penitus abhorrent. Quocirca eorum dicta, ut jam memorata sunt, ipsis verbis in epistola conscribenda curavi; ut quisquis audierit, eorum turpitudinem et impietatem animadvertat. Et tametsi oportebat illorum qui hæc commenti sunt stultitiam pluribus arguere et confutare; attamen satius fuisset epistolam huc desinere, et nihil ultra scribere: quæ enim ita manifeste prava commonstrantur, exagitare et curiosius indagare non expedit, ne a contentiosis 722 hominibus ambigua existimentur: sed sufficit his duntaxat verbis ad illa respondere: Hæc catholicæ Ecclesiæ non sunt, neque ea est Patrum sententia. Cæterum ne ex perpetuo silentio impudentiæ occasionem malarum illi rerum artifices arripiant, e re fuerit ex divinis Scripturis pauca memorare; fortasse vel hoc modo pudore affecti, turpissimas opiniones excogitandi finem facient.

4. Heus vos, qui eo animum appulistis ut corpus diceretis esse Verbi divinitati consubstantiale (hinc enim ordiri operæ pretium fuerit, ut cum ejus sententiæ fœditas palam fuerit, neque cætera majoris esse pretii conspicuum sit)? In divinis certe Scripturis nihil comparet hujusmodi, nam ipsæ Deum in humano fuisse corpore affirmant: sed etiam Patres qui Nicææ convenerunt, non corpus, sed ipsum Filium dixerunt esse Patri consubstantialem, et hunc quidem ex substantia Patris, corpus vero ex Maria esse ex Scripturis item declararunt. Quamobrem aut Nicænam repudiate synodum, et utpote hæretici, hæc aliena inducite; aut si vultis Patrum illorum filii esse, ne diversam ab eorum scriptis sententiam consectemini. Hac quoque ratione illud quantæ sit absurditatis advertite: si Verbum corpori, quod ex terra naturam tenet suam, est consubstantiale, et aliunde Verbum itidem, juxta Patrum confessionem, est Patri consubstantiale; ipse Pater corpori ex terra facto consubstantialis erit. Ecquid ultra Arianos insectemini, quod dicant Filium esse creaturam, cum ipsi Patrem rebus creatis esse consubstantialem affirmetis, et in aliam impietatem transeuntes dicatis, in carnem, ossa, capillos, nervos et in totum corpus conversum esse Verbum, et a propria muta-

A Ἵνα ἢ ἀκούσαντες ἠρεμήσωσιν, ἢ ἀντιλέγοντες ὡς αἱρετικοὶ νομισθῶσι. Τὰ γὰρ εἰρημένα (10) οὔτε λεκτὰ οὔτε ἀκουστὰ παρὰ Χριστιανοῖς, ἀλλὰ ἀλλότρια κατὰ πάντα τρόπον τῆς ἀποστολικῆς διδασκαλίας. Διὰ τοῦτο γοῦν κἀγὼ τὰ παρ' ἐκείνων, ὡς προείρηται (11), ἐγγραφῆναι γυμνῶς πεποίηκα τῇ ἐπιστολῇ, ἵνα καὶ μόνον ὁ ἀκούων θεωρῇ τὴν ἐν αὐτοῖς αἰσχύνην καὶ ἀσέβειαν. Καὶ εἰ καὶ ἔδει διὰ πλειόνων κατηγορεῖν καὶ διελέγχειν (12) τὴν ἀφροσύνην τῶν τὰ τοιαῦτα νοησάντων· ἀλλὰ καλὸν ἴως τούτων εἶναι τὴν ἐπιστολήν, καὶ μηδὲν πλεῖον γράφειν· τὰ γὰρ οὕτω φανερῶς δεικνύμενα φαῦλα γυμνάζειν ἐπὶ πλεῖον καὶ περιεργάζεσθαι οὐ δεῖ, ἵνα μὴ τοῖς φιλονεικοῦσιν ὡς ἀμφίβολα νομισθῇ· ἢ τοῦτο μόνον ἀποκρίνασθαι πρὸς τὰ τοιαῦτα, καὶ εἰπεῖν·

B Ἀρκεῖ, ὅτι οὐκ ἔστι ταῦτα τῆς Καθολικῆς Ἐκκλησίας, οὐδὲ ταῦτα οἱ Πατέρες ἐφρόνησαν. Ἵνα δὲ μὴ ἐκ τῆς τέλεον σιωπῆς πρόφασιν ἀναισχυντίας (13) ἑαυτοῖς οἱ τῶν κακῶν ἐφευρεταὶ πορίσωνται, καλὸν ἐκ τῶν θείων Γραφῶν ὀλίγα μνημονεῦσαι· τάχα κἂν οὕτως αἰδεσθέντες παύσωνται ἀπὸ τῶν ῥυπαρῶν τούτων ἐπινοιῶν.

4. Πόθεν ὑμῖν ἐπῆλθεν εἰπεῖν (14), ὦ οὗτοι, ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος (ἀπὸ γὰρ τούτου καλόν ἐστιν ἄρξασθαι, ἵνα, τούτου δεικνυμένου σαθροῦ, καὶ πάντα τὰ ἄλλα τοιαῦτα δειχθῇ); Ἀπὸ μὲν οὖν τῶν θείων Γραφῶν οὐκ ἔστιν εὑρεῖν, Θεὸν γὰρ ἐν ἀνθρωπίνῳ σώματι λέγουσι γεγονέναι. Ἀλλὰ γὰρ (15) καὶ οἱ Πατέρες, οἱ ἐν Νικαίᾳ συνελθόντες οὐ τὸ σῶμα, ἀλλ' αὐτὸν τὸν Υἱὸν ὁμοούσιον εἰρήκασι τοῦ Πατρός, καὶ τοῦτον μὲν ἐκ τῆς C οὐσίας τοῦ Πατρὸς, τὸ δὲ σῶμα ἐκ Μαρίας ὁμολογῆσαν εἶναι πάλιν κατὰ τὰς Γραφάς (16). Ἢ τοίνυν ἀρνήσασθε τὴν ἐν Νικαίᾳ σύνοδον, καὶ ὡς αἱρετικοὶ παρεισφέρετε ταῦτα· ἢ, εἰ βούλεσθε τέκνα τῶν Πατέρων εἶναι, μὴ φρονεῖτε παρ' ἐκεῖνα, ἅπερ ἔγραψαν αὐτοί (17). Καὶ γὰρ καὶ ἐκ τούτου τὸ ἄτοπον θεωρεῖν ὑμᾶς ἔξεστιν· εἰ ὁμοούσιος ὁ Λόγος τῷ σώματι (18) ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ ὁ Λόγος τῷ Πατρὶ κατὰ τὴν τῶν Πατέρων ὁμολογίαν· ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ Πατὴρ τῷ σώματι τῷ ἐκ γῆς γενομένῳ. Καὶ τί ἔτι μέμεσθε τοῖς Ἀρειανοῖς λέγουσι τὸν Υἱὸν κτίσμα, λέγοντες αὐτοὶ καὶ (19) τὸν Πατέρα ὁμοούσιον τοῖς κτίσμασι; καὶ τὶς ἑτέραν ἀσέβειαν μετερχόμενοι, φάσκοντες εἰς σάρκα, καὶ ἀστέα, καὶ τρίχας, καὶ νεῦρα, καὶ ὅλον τὸ σῶμα μεταD βεβλῆσθαι τὸν Λόγον, καὶ ἠλλάχθαι τῆς ἰδίας φύσεως. Ὥρα γὰρ ὑμᾶς φανερῶς εἰπεῖν ἐκ γῆς αὐτὸν

(10) Seguer. et Epiph., ὀνομασθῶσι. Τὰ γὰρ προειρημένα.

(11) Sic Seguer. Gobler. et Felckm. 1. In editis, εἴρηται.

(12) Quidam mss., κατηγορῆσαι καὶ ἐλέγχειν Mox, τῶν ταῦτα διανοηθέντων. Gobler. Felck. 1, Seguer et Epiph., τὴν τῶν ταῦτα διανοηθέντων αἰσχύνην. Mox Epiph. Seguer. Basil. Gobler. et Felc. 1, πλέον. Editi et alii, πλεῖον. Infra Seguer. solus, ἀποκρίνεσθαι.

(13) Seguer. solus ἀναισχυντίας. Alii, ἀναίσχυντον.

(14) Seguerian., Πόθεν ὑμῖν, ὦ οὗτοι, εἰπεῖν. Ita eodem infra post καλόν, non legitur, ἐστιν.

(15) Γὰρ deest in editis. Ex mss. Seguer. Basil. et Anglic. restituimus.

(16) Θείας Γραφάς, in Seguer. Basil. Gobler. et Felckm. 1.

(17) locus citatus in dial. Theoriani adv. Armenos, tom. I *Bibl, Græc. PP.* p. 447, Epiph. Καὶ γὰρ ἐκ τούτου.

(18) Gobler. Felckm. 1, εἰ ὁμοούσιον τῷ Λόγῳ τὸ σῶμα.

(19) Καὶ deest in Basil.

γεγενῆσθαι· ἐκ γῆς γὰρ (20) τῶν ὀστέων καὶ ὅλου τοῦ σώματος φύσις. Τίς οὖν ἡ τοσαύτη παραφροσύνη, ἵνα καὶ πρὸς ἑαυτοὺς διαμάχησθε; ὁμοούσιν μὲν γὰρ λέγοντες τὸν Λόγον τῷ σώματι, ἕτερον πρὸς ἕτερον σημαίνετε (21)· τὸ δὲ εἰς σάρκα μεταβεβλῆσθαι αὐτοῦ τοῦ Λόγου τροπὴν φαντάζεσθε. Καὶ τίς ἔτι λοιπὸν ὑμῶν ἀνέξεται ταῦτα καὶ μόνον φθεγγομένων; Πάσης γὰρ αἱρέσεως πλέον εἰς ἀσέβειαν ἐξεκλίνατε. Εἰ γὰρ ὁμοούσιος ὁ Λόγος τῷ σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη καὶ ἡ (22) χρεία, δυναμένου τοῦ σώματος εἶναι καὶ πρὸ Μαρίας ἴδιος, ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ Λόγος· εἴ γε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῷ σώματι. Τίς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ Λόγου, ἵνα ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται, ἢ θεαπεὶς ἀπὸ (23) τῆς ἰδίας φύσεως, σῶμα γένηται; Οὐ γὰρ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον ἑαυτῆς ἐνδύσηται. Ἀλλ' οὐδὲ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος Λόγος, ἵνα, τραπεὶς εἰς σῶμα (24), ἑαυτὸν ὑπὲρ ἑαυτοῦ εἰς θυσίαν προσενέγκῃ, καὶ ἑαυτὸν λυτρώσηται.

tum esse natura? Restat enim ut aperte dicatis ipsum ex terra factum fuisse : ex terra enim ossium totiusque corporis natura originem ducit. Quænam igitur hæc tanta dementia ut vobiscum ipsi pugnetis? dum enim dicitis Verbum corpori esse consubstantiale, alterum cum altero conferri significatis : cum vero in carnem mutatum esse affirmatis, ipsi Verbo mutationem affingitis.Ecquis vos ultra ferat hæc vel proferre ausos? Hæresim quippe omnem impietate superastis. Si enim Verbum est corpori consubstantiale, superflua fuerit Mariæ mentio et ministerium, cum corpus ante Mariam ab æterno esse possit, ut est ipsum Verbum ; si tamen, ut vos dicitis, consubstantiale est corpori. Quænam item necessitas Verbi adventus, ut vel illud quod sibi consubstantiale erat, indueret, vel mutatum a propria natura, corpus efficeretur? Non enim seipsam deitas assumit, ut quod sibi consubstantiale est induat. Sed neque peccavit Verbum quod aliorum peccata redemit, ut mutatum in corpus seipsum pro seipso in sacrificium offerret, ac seipsum redimeret.

ascensione, et unam fore ascensionem. Attamen accedentes illæ tenuerunt pedes ejus et adoraverunt. Pedes tenuerunt, Deum adoraverunt. Pedes quidem carnis et ossium contactum præferebant : sed cum Dei essent, Deum illæ adoraverunt. Et alibi quoque aiebat Dominus, *Palpate me et cognoscite, quia spiritus carnem et ossa non habet, sicut me videtis habere*[43], quanquam ipse spiritus sit : *Spiritus enim est Deus*[44]. Et cum dicit ea se habere, simulque ostendit ipsa ; cur ait, *Spiritus carnem et ossa non habet, ut me*, inquit, quem non illa esse, sed illa habere videtis? An ut doceret, spiritum natura inenarrabilem esse, ipsum autem contactum ad corpus nostro simile pertinere, quod sibi ex Virgine non quadam operandi ratione, sed naturali generatione comparaverat ; ut et secundum naturam esset corpus, ac rursus secundum naturam indivisibile esset a Verbi deitate. Sic enim et mors ejus contigit : corpore quidem secundum naturam suscipiente, Verbo autem per voluntatem eam admittente et per potestatem suam proprium corpus morti tradente ; quo et naturaliter pro nobis pateretur, et divinitus pro nobis resurgeret. Totumque generationis mortisque negotium nostram perquisitionem recuperationemque spectat.

740 7. Hæc cum ita se habeant, et in confesso sint in Ecclesia Dei catholica, cur vos rursum dicitis, corpus e cœlo esse? cur Christus illud effecit? Respondete : Anne ut ex cœlo in terram corpus deferret, et invisibile redderet visibile : contumeliæ incapacem, contumeliæ capacem ; impassibile et immortale, mortale et passibile faceret? Ecquidnam in illis beneficii, o inepti, si ea in Christo facta dicatis, quæ in protoplasto Adam facta sunt? Nisi Adæ lapsum in incomparabilem reparationem Christus, in similitudine carnis peccati apparens, peccatumque in carne condemnans, restituisset ; ita ut carne indutus in terra versaretur, et carnem peccati incapacem exhiberet : quam cum ex prima formatione Adam peccati expertem habuisset, ex prævaricatione illam peccati capacem fecit, ac in corruptionem et mortem delapsus est. Hanc Christus suscitat natura impeccabilem, ut ostendat Creatorem non esse causam peccati ; et ad primariam illam formationem propriæ naturæ eam restituit, ut ipse esset impeccabilitatis specimen. Frustra igitur erronei illi comminiscuntur, atque dicunt, ex cœlo Christi

[43] Luc. xxiv, 39. [44] Joan. iv, 24.

ἀνάβασις (73). Ὅμως, προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν. Πόδας ἐκράτησαν, Θεὸν προσεκύνησαν. Πόδας ὀστέων καὶ σαρκὸς ἔχοντας ψηλάφησιν, ἀλλὰ Θεοῦ ὄντας, προσεκύνησαν θεόν. Καὶ ἀλλαχοῦ δὲ ὁ Κύριος ἔλεγε, Ψηλαφήσατέ με καὶ γνῶτε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα, καίτοι πνεῦμα ὢν αὐτός· Πνεῦμα γὰρ ὁ Θεός (74). Καὶ λέγων ἔχειν, καὶ ἐπίδειξιν ποιούμενος, πῶς ἔλεγεν, ὅτι Πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει (75), καθὼς ἐμὲ, φησὶν, οὐχὶ ὄντα, ἀλλ' ἔχοντα θεωρεῖτε, ἢ τοῦτο διδάσκων, ὅτι ἡ τοῦ πνεύματος φύσις ἄῤῥητός ἐστιν (76)· αὕτη δὲ ἡ ψηλάφησις σώματος τοῦ καθ' ἡμᾶς ἐστιν, ὅπερ ἑαυτῷ περιεποιήσατο ἐκ Παρθένου, οὐκ ἐνεργείας τόπῳ, ἀλλὰ φυσικῇ γεννήσει· ἵνα καὶ (77) κατὰ φύσιν ᾖ τὸ σῶμα, καὶ ἀδιαίρετον ᾖ πάλιν κατὰ φύσιν τῆς τοῦ Λόγου θεότητος. Οὕτω γὰρ καὶ ὁ θάνατος γέγονε· τοῦ μὲν σώματος κατὰ φύσιν δεχομένου, τοῦ δὲ Λόγου κατὰ θέλησιν ἀνεχομένου καὶ ἐξουσιαστικῶς τὸ ἴδιον σῶμα εἰς θάνατον προϊεμένου· ἵνα καὶ πάθῃ φυσικῶς ὑπὲρ ἡμῶν, καὶ ἀναστῇ θεϊκῶς ὑπὲρ ἡμῶν. Καὶ ὅλη τῆς γεννήσεως (78) καὶ τοῦ θανάτου ἡ πραγματεία εἰς τὴν ἡμετέραν ζήτησιν καὶ ἀνάκτησιν θεωρεῖται.

7. Τούτων δὲ οὕτως ἐχόντων, καὶ ὁμολογουμένων ἐν τῇ τοῦ Θεοῦ καθολικῇ Ἐκκλησίᾳ, πῶς ὑμεῖς πάλιν λέγετε ἐξ οὐρανοῦ τὸ σῶμα ; καὶ διὰ τί τοῦτο πεποίηκεν ὁ Χριστός ; Εἴπατε, ἵνα ἐξ οὐρανῶν ἐπὶ γῆς (79) κατενέγκῃ σῶμα, καὶ τὸ ἀόρατον ὁρατὸν ποιήσῃ, καὶ τὸ ἀνύβριστον ὕβρεως δεκτικόν, καὶ τὸ ἀπαθὲς καὶ ἀθάνατον θνητὸν καὶ παθητόν ; Καὶ τίς ἦν ἐν τούτοις εὐεργεσία, ὦ μάταιοι, εἰ ταῦτα ἐν Χριστῷ γεγονέναι λέγετε, ἃ γέγονεν ἐν τῷ πρωτοπλάστῳ Ἀδάμ ; Εἰ μὴ τὸ τοῦ Ἀδὰμ σύμπτωμα εἰς ἀσύγκριτον ἀνάστημα Χριστὸς ἀνεστήσατο ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ὀφθείς, καὶ κατακρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ὥστε καὶ (80) σαρκὶ ἐπὶ γῆς πολιτεύσασθαι, καὶ ἀνεπίδεκτον ἁμαρτίας δεῖξαι τὴν σάρκα, ἣν ἐκ τῆς πρώτης πλάσεως ὁ Ἀδὰμ ἀναμάρτητον ἐσχηκὼς, ἐκ παραβάσεως δεκτικὴν ἁμαρτίας πεποίηκε (81), καὶ εἰς διαφθορὰν καὶ θάνατον κατέπτωκε. Ταύτην ἀνίστησι κατὰ φύσιν ἀναμάρτητον, ἵνα δείξῃ τὸν Δημιουργὸν ἀναίτιον τῆς ἁμαρτίας, καὶ κατὰ τὴν ἀρχέτυπον πλάσιν τῆς ἰδίας φύσεως κατεστήσατο· ἵνα αὐτὸς ᾖ τῆς ἀναμαρτησίας (82) ἔμπειρος ἐπίδειξις. Μάτην οὖν φαντάζονται οἱ ἀλώμενοι, καὶ

(73) Seg., ἐστὶν ἡ ἀνάβασις. Gobl. et Felc. 1, ἀναβάσεως. Ὅμως, omissis mediis.

(74) *Ep. ud Epict.*, p. 724.

(75) Seguerianus, Πῶς οὖν ἔλεγε· Πνεῦμα ὀστέα καὶ σάρκα, etc.

(76) Seguerianus, ἀῤῥήτός τις ἐστίν. Infra idem, ἦν ἐν ἑαυτῷ περιεποιήσατο.

(77) Ἵνα καί. Sic Seguerianus quem secuti sumus ; καί deerat in editis. Mox, ᾖ πάλιν κατὰ φύσιν τῆς τοῦ Λόγου, sic idem et Nannius. Editi, ᾖ τῆς τοῦ Λόγου, omissis mediis.

(78) Ita Seg. Gobl. et Felc. 1. Editi, καὶ ὅλης τῆς γενέσεως. Infra editi, ἐν τῇ τοῦ Θεοῦ καθολικῇ. Sed τοῦ Θεοῦ deest in Nann. Seg.

(89) Gobl. Felc. 1, Seg., ἐπὶ γῆν. Infra Seguer. quem sequimur, Καί τίς ἦν ἐν τούτ. Editi et alii, Καὶ τίς ἡ ἐν τούτ. Paulo post Seguerianus, γεγονέναι λέγετε ἃ. Editi, οὐ γέγονεν, ἃ γέγονεν. Mox hæc, εἰ μὴ τῷ Ἀδάμ, desunt in Seg Gobl. Felc. 1.

(80) Ita Deguerian. Gobler. Felc. 1. In editis, καὶ deest. Mox Anglican. Gobler. et Felch. 1, πολιτεύσασθαι.

(81) Seg. Gobl. et Fvlc. 1, ἐποίησε. Mox Gobl. et Felc. 1, διαφοράν.

(82) Ita Seguer. Gobler. et Felc. 1. Editi, ἁμαρτίας, male.

ἐξ οὐρανοῦ λέγοντες τὸ τοῦ Κυρίου σῶμα. Καίτοι ὁ Ἀδὰμ ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν κατενήνοχε, Χριστὸς ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνενήνοχε· καὶ ὅπερ Ἀδὰμ (83) ἀναμάρτητον καὶ ἀκαταδίκαστον εἰς φθορὰν καὶ καταδίκην θανάτου κατενήνοχε, Χριστὸς τοῦτο ἄφθαρτον καὶ λυτήριον θανάτου ἀνέδειξεν· ὥστε ἔχειν ἐξουσίαν ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, ἐκ δὲ τάφου τὴν ἀφθαρσίαν ἐπιδείκνυσθαι, καὶ ἐν ἐπιδάσει ᾅδου λύειν θάνατον, καὶ εὐαγγελίσασθαι πᾶσι τὴν ἀνάστασιν. Ὅτι ἔκτισεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ (84), καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν. Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον· βασιλευόμενον δὲ ὑπὸ τοῦ θανάτου εἰς διαφθορὰν οὐχ ὑπερεῖδεν αὐτὸς γενόμενος ἄνθρωπος, οὐ τραπεὶς εἰς ἀνθρώπου μορφήν, οὐδὲ παριδὼν τὴν τοῦ ἀνθρώπου ὕπαρξιν, σκιώδη τὴν δεῖξιν ἐποιεῖτο· ἀλλ' ὁ ὢν φύσει Θεὸς γεννᾶται ἄνθρωπος, ἵν' εἷς ᾖ τὰ ἑκάτερα, τέλειος κατὰ πάντα, φυσικὴν καὶ ἀληθεστάτην τὴν γέννησιν (85) ἐπιδειξάμενος. Διὸ εἴρηται· Καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, βασιλεύειν οὐρανῶν, καὶ ἐξουσίαν ἔχειν κρίσιν ποιεῖν.

8. Ὁ γὰρ τῶν ὅλων δημιουργὸς Λόγος (86) ὤφθη υἱὸς ἀνθρώπου, οὐχ ἕτερός τις γενόμενος, ἀλλὰ δεύτερος Ἀδάμ· ἵνα καὶ ἐκ τοῦ ὀνόματος γινώσκωμεν τὴν ἀλήθειαν. Καὶ προγενέστερον δείκνυσι τὸν πρωτόπλαστον ὁ Ἀπόστολος, πρῶτον τὸ ψυχικὸν δεικνὺς, ἔπειτα τὸ πνευματικόν. Ψυχικὸν δὲ καὶ πνευματικὸν λέγων, οὐχ ἕτερον καὶ ἕτερον δείκνυσι σῶμα, ἀλλὰ τὸ αὐτὸ σῶμα· τὸ μὲν πρῶτον ἐν (87) ἐξουσίᾳ καὶ φύσει ψυχῆς, διὸ ψυχικόν· τὸ δὲ δεύτερον ἐν ἐξουσίᾳ καὶ φύσει Ηνεύματος, διὸ πνευματικόν· Πνεῦμα γὰρ ὁ Θεὸς Λόγος· οὕτω γὰρ καὶ τὸ ἐφ' ἡμῖν εἰρημένον ἔστι συνιδεῖν, ἐν τῷ λέγειν· Ὁ δὲ πνευματικὸς ἀνακρίνει τὰ (88) πάντα· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. Καίτοι ἑνὸς ὄντος ἑκατέρων τοῦ σώματος, τὸ μὲν τοῦ Πνεύματος μέτοχον νοεῖσθαι πνευματικὸν δείκνυσι, τὸν δὲ τῇ ἐξουσίᾳ τῆς ψυχῆς μόνῃ ἐμμείναντα (89) δείκνυσθαι ψυχικόν. Διὰ τί δὲ ὅλως, εἰ καθ' ὑμᾶς ἐστιν, οὐχὶ ἄνθρωπος μόνον λέγεται ὁ Χριστὸς ὡς καινός τις ἐξ οὐρανῶν ἐπιδημήσας, ἀλλὰ υἱὸς ἀνθρώπου γέγονεν; Εἰ μὲν οὖν ἐπὶ γῆς γέγονεν υἱὸς ἀνθρώπου, καίτοι οὐκ ἐκ σπέρματος ἀνδρὸς, ἀλλ' ἐκ Πνεύματος (90) ἁγίου γεννηθεὶς, ἑνὸς ὄντος τοῦ πρωτοπλάστου Ἀδὰμ υἱὸς

A corpus esse. Atqui quod Adam ex cœlo in terram detulit, illud Christus e terra in cœlum evexit : et quod Adam, cum prius peccati expers et nulli damnationi obnoxius esset, in corruptionem et damnationem mortis dejecit, idipsum Christus incorruptibile esse, imo a morte liberare ostendit ; ita ut potestatem habeat in terra peccata dimittendi ; ex sepulcro, incorruptionem exhibendi ; in ascensu ex inferno, mortem solvendi, et resurrectionem omnibus annuntiandi. Quia Deus hominem creavit in incorruptionem et imaginem æternitatis suæ illum fecit. *Invidia autem diaboli mors intravit in mundum*[45], quem mortis imperio oppressum in corruptionem, non neglexit ipse factus homo : non versus in hominis formam : neque despiciens hominis substantiam, quasi per umbram et speciem tantum sese B ostendit : sed qui natura Deus est, homo nascitur, ut hæc ambo sint unus, in omnibus perfectus, qui naturalem et verissimam nativitatem exhibet. Ideo dictum est : *Et dedit illi nomen quod est super omne nomen*[46], ut regnaret in cœlis, et potestatem haberet reddendi judicii.

8. Nam Verbum, quod omnia creavit, filius hominis apparuit, non alienus, sed secundus factus Adam ; ut ex ipso nomine agnoscamus veritatem, ipsumque priorem esse protoplastum Apostolus ostendit, ubi primum animale memorat, dehinc spirituale. Cum autem animale et spirituale dicit, non alterum et alterum corpus ostendit, sed idem ipsum corpus : primum quidem in potentia et natura animæ, et propterea animale : secundo autem C in potentia et natura Spritus, idcirco spirituale. *Spiritus enim est Deus Verbum*[46a] ; ita enim et quod de nobis dicitur, intelligendum est, cum ait Scriptura : *Spiritualis judicat omnia ; animalis autem non percipit ea quæ sunt Spiritus*[47]. Quanquam unum sit corpus amborum quod, quatenus Spiritus est particeps, spirituale intelligi ostendit, quatenus autem in potentia duntaxat animæ immanet, 741 animale illud declarat. Cur autem, si ita se res habet, ut vos dicitis, non homo tantum dicitur Christus, quasi novus quidam homo qui de cœlis advenerit ; sed et filius hominis factus est ? Si igitur in terra factus est filius hominis, licet non ex semine viri, sed ex Spiritu sancto natus sit, protoplasti qui

[45] Sap. II, 24. [46] Philipp. II, 9. [46a] Joan. IV, 24. [47] I Cor. II, 14.

(83) Ita Seg. Gobl. et Felc. 1, sicque legit Nannius. Anglic. Καίτοι Χριστὸς ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνενήνοχε· καὶ ὅπερ Ἀδάμ. Editi, Καίτοι ὁ Ἀδὰμ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατενήνοχε ἀναμάρτητον. Infra, κατενήνοχε ante Χριστός legitur in Seg. Angl. Gobl. et Felc. 1, deestque in aliis et in editis. Infra Seg., ἔκ τε τάφου.

(84) Seg. Gobl. Felc. 1 et Anglic.. ἐπὶ ἀφθαρσίᾳ. Editi vero, ἐπὶ ἀφθαρσίαν. Ibid. Anglic. Gobler. et Felc. 1, καὶ εἰκόνι, male.

(85) Sic Seg. Gobl. et Felc. 1. Editi vero, γένεσιν, omisso articulo. Paulo post, in editis, αὐτῷ ὁ Θεὸς ὄνομα. Sed in Seguer. et textu Græco deest ὁ Θεός, et sic legit Nannius.

(86) In editis deest Λόγος, sed habetur in Seg. Gobl. Felc. 1.

(87) In Felc. 1, Gobl. Seg. ἐν deest, sed male, ut videre est in sequentibus.

(88) In Seg. deest τά. Mox editi, ψυχικὸς δὲ ἄνθρωπος, sed ἄνθρωπος in Seg. Gobl. Felc. 1 non legitur.

(89) Μόνῃ ἐμμείναντα δείκνυσθαι. Sic manuscr. quidam ; in editis, ἐμμείναντα δείκνυσι, omisso μόνῃ. Mox ὅλως deest in Seguer. Paulo post, editi habent μόνος, sed male. Gobler. Seguer. et Felc. 1, μόνον.

(90) Πνεύματος, omnes manuscr. Editi σπέρματος.

unus est, Adam, filius intelligetur. Neque enim præter Adamum, qui ex terra est, alius quispiam descriptus est homo, qui in cœlo fuerit, ut ex cœlis corpus habeat Christus, et filius hominis sit, ex alio ab Adamo. Quapropter Matthæus quidem filium Abraham et David illum describit, secundum carnem; Lucas vero eum Adæ et Dei Filium enarrat. Si itaque Evangeliorum discipuli estis, ne loquamini adversus Deum iniquitatem, ad Scripturas resque gestas sectamini. Quod si præter ea quæ scripta sunt, alia loqui in animo sit, cur adversum nos decertatis, qui nulla audire, vel eloqui sustinemus præter ea quæ scripta sunt? cum Dominus dicat: *Si manseritis in sermone meo, vere liberi eritis*[48].

9. Quo pacto igitur aut fideles aut Christiani habeamini, qui neque secundum verba Scripturæ inceditis, neque rebus gestis fidem habetis; sed audetis ea quæ supra naturam sunt definire? *Numquid parum vobis est molestos esse hominibus, et cur molesti estis Domino*[49]? Nam si qui prophetis non crediderint, condemnati sunt, quanto magis qui non crediderunt ipsi Domino? Etenim quæ ipse voluit, et quæ ipse arbitratu suo egit ad abrogationem peccati et mortis, cur alio et diverso modo enarrare aut cogitare audetis? Si confitemur eum, et ipse confitebitur nos: si negamus, et ipse nos negabit: si fidem illi non habemus, ille fidelis manet, seipsum enim negare nequit. Quænam igitur hujusmodi vestra immensa stultitia, ut loquamini quæ scripta non sunt, et illa sentiatis quæ aliena sunt a pietate? Etenim carnem divinitati consubstantialem dicere audetis, non advertentes in duplicem vos incidisse impietatem. Idcirco enim in hanc sententiam animum appulistis, ut vel carnem negetis, vel in Deitatem blasphemetis, dicentes: Certe nos eum qui ex Maria natus est, consubstantialem Patri dicimus. Porro hæc vestra, quam præclaram existimatis, loquendi ratio, aut superflua, aut stulta comprobabitur. Etenim quis e fidelibus non confiteatur Deum Verbum, qui advenit, et ex sancta Virgine Maria homo prodiit, Patrique consubstantialis est, ex semine Abrahæ, cujus filius recensetur, hominem esse factum: aut Verbum, Deo consubstantiale, secundum carnem filium David factum esse? Ideo prophetæ, apostoli, et evangelistæ Christum ex semine David secundum carnem ortum duxisse narrant. Quomodo igitur, cum hæc dicatis, non erubescitis carnem quæ ex semine

[48] Joan. VIII, 33, 36. [49] Isa. VII, 13.

A νοηθήσεται. Οὐ γὰρ ἕτερός τις ἀναγέγραπται ἄνθρωπος ἐν οὐρανῷ ὑπάρξας παρὰ τὸν ἐκ γῆς Ἀδὰμ (91), ἵνα καὶ ἐξ οὐρανῶν ἔχῃ τὸ σῶμα, καὶ υἱὸς ἀνθρώπου ᾖ παρὰ τὸν Ἀδάμ. Διὸ ὁ μὲν Ματθαῖος υἱὸν Ἀβραὰμ καὶ Δαβὶδ ἀναγράφει τὸ κατὰ σάρκα· ὁ δὲ Λουκᾶς υἱὸν αὐτὸν (92) τοῦ Ἀδὰμ καὶ τοῦ Θεοῦ γενεαλογεῖ. Εἰ τοίνυν μαθηταί ἐστε τῶν Εὐαγγελίων, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν· ἀλλὰ στοιχεῖτε τοῖς γεγραμμένοις καὶ γενομένοις (93). Εἰ δὲ ἕτερα παρὰ τὰ γεγραμμένα λαλεῖν βούλεσθε, τί πρὸς ἡμᾶς διαμάχεσθε, τοὺς μήτε ἀκούειν μήτε λέγειν (94) παρὰ τὰ γεγραμμένα πειθομένους; λέγοντος τοῦ Κυρίου, ὅτι Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντως ἐλεύθεροι ἔσεσθε.

9. Πῶς οὖν ἔτι πιστοὶ ἢ Χριστιανοὶ νομισθείητε, B οἱ μήτε τοῖς ῥήμασι τοῖς γεγραμμένοις στοιχοῦντες (95), μήτε τοῖς γενομένοις πειθόμενοι, ἀλλὰ καὶ ὑπὲρ φύσιν ὁρίζειν τολμῶντες; Ἢ μικρὸν ὑμῖν ἀνθρώποις παρέχειν ἀγῶνα, καὶ πῶς παρέχετε ἀγῶνα Κυρίῳ; Εἰ γὰρ οἱ προφῆται ἀπιστήσαντες κατεκρίθησαν, πόσῳ μᾶλλον οἱ μὴ πειθόμενοι αὐτῷ (96) τῷ Δεσπότῃ; Ἃ γὰρ αὐτὸς ἠθέλησε καὶ εὐδόκησεν εἰς ἀθέτησιν τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, πῶς ὑμεῖς ἕτερα ἀν' ἑτέρων λέγειν ἢ φρονεῖν τολμᾶτε; Εἰ ὁμολογοῦμεν, κἀκεῖνος ὁμολογήσει ἡμᾶς· εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν (97) οὐ δύναται. Τίς οὖν ὑμῶν ἡ τοσαύτη ἀπόνοια τῆς ἀμετρίας, λαλεῖν τὰ μὴ γεγραμμένα, καὶ φρονεῖν ἀλλότρια τῆς εὐσεβείας; Καὶ γὰρ καὶ ὁμοούσιον τὴν σάρκα τῆς θεότητος λέγειν ἐπιχειρεῖτε, οὐ συνορῶντες διπλῆν ὑμῖν γενομένην (98) τὴν ἀπάντησιν C τῆς ἀσεβείας. Ταῦτα γὰρ ὑμῖν ἐπινοήσαντες λέγειν, ἵνα ἢ τὴν σάρκα ἀρνήσησθε, ἢ τὴν θεότητα βλασφημήσητε, λέγοντες, φησίν· Ἡμεῖς τὸν ἐκ Μαρίας λέγομεν ὁμοούσιον (99) τοῦ **Πατρός**. Αὕτη δὲ ὑμῶν ἡ νομιζομένη εὐφημία δειχθήσεται ἢ περίεργος ἢ ἀνόητος. Ἐπεὶ τίς τῶν πιστῶν οὐκ ἂν ὁμολογήσειεν, ὅτι ὁ ἐπιδημήσας Θεὸς Λόγος, καὶ ἐκ Παρθένου τῆς ἁγίας Μαρίας προελθὼν ἄνθρωπος, ὁμοούσιος ὢν τοῦ Πατρὸς, ἐκ σπέρματος Ἀβραὰμ γέγονεν ἄνθρωπος, οὗ καὶ υἱὸς ἀναγέγραπται, καὶ ὅτι ὁ ὁμοούσιος τοῦ Θεοῦ Λόγος γέγονε κατὰ σάρκα υἱὸς τοῦ Δαβίδ; Διὰ καὶ ἐκ σπέρματος τοῦ Δαβὶδ προφῆται καὶ ἀπόστολοι καὶ εὐαγγελισταὶ γενεαλογοῦσι τὸν Χριστὸν τὸ κατὰ σάρκα. Πῶς οὖν ταῦτα λέγοντες οὐκ ἐρυθριᾶτε, τὴν D σάρκα, τὴν ἐκ σπέρματος Δαβὶδ γενεαλογουμένην, ὁμοούσιον τοῦ Λόγου ἀποφαινόμενοι; Ἢ πάλιν, ὡς

(91) Τὸν ἐκ γῆς Ἀδάμ. Sic Seg. Gobl. Felc. 1, in editis deest ἐκ γῆς.

(92) Αὐτόν, Basil., et sic Nannius, sicque legendum videtur. Editi et quidam manuscr. habent αὐτοῦ.

(93) Καὶ γενομένοις deest in Seg., nec lectum est a Nannio.

(94) Ita Seg. quem secuti sumus. Editi, λέγειν. Paulo post Gobl. et Felc. 1, ὅτι Εἰ ὑμεῖς. Mox Seg. Gobl. Felc. 1 et Græcus Scripturæ textus, ἔσεσθε. Editi, ἐστέ.

(95) Ita Seg. Gobl. et Felc. 1. Editi vero, οἱ μήτε τοῖς γεγραμμένοις πειθόμενοι, μήτε τοῖς γενομένοις στοιχοῦντες.

(96) Sic omnes mss. præter Felc. 2, in quo, ut et in editis, αὐτῷ deest. Infra Seg. Gobl. et Felck. ἑτέρων ἢ λέγειν ἢ.

(97) Gobl. et Felckm. 1, αὐτόν.

(98) Seg., γινομένην. Ibidem, Seg. Gobl. Felc. 1 et Anglicanus, τὴν ἀπάτησιν. Editi vero et alii, τὴν ἀπάντησιν, dubia lectio.

(99) Seg. Gobl. et Felckm. 1, λέγοντες δὴ ἡμεῖς τὸν ἐκ Μαρίας ὁμοούσιον.

ἔφαμεν, ἀνοήτως ταῦτα λέγετε, οὐ νοοῦντες, ὅτι τὸ ὁμοούσιον τὴν μὲν ταυτότητα τῆς φύσεως ἔχει (1), τὴν δὲ ἰδίαν τελειότητα ἐν ἑαυτῷ ἐπιδείκνυται. Ὥσπερ γὰρ ὁ Υἱὸς, ὁμοούσιος πρὸς τὸν Πατέρα ὁμολογούμενος (2), τέλειος πρὸς τέλειον ὁμολογεῖται, καθὰ καὶ τὸ ἅγιον Πνεῦμα· ὁμοούσιος γάρ ἡ Τριάς. Δώσετε οὖν καὶ τῇ ὁμοουσίῳ σαρκὶ (3) τὴν τελειότητα πρὸς τῇ τοῦ Λόγου τελειότητι· ἔσται δὲ καθ' ὑμᾶς τετρὰς ἀντὶ Τριάδος καταγγελλομένη. Καὶ τίς ἡ τοσαύτη ἐπίνοια τῆς ἀσεβείας;

10. Ἀλλὰ λέγετε· Ὁμοούσιος γέγονε (4) τοῦ Λόγου ἡ σάρξ. Πῶς γέγονεν ὁμόούσιος; Εἴπατε. Λόγος γέγονεν, ἀλλὰ καὶ Πνεῦμα γέγονεν. Εἰ δὲ ὅλως γίνεται θεότης ἐκ μεταποιήσεως ἡ μὴ φύσει οὖσα θεότης, τί τοίνυν μέμφεσθε Ἀρειανοῖς, ταύτην περὶ τοῦ Λόγου προβαλλομένοις τὴν ἔννοιαν; Καίτοι τῆς Γραφῆς λεγούσης (5), Ὁ Λόγος σὰρξ γέγονεν, οὐχὶ Ἡ σὰρξ Λόγος γέγονεν, Ὁ Λόγος δὲ σὰρξ γέγονεν, εἴρηται (6)· ὅτι τοῦ Λόγου γέγονεν ἡ σὰρξ, καὶ οὐκ ἀνθρώπου τινός· τουτέστιν ὁ Θεὸς ἄνθρωπος γέγονε· καὶ λέγεται, Σὰρξ γέγονεν, ἵνα μὴ παραδράμητε τῆς σαρκὸς τὸ ὄνομα. Εἰ τοίνυν μὴ ἀρκεῖσθε τῇ ἀσυγχύτῳ (7) φυσικῇ ἑνώσει τοῦ Λόγου πρὸς τὴν ἰδίαν αὐτοῦ γενομένην σάρκα· καὶ ὅτι ὁ Θεὸς ἄνθρωπος γέγονε· νῦν οὔτε ἀκούετε, οὔτε πιστεύειν βούλεσθε, οὐκ ἀρκούμενοι ὑπὲρ πᾶσαν ἐπίνοιαν εὐφημίας σῶμα Θεοῦ ἀκούοντες, κατὰ τὸν λέγοντα· Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι (8) αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ· ἥτις ἐστὶ σημασία τοῦ μέλλοντος αἰῶνος, καὶ ἔτι λέγεται σῶμα τῆς δόξης αὐτοῦ. Καὶ ὁ Κύριος δὲ λέγει· Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου· τὸν Υἱὸν τοῦ Θεοῦ υἱὸν ἀνθρώπου γενόμενον λέγει (9)· κριτήν τε ὄντα ζώντων καὶ νεκρῶν, καὶ βασιλέα καὶ Δεσπότην, καὶ Θεὸν ἀληθινόν. Ἀλλὰ ἀναιρεῖν βούλεσθε τὸ τοῦ σώματος ὄνομα, ἢ τὸ ἔτι λέγεσθαι ἄνθρωπον τὸν Χριστόν. Πῶς ἔτι τὰς θείας Γραφὰς ἀναγινώσκειν δύνασθε; τοῦ μὲν Ματθαίου γράφοντος· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ. τοῦ δὲ Ἰωάννου· Ἐν ἀρχῇ ἦν ὁ Λόγος. καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· καὶ Θεὸς ἦν ὁ Λόγος. Λό-

David orta narratur, consubstantialem Patri asseverare? Vel rursum, ut aiebamus, hæc stulte dicitis, non intelligentes, quod est consubstantiale. eamdem quidem naturam habere: propriam tamen perfectionem in seipso exhibere. Sicut enim Filius qui consubstantialis Patri declaratur, perfectus in perfecto agnoscitur; sic et Spiritus sanctus: consubstantialis enim est Trinitas. Dabitis ergo consubstantiali carni, 742 perfectionem præter Filii perfectionem: et secundum vos quaternitas pro Trinitate prædicabitur. Ecquodnam illud tantum impietatis commentum?

10. Sed dicitis: Caro facta est Verbo consubstantialis. Qua ratione facta est consubstantialis? Respondete. Verbum facta est, sed et Spiritus facta est. Sane si ea quæ natura sua divinitas non est, per mutationem divinitas efficiatur, cur igitur Arianos arguitis, qui hanc de Verbo sententiam in medium afferunt? Licet Scriptura dicat, *Verbum caro factum est* [50], non dictum est. Caro Verbum facta est, sed, Verbum caro factum est: quia Verbi facta est caro, et non hominis cujusdam; id est, Deus homo factus est: et dicitur, Caro factus est, ne carnis nomen prætermitteretis. Si itaque vobis non sufficit naturalis illa sine confusione Verbi cum propria carne unio: et quod Deus homo factus sit; certe jam neque audire, neque credere vultis, nec satis vobis est, cum id quod omnem commendationem superat, corpus scilicet Dei, audiatis, ubi dicitur: *Qui transformabit corpus humilitatis nostræ, ut sit configuratum corpori gloriæ suæ* [51]; quæ est futuri sæculi significatio. Et præterea dicitur, corpus gloriæ illius. Ipse quoque Dominus ait: *Cum venerit Filius hominis* [52]; Filium Dei filium hominis factum dicit: judicem quoque vivorum et mortuorum, ac regem Dominumque, et Deum verum. Sed corporis nomen e medio tollere vultis, atque id assequi, ut ne ultra dicatur Christum esse hominem. Quo potestis animo divinas Scripturas adhuc legere? Cum Matthæus quidem scribat: *Liber generationis Jesu Christi, filii David, filii Abraham* [53]; Joannes vero: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [54].

[50] Joan. I, 14. [51] Philipp. III, 21. [52] Marc. VIII, 38. [53] Matth. I, 1. [54] Joan. I, 1.

(1) Editi, τῆς φύσεως ἀδιαίρετον ἔχει. Sed in Seg. Gobl. et Felckm. 1 deest ἀδιαίρετον.

(2) Seguerianus, θεολογούμενος.

(3) Τῇ ὁμοουσίῳ σαρκί. Sic Seg., et ita legit Nannius. At in editis legitur, τῇ τοῦ ὁμοουσίου σαρκί, minus recte.

(4) Seg. Gobl. et Felckm. 1. ὁμοούσιον γεγονέναι (Seg. γέγονε). Πῶς ἐγένετο ὁμοούσιος; Εἴπατε, et ita legit Nannius.

(5) Hæc refert Joannes Maxentius in sua de Christo professione, sub initium, his verbis: *Beatissimo simul, atque doctissimo Athanasio dicente*: « *Verbum caro,* » *non caro Verbum* « *factum est.* » *Verbum autem caro factum dicitur, quia Verbi facta est caro, et non alicujus hominis: hoc est, Deus homo factus est, et dicitur caro, ne prætereatis carnis nomen. Cur ergo non sufficit nobis naturalis unitio Verbi ad propriam carnem, et quia Deus homo factus est.* Nota, *nobis* irrepsisse pro *vobis*.

(6) Ἡ σὰρξ Λόγος εἴρηται. Sic editi, omissis interpositis, quæ ex Seg. mutuati sumus.

(7) In Seg. Gobl. et Felckm. 1, ἀσυγχύτῳ deest. Mox, αὐτοῦ γενομένην deest in Seg. In Gobl. autem et Felckm. 1 deest tantum γενομένην. Paulo post Seg. ἀκούειν.

(8) Εἰς τὸ γενέσθαι deest in Gobl. Felckm. 1, Seg. Post μέλλοντος αἰῶνος quædam deerant in editis, quæ mutuati sumus ex Seg. Gobl. et Felckm. 1, usque ad καὶ ὁ Κύριος.

(9) Λέγει deest in Seg. Mox idem habet καί ante ζώντων. In eodem mox καί deest ante Θεὸν ἀληθινόν. Infra editi, Καὶ πῶς. Sed καί abest a Seg. Gobler. Felckm. 1, nec lectum est a Nannio.

Verbum autem, et Deum et filium David, si divisim considerare volueritis, duo ex mente vestra dicta fuerint; sin a divinis edocti Scripturis, credideritis Verbum cum Deus esset, filium hominis factum esse; agnoscetis quoniam unus est Christus et Deus, qui et ipse homo est; ut duplex prædicatio ejus adventus facile persuadere posset ejus passionem et impassibilitatem. Ut cum dicit Apostolus: *Homo Christus Jesus, qui dedit semetipsum redemptionem pro nobis, qui est super omnia Deus benedictus in sæcula. Amen* [55]. Et ad Timotheum scribens ait: *Memor esto Dominum Jesum Christum ex semine David resurrexisse a mortuis* [56]. Et ipse iterum inquit: *Mortem ejus annuntiamus donec veniat* [57].

11. Si igitur ex confessione consubstantialis, carnis nomen de medio tollitis, et sententiam quæ dicit Christum esse hominem; aut non amplius mortem ejus annuntiatis donec veniat, atque in hoc Scripturas abrogatis: aut licet mortem consubstantialis Patri et Spiritui sancto annuntietis, si non confiteamini eum carne passum esse, ipsam Patris et Spiritus sancti deitatem capacem mortis esse dicetis: ac omnium hæreticorum impiissimi 743 evasistis. Mors quippe carnis, consubstantialis Verbi mors fuit. Neque enim Pater carnem gestavit, neque Spiritus sanctus, ut impie somniarunt Valentiniani; sed *Verbum caro factum est* [58]. Ideo nos, dum confitemur Deum et hominem Christum esse, nequaquam divisionis causa hæc dicimus, absit; sed quo Scripturis obtemperemus: ut passione ejus vere acta et annuntiata donec veniat; in carne quidem Verbi, passionem et mortem confiteamur; ipsum tamen Verbum impatibile et invariabile credamus: quod idem ipsum passum est, et non passum, quodque divina quidem natura impassibile, immutabile et invariabile est: carne tamen passum est, ut dixit Petrus, et mortem gustare voluit: quia factus est *mediator Dei et hominum, homo Christus, qui dedit semetipsum redemptionem pro nobis* [59]; et rursum: *Quia factus*

γον δὲ καὶ Θεὸν (10) καὶ υἱὸν Δαβὶδ εἰ κατὰ διαίρεσιν βούλεσθε θεωρεῖν, δύο καθ' ὑμᾶς ἂν λέγοιντο· εἰ δὲ πιστεύοιτε, διδασκόμενοι ἀπὸ τῶν θείων Γραφῶν, ὅτι Θεὸς ὢν ὁ Λόγος υἱὸς ἀνθρώπου γέγονε, γνώσεσθε, ὅτι εἷς ἐστιν ὁ Χριστὸς, καὶ Θεὸς καὶ ἄνθρωπός ὁ αὐτὸς· ἵνα τὸ διπλοῦν κήρυγμα τῆς αὐτοῦ ἐπιδημίας (11) εὐαπόδεικτον ἐχῃ τὴν πεισμονὴν τοῦ τε πάθους καὶ τῆς ἀπαθείας, Ὡς ὅταν λέγει ὁ Ἀπόστολος· Ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον (12) ὑπὲρ ἡμῶν ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγε· Μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαβὶδ· καὶ ὁ αὖτος δὲ πάλιν (13)· Τὸν θάνατον αὐτοῦ καταγγέλλομεν, ἄχρις οὗ ἔλθῃ.

11. Εἰ οὖν ἐκ τῆς ὁμολογίας τοῦ ὁμοουσίου ἀναιρεῖτε τῆς σαρκὸς τὸ ὄνομα, καὶ τὸ ἄνθρωπον εἶναι τὸν Χριστόν· ἢ οὐκέτι τὸν θάνατον αὐτοῦ καταγγέλλετε, ἄχρις οὗ ἔλθῃ, ἀναιροῦντες τὰς Γραφὰς· ἢ τὸν θάνατον καταγγέλλοντες καθ' ὑμᾶς τοῦ ὁμοουσίου (14) τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος· μὴ ὁμολογοῦντες σαρκὶ πεπονθέναι τὸν Χριστὸν, καὶ κατὰ τὴν τοῦ Πατρὸς τὴν θεότητα καὶ τοῦ ἁγίου Πνεύματος ἐρεῖτε δεκτικὴν εἶναι θανάτου· καὶ γεγόνατε (15) ἀσεβέστεροι πάντων τῶν αἱρετικῶν. Ὁ γὰρ θάνατος τῆς σαρκὸς, γέγονε τοῦ ὁμοουσίου Λόγου. Οὐδὲ γὰρ ὁ Πατὴρ σάρκα ἐφόρεσιν, οὐδὲ τὸ ἅγιον Πνεῦμα, ὡς οἱ κατὰ Οὐαλεντῖνον ἀσεβοῦντες φαντάζονται· ἀλλ' ὁ Λόγος σὰρξ ἐγένετο. Διὰ ἡμεῖς, ὁμολογοῦντες Θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν, οὐ διαιρέσεως ἕνεκεν ταῦτα λέγομεν, μὴ γένοιτο! ἀλλὰ πάλιν κατὰ τὰς Γραφὰς, ἵνα πάθους καὶ θανάτου γενομένου καὶ καταγγελλομένου, ἄχρις οὗ ἔλθῃ (16), καὶ μὲν τῆς σαρκὸς τοῦ Λόγου τὸ πάθος καὶ τὸν θάνατον ὁμολογῶμεν, αὐτὸν δὲ τὸν Λόγον, ἄτρεπτον καὶ ἀναλλοίωτον πιστεύωμεν. Διὸ αὐτός ἐστιν ὁ παθὼν καὶ μὴ παθών· τῇ μὲν θείᾳ φύσει ἀπαθὴς, καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος ὢν, τῇ δὲ σαρκὶ παθών, ὡς εἶπεν ὁ Πέτρος, καὶ θανάτου γεύσασθαι θελήσας (17)· ὅτι γέγονε μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν·

[55] I Tim. II, 6; II Cor. XI, 31. [56] II Tim. II, 8. [57] I Cor. XI, 26. [58] Joan. I, 14. [59] I Tim. II, 5.

(10) Sic Seg. Gobl. et Felckm. 1. Editi vero, Λόγον δὲ Θεόν. Infra Seg. πιστεύοιτε... ἀπό. Alii cum editis, πιστεύετε... ὑπό.

(11) Sic omnes fere manuscripti. Editi vero, ἀποδημίας. Ibid. Seg· Gobl. et Felckm. 1, εὐαπόδεικτον. Editi, εὐαπόδεκτον. Mox Seg. Gobl. et Felckm. 1, πεισμονήν. Editi vero, πίστιν μόνην, mendose. Mox Seg., Ὅταν λέγῃ μόνην mendose.

(12) Ἀντίλυτρον deest in Seg. Gobl. et Felckm.1, sed habetur in aliis, in editisque,et in Græco Scripturæ textu : δέ post Τιμοθέῳ deest in iisdem.

(13) Sic Seg. Gobl. et Felckm. 1. Editi et alii,πάλιν,φησί. Mox omnes fere manuscr., καταγγέλλομεν. Editi, καταγγελλόμενος. Mox editi et quidam mss. ut in textu. Anglic. vero, Seg. Gobl. et Felck. 1,Ἢ οὖν τῇ ὁμολογίᾳ. Paulo post, Seguerianus, ἤ τό pro καὶ τό.

(14) Basil., καταγγέλλοντες κατὰ τοῦ ὁμοουσίου. Seguer. Gobler. et Felckm. 1, καταγγέλλοντες τοῦ ὁμοουσίου, μὴ ὁμολογοῦντες. In eodem mox, τὸν Χριστόν deest.

(15) Ita Seguer. Gobl. et Felckm. 1. Elliti, γεγονατε.

(16) Basil., ἄχρις ἂν ἔλθῃ. Seg. paulo post, ὁμολογοῦμεν, et mox πιστεύομεν. Ibidem, Basil. Seg. Gobl. et Felc. 1, διό, Editi et alii. διότι. Mox hæc, ἀπαθὴς καί, desunt in Seg. solo.

(17) Sic Seg. Gohl. et Felc. 1. Editi vero, ὁ Πέτρος· Χριστοῦ οὖν παθοντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ θανάτου γευσαμένου σαρκί· ὅτι γέγονε, quæ cum sequentibus cohærere nequeunt, ideo superiorem lectionem prætulimus. Ibidem Seguer. Gobl. et Felc. primus, ὅτι γέγονε μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Ὁ δὲ μεσίτης, omissis mediis.

καὶ πάλιν. Ὅτι γέγονε μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν· ὁ δὲ Θεὸς (18) εἷς ἐστιν.

A *est mediator Dei et hominum. Mediator vero uniu non est : Deus autem unus est* [60].

12. Διὸ πλανῶνται καὶ οἱ λέγοντες, ὅτι ἄλλος ἐστὶν ὁ παθὼν Υἱὸς, καὶ ἄλλος ὁ μὴ παθών. Οὐ γὰρ ἕτερός ἐτι παρὰ τὸν Λόγον (19), ὁ τὸν θάνατον καὶ τὸ πάρος ἀναδεδεγμένος· ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ (20) ἀσώματος Λόγος, γενέσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος, τὰ πάντα πεπλήρωκεν, ἵνα ἔχῃ τι, ὃ προσενέγκῃ ὑπὲρ ἡμῶν. Καὶ λέγεται κρείττων γενόμενος τῶν ἀγγέλων (21). οὐκ αὐτὸς ὁ ποιητὴς τῶν ἀγγέλων Λόγος κρείττων γέγονεν, ὡς ἥττων ὢν ποτε, ἀλλὰ ἡ μορφὴ τοῦ δούλου, ἣν αὐτὸς ὁ Λόγος ἰδιοποιήσατο φυσικῇ γεννήσει, κρείττων ἀνατείλασα ἐκ τῆς τοῦ πρωτοπλάστου γενέσεως, καὶ ἡμᾶς προσοικειοῦται, ὡς εἰρηται, συμπολίτως τῶν ἁγίων καὶ οἰκείους Θεοῦ γενομένους (22)· καὶ κατὰ φύσιν Θεοῦ γέγονεν, ἰδία οὐχ ὁμοούσιος οὖσα ἡ σὰρξ τῆς τοῦ Λόγου θεότητος, ὡς συναίδιος· ἀλλὰ ἰδία κατὰ φύσιν γενομένη, καὶ ἀδιαίρετος κατὰ ἕνωσιν, ἐκ σπέρματος Δαβὶδ, καὶ τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἀδὰμ (23), ἐξ οὗ καὶ ἡμεῖς γεγεννήμεθα. Εἰ δὲ ὁμοούσιος τοῦ Λόγου ἡ σὰρξ καὶ συναίδιος, ἐκ τούτου ἐρεῖτε καὶ τὰ πάντα κτίσματα συναίδια τῷ τὰ πάντα κτίσαντι Θεῷ. Καὶ πῶς ἔτι Χριστιανοὶ, οἱ τοιαύταις συμπλεκόμενοι στραγγαλιαῖς; Τὸ γὰρ ὁμοούσιον καὶ ἀπαθὲς καὶ ἀνεπίδεκτον θανάτου, πρὸς (24) τὸ ὁμοούσιον ἕνωσιν καθ' ὑπόστασιν οὐκ ἐπιδεχόμενόν ἐστιν, ἀλλὰ κατὰ φύσιν· καθ' ὑπόστασιν δὲ τὴν ἰδίαν τελειότητα ἐκδεικνύμενον (25). Ὥστε τῇ νομιζομένῃ ὑμῶν εὐφήμῳ ἐφευρέσει, ἢ τὴν ἐκ τῆς Παρθένου τῆς Θεοτόκου σάρκα ἀρνεῖσθε, ἢ τὴν θεότητα βλασφημεῖτε. Εἰ δὲ οὕτω καὶ τὸν Υἱὸν ὁμολογεῖτε ὁμοούσιον τῷ Πατρὶ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τὴν σάρκα τὴν παθοῦσαν (26)· καὶ τί ἔτι ἡμᾶς μέμφεσθε, ὡς τέτράδα ἀντὶ Τριάδος λέγοντας, αὐτοὶ τετράδα ἀντὶ Τριάδος καὶ ἄκοντες ὁμολογοῦντες, λέγοντες ὁμοουσίαν εἶναι τῇ Τριάδι τὴν σάρκα; Τοίνυν ματαία ἡ πίστις ὑμῶν ἐστιν· ἴσα γὰρ φρονεῖτε τῶν ἀσεβῶν Ἀρειανῶν, κακῶς ἐκλαμβάνοντες τό, Ὁ Λόγος σὰρξ ἐγένετο (27)· Ὁ Λόγος δὲ σὰρξ ἐγένετο, οὐχ ἵνα ὁ Λόγος μηκέτι ᾖ Λόγος· ἀλλ' ἵνα ἐκ σαρκὶ ᾖ ὁ Λόγος, σὰρξ ἐγένετο, ἵνα καὶ ὁ Λόγος ἀεὶ ᾖ Λόγος, καὶ σάρκα ἔχῃ ὁ Λόγος, ἐν ᾗ τὸ πάθος καὶ τὸν θάνατον ἀνεδέξατο ἐν μορφῇ τῇ ἀνθρωπίνῃ, μέχρι τάφου καὶ ᾅδου ἐπιβὰς, ἐν ᾗ καὶ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν πεποιηται, σαρκὸς καὶ αἵματος καὶ ψυχῆς τὴν ἐπίδει-

12. Quapropter errant qui dicunt, alium esse qui passus est Filius, et alium qui passus non est. Non enim alius est quam ipsum Verbum, quod passionem et mortem susceperit. Sed illud ipsum, incorporeum et impassibile Verbum, cum generationem carnis subire dignatum esset, omnia implevit, ut haberet quod pro nobis offerret. Et dicitur, melius angelis factum, non quod Verbum factor angelorum, melius factum sit, quasi aliquando minus illis fuerit : sed forma servi, quam ipsum Verbum propriam sibi naturali generatione reddidit, melior ex protoplasti generatione exorta est, nosque illi affines reddidit, ut dictur est, cives B sanctorum, et familiares Deo effectos : caro secundum naturam propria Deo facta est, nec tamen consubstantialis est Verbi deitati, quasi illi coæterna esset. Sed propria illi secundum naturam facta, et indivisibilis propter unionem : ex semine David, Abrahæ, et Adæ, ex quo et nos progeniti sumus. Quod si Verbo consubstantialis est caro, et coæterna ; jam hinc dicetis omnes creaturas omnium creatori Deo coæternas esse. At qui, quæso, adhuc Christiani eritis, qui talibus vos laqueis implicatis? Nam quod sonsubstantiale, impassibile, et mortis incapax est, unionem cum consubstantiali non admittit secundum hypostasin, sed secundum naturam : porro secundum hypostasin, propriam perfectionem exhibet. Itaque per religiosum, ut æstimatis, vestrum commentum, C aut carnem ex Virgine et Delpara assumptam negatis, aut in deitatem blasphemaiis. Si autem eo modo Filium, necnon Spiritum sanctum Patri consubstantialem confiteamini, quo carnem quæ passa est : ecquid ergo nos adhuc accusatis, ut qui quaternitatem pro Trinitate dicamus, cum ipsi quaternitatem pro Trinitate vel inviti confiteamini, dum dicitis, consubstantialem Trinitati carnem esse? Itaque vana est fides vestra : paria enim sentitis cum impiis Arianis, male accipientes illud : *Verbum caro factum est.* Porro Verbum caro factum est, non ut Verbum non amplius Verbum esset ; sed Verbum, ut in carne esset, caro factum est, ut et Verbum semper Verbum esset, et Verbum D carnem haberet ; in qua passionem et mortem sub

[60] Galat. III, 20.

(18) Sic Seg. et Græc. Script. textus. Editi vero, ὁδὲ Υἱός. Infra post παθών, legitur υἱός in editis, sed deest in Seg.

(19) Sic Seg. Gobl. et Felc. 1. Editi vero, παρὰ τὸν Υἱὸν τοῦ Θεοῦ.

(20) Καί deest in Seg. ; et in eadem infra, ἀνθρωπίνης deest. Mox idem, ἔχῃ τί πρεσενέγκῃ.

(21) Seg. Cobl. Felckm. 1, γενόμενος ἀγγέλων, οὐ πάντως ὁ ποιητής.

(22) Seg. et Gobl. ὡς εἴρηται πρὸς τῶν ἁγίων, καὶ οἰκεῖοι (Gobl. καὶ οἰκείους) τοῦ Θεοῦ, καὶ Θεοῦ κατὰ φύσιν γέγονεν ἰδία.

(23) Hæc, καὶ τοῦ Ἀδάμ, desunt in Seg. Gobl. et Felckm. 1. Paulo post, in iisdem, τοῦ Λόγου deest. Mox iidem, ἐκ τούτου ἐρεῖτε.

(24) Seguerian. Goblerian. et Felckm. 1 omittunt πρός.

(25) Seguerianus, ἐπιδεχόμενον.

(26) Seg. Gobl. et Felckm. 1, τὴν σάρκα τὴν παθοῦσαν, ματαία ἡ πίστις ὑμῶν, multis omissis, ut et Nannius.

(27) Seg. Gobl. et Felckm. 1, Ὁ Λόγος σὰρξ ἐγένετο, οὐχ ἵνα ἡ σὰρξ μηκέτι ᾖ Λόγος (Goblerian. et Felckm. 1, Λόγου), ἀλλ' ἵνα ἡ σὰρξ ᾖ Λόγος· Ἀ. λ' ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ὁ Λόγος. Paulo post, ἐν, ante μορφῇ, deest in Seg.

744 humana forma susciperet, ac usque ad sepulcrum et infernum descenderet; in qua et resurrectionem ex mortuis perfecit, carnisque et sanguinis atque animæ indicia præbuit Deus Verbum, per proprium et inseparabilem, ut scriptum est, carnem, ex semine David. Quid enim aliud dixit Marcion quam quæ vos profertis? Nonne corpus quod ex cœlo apparuit in similitudine humana, et non in veritate? Quid item aliud locutus est Manichæus? Nonne divina specie corpus, sola cujus naturam et non operationem, peccatum esse impie affirmat? Hujusmodi est illorum impietas.

A ξιν ποιησάμενος ὁ Θεὸς Λόγος, διὰ ἰδίας καὶ ἀδιαιρέτου σαρκὸς, ὡς γέγραπται, ἐκ σπέρματος Δαβίδ. Τί γὰρ ἕτερον παρ' ὑμᾶς εἶρηκε Μαρκίων; Οὐχὶ οὐρανὸς νοφανὲς τὸ σῶμα ἐν ὁμοιώσει ἀνθρωπίνῃ, (28), καὶ οὐκ ἀληθείᾳ; Τί δὲ ἄλλο εἶρηκε Μανιχαῖος; Οὐ θεοειδὲς, οὐ τὸ σῶμα ἐν ὁμοιώσει τῇ καθ' ἡμᾶς μόνῃ, ἀλλότριον δὲ σαρκὸς ἀνθρωπίνης, ἧς τὴν φύσιν ἁμαρτίαν λέγει ἀσεβῶν, καὶ οὐ τὴν πρᾶξιν; Τοιαύτη τούτων ἡ ἀσέβεια.

13. Quamobrem nefas est pium hominem hujusmodi verborum commentis uti: sed dicendum est Verbum quod ante sæcula consubstantiale est Patri, in extremis temporibus, ex sancta et Deipara Virgine, Adæ plasma et opificium novum restituisse, cum illud sibi per unionem proprium effecit: atque ita visus est homo Christus, qui ante sæcula Deus erat. Et nos membra Christi sumus, ut scriptum est, ex carne et ex ossibus ejus. Quorsum igitur hæc vestrarum inventionum contentio; ut per humanam sapientiam, ea quæ humanam intelligentiam superant definiatis, dum dicitis, vice interioris nostris hominis, mentem cœlestem in Christo fuisse? O nefariam sententiam, et infirma indecoraque verba: hominum sane qui non prius animadvertere, Christum non singulariter dici, sed in illo ipso nomine quod unicum est, rem utramque significari, divinitatem nempe et humanitatem. Ideoque homo dicitur Christus, Deus quoque dicitur Christus, ac Deus et homo est Christus, et unus est Christus. Vanum itaque est vestrum sophisma, quo aliud in Christo præter ipsum Christum conspicere nitimini. Illi quidem qui abusive dicuntur Christi, forte, juxta sententiam vestram spectari possent: qui vero per naturam solus verus est Christus, non ab humana ratione describetur, quod vos temere tentatis, homines sane arrogantia plenissimi. Neque enim propheta, neque apostolus, neque evangelistarum quispiam, illa protulit, quæ vos inpudenti plane animo loqui auditis. Si enim alter est Christus a cœlesti mente in eo sita, perfectaque est mens illa, duo ergo, secundum vos, erunt: et sic in eam reciditis sententiam, quam videmini maledictis insectare. Cœlestem vero mentem prophetæ quoque habuere, qui cœlestia et futura, quasi præsentia fuissent, eloquebantur. Quid igitur hæc omnino dicere in similitudine corpus, ad humana carne alienum: cujus naturam et non operationem, peccatum esse impie affirmat? Hujusmodi est illorum impietas.

13. Διὸ οὐ δεῖ τὸν εὐσεβοῦντα τοιαύταις χρῆσθαι ἐπινοίαις· ἀλλ' ὅτι ὁ πρὸ τῶν αἰώνων ὁμοούσιος ὢν Λόγος τῷ Πατρὶ, ἐπ' ἐσχάτων ἐκ γῆς ἁγίας καὶ Θεοτόκου Παρθένου (29) τὴν τοῦ Ἀδὰμ πλασιν καὶ ποίησιν καινὴν ἀνεστήσατο, ἰδιοποιησάμενος καθ' ἕνωσιν· καὶ οὕτως ὤφθη ἄνθρωπος ὁ Χριστὸς, ὁ πρὸ αἰώνων Θεός. Καί ἐσμεν ἡμεῖς μέλη Χριστοῦ, ὡς γέγραπται, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Τί οὖν ἡ τοσαύτη ὑμῶν φιλοτεικία τῶν ἐφευρέσεων, ὅπως ἀνθρωπίνῃ φρονήσει ὑπὲρ τὴν ἀνθρωπίνην νόησιν ὁρίζεσθαι, λίγοντες· Ἀντὶ τοῦ ἔσωθεν ἐν (30) ἡμῖν ἀνθρώπου νοῦς ἐπουράνιος ἐν Χριστῷ; Ὦ τῆς ἀθέσμου γνώμης, καὶ τῶν ἀσθενῶν καὶ ἀπρεπῶν ῥημάτων, τῶν μὴ νοούντων πρῶτον τοῦτο, ὅτι Χριστὸς μονοτρόπως οὐ λέγεται, ἀλλ' ἐν αὐτῷ τῷ ὀνόματι ἑνὶ ὄντι ἑκατέρων τῶν πραγμάτων δείκνυται σημασία, θεότητός τε (31) καὶ ἀνθρωπότητος. Διὸ καὶ ἄνθρωπος λέγεται ὁ Χριστὸς, καὶ Θεὸς λέγεται ὁ Χριστὸς, καὶ Θεὸς καὶ ἄνθρωπός ἐστιν ὁ Χριστὸς, καὶ εἷς ἐστιν ὁ Χριστός. Μάταιον οὖν ὑμῶν τὸ σόφισμα ἐπιχειρούντων ἕτερόν τι παρὰ τὸν Χριστὸν ἐν αὐτῷ θεωρεῖν. Οἱ μὲν γὰρ καταχρηστικῶς λεγόμενοι Χριστοὶ, ἴσως καθ' ὑμᾶς ἂν θεωροῖντο· ὁ δὲ κατὰ φύσιν μόνος ἀληθινὸς Χριστὸς οὐχ ὑπὸ ἀνθρωπίνου λογισμοῦ διαγραφήσεται, ὥσπερ ὑμεῖς τολμᾶτε (32), καὶ αὐθάδεις γεγόντες. Οὐδὲ γὰρ προφήτης, οὐδὲ ἀπόστολος, οὔτε τις τῶν εὐαγγελιστῶν ταῦτα ἐφθέγξατο, ἃ ὑμεῖς λαλεῖν ἐπιχειρεῖτε, ἀναιδεῖς τὴν ψυχὴν (33) γεγονότες. Εἰ γὰρ ἕτερός ἐστιν ὁ Χριστὸς παρὰ τὸν ἐπουράνιον νοῦν τὸν ἐν αὐτῷ γενόμενον, τέλειος δὲ καὶ ὁ νοῦς, δύο ἄρα καθ' ὑμᾶς· καὶ ὅπερ δυσφημεῖν (34) δοκεῖτε, τοῦτο ἐλέγχεσθε φρονοῦντες. Νοῦν δὲ ἐπουράνιον καὶ οἱ προφῆται, ἐσχήκασιν, οἱ τὰ ἐπουράνια καὶ τὰ μέλλοντα ὡς παρόντα λαλήσαντες. Διατί δὲ ὅλως ταῦτα λέγειν ἐπινοεῖτε, ὡς τοῦ ἔσωθεν (35) ἡμῶν ἀνθρώπου οὐχ ὁμολογουμένου ἐν Χριστῷ; Τί οὖν περὶ τῆς ψυχῆς ἐρεῖτε, ὅτι καὶ τὸ σῶμα, καὶ ἡ ψυχὴ ὁ ἔξωθέν ἐστιν ἄνθρωπος, ὡς ὁ

(28) Prius editi habent, ἀνθρωπίνῃ μόνῃ, sed μόνῃ abest, et quidem recte, a Seg. Gobi. et Felck. 1. Paulo post, editi habent, ἐν ὁμοιώσει τῇ καθ' ἡμᾶς μόνῃ. At hæc, τῇ καθ' ἡμᾶς, desunt in Seg. Gobl. et Felckm. 1.

(29) Παρθένου deest in Gobl. et Felckm. 1. Paulo post, Seg., pro καθ' ἕνωσιν, gabet κατὰ φύσιν, atque ita legit Nannius.

(30) Sic omnes fere manuscripti. In editis autem ἐν deest.

(31) In Seg. τε deest. Infra Gobl. et Felckm. 1, λέγεται ὁ Χριστὸς καὶ Θεὸς, καὶ εἷς ἐστιν ὁ Χριστός. Basil. hæc omittit, καὶ εἷς ἐστιν ὁ Χριστός.

(32) Seguer. Gobl. et Felckm. 1, τολμᾶτε· Editi minus recte, τολμηταί. Mox iidem, Οὔτε γὰρ προφήτης... οὔτε ἀπόστολος... οὐδέ τις.

(33) Seguerianus, τῇ ψυχῇ. In eodem mox, ἐστὶ deest.

(34) Editi, δύσφημον. Nos Seg. secuti sumus qui habet, δυσφημεῖν, et ita legit Nannius. Infra Seg. τὰ οὐράνια καὶ τὰ μέλλοντα. Mox Gobl. et Felck. 1, λαλοῦντες.

(35) Seg., ἔσω. Paulo post, Seg. Gobi. et Felc. 1, Τί οὖν καὶ περί.

εἴποι τις, τὸ αἷμα καὶ τὴν σάρκα ; Ἀλλ' ὥσπερ τὸ σῶμα καὶ τὸ αἷμα οὐ διαφεύγουσι τὴν ψηλάφησιν καὶ τὴν τρῶσιν ὁρατὰ ὄντα, δείξατε ἡμῖν καὶ τὴν ψυχὴν μὴ διαφεύγουσαν ταῦτα, καὶ ὁρατὴν οὖσαν, Ἢ, εἰ μὴ δύνασθε δεῖξαι, φανερός ἐστιν ὁ λόγος. ὅτι οὔτε ὁρᾶται ψυχὴ, οὔτε ἀποκτείνεται ὑπὸ ἀνθρώπου ὥσπερ τὸ σῶμία, καθὼς εἴρηκεν (36) ὁ Κύριος. Πείσθητε οὖν, ὅτι ὁ ἔσωθεν ἡμῶν ἄνθρωπός ἐστιν ἡ ψυχή · τοῦτο καὶ τῆς πρώτης πλάσεως δεικνυούσης, καὶ τῆς δευτέρας διαλύσεως δηλούσης · οὐ μόνον ἐφ' ἡμῖν τούτων δεικνυμένων, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ θανάτῳ τοῦ Χριστοῦ ἐδείκνυτο · τὸ μέν τοι, μέχρι τάφου φθάσαν · ἡ δὲ, μέχρι ᾅδου διαβᾶσα. Διαιρετῶν δὲ ὄντων τῶν τόπων πολλῷ τῷ μέτρῳ, καὶ τοῦ μὲν τάσου σωματικὴν ἐπιδεχομένου τὴν ἐπίβασιν, ἐκεῖσε παρῆν τὸ σῶμα, τοῦ δὲ ᾅδου ἀσώματον. A animum induxistis, quasi vero in confesso non esset, interiorem nostrum hominem in Christo esse ? Cur hoc de anima quoque loquimini, nempe corpus et animam esse exteriorem hominem, ut de sanguine et carne quis dixerit ? Sed sicut corpus et sanguis contactum et vulnera non effugiunt cum sint visibilia ; ostendite nobis animam quoque illa non effugere et visibilem esse. Aut si ostendere non potestis, manifestum est, neque videri animam, neque ab homine sicut corpus occidi posse, ut dixit Dominus. Credite igitur interiorem nostrum hominem esse animam : quod sane et prima formatio comprobat, et sequens dissolutio propalam facit : atque non solum in nobis, sed et in ipsa Christi morte 745 idipsum commonstratur : quando corpus quidem usque ad sepulcrum tantum pervenit : anima vero ad infernum usque transmeavit : locisque multo spatio ditantibus, sepulcrum quidem corporalem adventum excepit, ac ibi corpus adfuit, infernus vero incorporeum admisit.

14. Πῶς (37) ἐκεῖ παρὼν ὁ Κύριος ἀσωμάτως, ὡς ἄνθρωπος ἐνομίσθη ὑπὸ τοῦ θανάτου ; ἵνα ψυχαῖς ταῖς ἐν δεσμοῖς κατεχομέναις, μορφὴν ἰδίας ψυχῆς ἀνεπίδεκτον ὡς δεκτικὴν τῶν δεσμῶν τοῦ θανάτου παραστήσας, παροῦσαν παρούσαις, διαῤῥήξῃ τὰ δεσμὰ ψυχῶν τῶν ἐν ᾅδῃ κατεχομένων, τὸν τῆς ἀναστάσεως διαπηξάμενος ὅρον · ἵνα ὁ πλάστης καὶ ποιητὴς τοῦ ἀνθρώπου, καὶ καταδίκῃ τοῦτον ὑποβαλὼν, αὐτὸς παρὼν, ἐλευθερώσῃ δι' ἑαυτοῦ ἐξ ὁλοκλήρου τὸν ἄνθρωπον ἐν μορφῇ τῇ ἑαυτοῦ. Οὔτε γὰρ θάνατος ὑπερισχύσας ὑπηγάγετο ἑαυτῷ τὴν ἀνθρωπίνην τοῦ Λόγου (38) ψυχὴν εἰς δεσμῶν κατοχήν · οὔτε πάλιν ἡ φθορὰ τυραννικῶς διαρπάσασα τὸ σῶμα ἐνεργεῖ εἰς διαφθοράν, ὡς ἀπρονοήτων ὄντων τῶν πραγμάτων. Οὕτως γὰρ ἐννοεῖν τὸ τοιοῦτον ἀσεβές · ἀλλ' ὁ τὴν ἐξέτασιν τῆς παρακοῆς ποιησάμενος καὶ κρίσιν ἐπαγαγὼν (39), διπλῆν τῆς τιμωρίας τὴν ἀπόφασιν δέδωκε · τῷ μὲν γηΐνῳ εἰρηκώς · Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ · καὶ οὕτως ὑποδέχεται φθορὰ τὸ σῶμα, Δεσπότου ἀποφηναμένου · τῇ δὲ ψυχῇ · Θανάτῳ ἀποθανῇ · καὶ οὕτως διχῇ διαιρεῖται ὁ ἄνθρωπος, καὶ ἐν δυσὶ τόποις οἴχεσθαι καταδικάζεται (40) . Διὰ τοῦτο χρεία γέγονε τοῦ ἀποφηναμένου, ἵνα αὐτὸς δι' ἑαυτοῦ λύσῃ τὴν ἑαυτοῦ ἀπόφασιν, ἐν μορφῇ τοῦ καταδικασθέντος ἀκαταδικάστῳ καὶ ἀναμαρτήτῳ ὀφθείς · ἵνα καὶ ἡ καταλλαγὴ τοῦ Θεοῦ πρὸς τόν ἄνθρωπον γένηται, καὶ ἡ ἐλευθερία τοῦ παντὸς ἀνθρώπου δι' ἀνθρώπου (41) ὑπάρξῃ, ἐν τῇ καινότητι B 14. Qua ratione igitur, cum Dominus illic incorporaliter adesset, homo tamen a morte existimatus est ? ut animabus in vinculis detentis, propriæ animæ formam, incapacem vinculorum mortis, quasi capacem exhibens, præsentibus præsentem, vincula animarum in inferno detentarum disrumperet, resurrectionisque terminum designaret : ut conditor, et factor hominis, et qui hominem damnationi subjecerat, ipse præsens per seipsum, hominem plane in sua ipsius forma liberaret. Nequaquam enim tanta mortis vis fuit, ut subjiceret sibi humanam Verbi animam, ac eam in vinculis detineret : neque rursum corruptio tyrannicam in corpus ejus vim sibi arrogavit, ut putrefaceret ipsum, quasi res nulla providentia gererentur. Ita enim ea de re cogitare, impium fuerit ; sed qui de hominis inobsequentia C quæstionem habuit, judicium dedit, quo duplicem pœnæ sententiam protulit, terreno corpori dicens : *Terra es, et in terram revertéris*[61] ; atque ita Domino sententiam ferente, corruptio corpus excipit ; animæ autem, *Morte morieris*[62] ; et sic duas dividitur partes homo, damnaturque ad duo secedere loca. Quocirca opus fuit judicante, ut ipse per sese suum solveret decretum, dum in forma damnati, indemnata, et peccati experte visus est ; ut et reconciliatio Dei cum homine fieret, et libertas totius hominis per hominem oriretur in novitate imaginis Filii ejus Jesu Christi Domini nostri. Quod si mihi

[61] Gen. III, 19. [62] Gen. II, 18.

(36) Seg., προείρηκεν. Mox Anglican., Seg. Gobl. Felckm, 1, ὁ ἔσω ἡμῶν ἄνθρωπος.

(37) Ἵνα (Seguer. ὅπως) ψυχῇ τῇ ἐν δεσμοῖς κατεχομένῃ τούτῳ τοῦ Ἀδὰμ μορφήν, sic Seguer, Gobler. et Felc. 1, sed mendose, ut videtur. Mox ὡς δεστικήν quod in editis deerat, ex iisdem mss. restituimus, et sic legerat Nannius. Paulo post, παροῦσα παρουσῶν, sic iidem mss. perperam. Mox Seguer., ᾅδου.

(38) Τοῦ Λογου deest in editis Græcis, sed exprimitur in Latinis, et in Segueriano habetur. Mox idem cum Gobler. et Felckm, 1, ἢ πάλιν ἡ φθορά. Mox Seguer. ; αὐτοῦ τὸ σῶμα. Ibid. omnes mss., διαφσοράν. Editi, διαφοράν, male.

(39) Seguer. Gobler. et Felck. 1. ἐναγαγών. Infra editi, ὑποδέχεται φθορά, sed vox φθορά abest in Seguer., nec expressa est a Nannio.

(40) Ita Seguer. Gobler. et Felc. 1. Editi vero et alii, ἐκαταδικόσθη. Infra Anglic. Seguer. Gobler. et Felc. 1, ἀκαταδικάστως καὶ ἀναμαρτήτως. Editi et alii, ἀκαταδικάσιῳ καὶ ἀναμαρτήτῳ, utraque lectio quadrare videtur.

(41) Hæc, δι' ἀντρώπου, desunt in Seguer. Gobler. et Felckm. 1. Mox omnes fere mss., τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ. Editi, τοῦ Υἱοῦ τοῦ Ἰησοῦ.

alium damnationis locum, præter hos duos indicare valetis, merito dixeritis, in tres partes dividi hominem : et ex duobus quidem locis revocationem factam esse ; in tertio vero tertiam partem manere vinculis colligatam. Si vero nullum alium locum ostendere potestis, præter sepulcrum et infernum, ex quibus homo perfecte ereptus sit (Christus per suam perfectam et verissimam formam nostræ similem, nos liberante), cur adhuc talia profertis, quasi Deus humano generi nondum reconciliatus sit ? Quomodo igitur Salvator advenit ? an quod non posset totum solvere hominem ? an quod mentem quæ semel peccaverit sit exsecratus ? an quasi timeret, ne et ipse peccati particeps esset, si, cum Deus sit, perfectus homo fieret ? Sed impietatis pleni sunt, qui hæc ita cogitant. Quam enim peccato definitionem tribuitis, qui hæc loquimini, peccatum aientes ex natura esse, ut dixit impiissimus Manichæus ?

15. Hæc dum ita sentitis, creatoris naturæ criminatores estis. Cum ab initio Deus Adam efformavit num innatum ipsi peccatum effecit ? Quid igitur præcepto opus fuit ? cur illum damnavit quod peccasset ? quo pacto Adam ante inobedientiam non cognoverit bonum et malum ? Quem scilicet Deus creavit in incorruptione, et ad imaginem suæ æternitatis, eumdem natura peccati experte, et voluntate libera donavit : *Invidia autem diaboli mors intravit in mundum* [63], cum 746 is transgressionis artifex auctorque fuit. Et sic ex transgressione præcepti Dei, factus est homo capax inducti ab inimico seminis. Ac deinceps peccatum in hominis natura ad omnem concupiscentiam movebat : non quod diabolus eam in illo naturam efformasset, absit ! neque enim diabolus naturæ creator fuerit, ut Manichæorum fert impietas ; sed ex prævaricatione, naturæ perversionem effecit : sicque regnavit mors in omnibus hominibus. *In hoc*, inquit, *venit Filius Dei, ut dissolvat opera diaboli* [64]. Quænam opera diaboli dissolvit Filius Dei ? quam fecit Deus naturam sine peccato, eam ipsam ad transgressionem mandati Dei, pervertit diabolus, et ad inventionem peccati mortis eamdem sibi ipsi restauravit Deus Verbum, incapacem diabolicæ perversionis, et inventionis peccati. Ideoque aiebat Dominus : *Venit princeps mundi hujus, et in me non invenit quidquam* [65]. Quod si princeps mundi hujus nihil operum suorum in Christo invenit, multo magis Christus nihil ex suis opifi-

[63] Sap. II, 24. [64] I Joan. III, 8. [65] Joan. XIV, 30.

(42) Sic Seguer. cui consentit Nannius. In editis, λέγοιτο. Mox idem Seguer., τὴν ἀπάκλησιν γεγονέναι, ἐν δὲ τῷ τρίτῳ μένειν ἐν δεσμοῖς τὸ δεδ... Paulo secus in editis, qui habent, τὴν ἀνάκ... γενομένην... μένει, etc.

(43) Τῇ ἀνθρωπότητι deest in Seguer. solo. Mox Seguer. Gesbler. et Felc. 1, ἢ ὡς ἀδυνάτου ὄντος λῦσαι τὸν σύμπαντα ἄνθρωπον, ἢ ὡς βδελυξαμένοτ τὸν ἁμαρτήσαντα, ἢ ὡς δεδοικότος μὴ καὶ αὐτ.

(44) Hæc afferuntur in synodo Constantinop. III, tom. VI *Concil.* p. 762 et 812.

(45) Sic Seguer. Gobler. et Felckm. 1, et synod. Constant. ; in editis, ἀφθαρσίαν καὶ εἰκόνα.

(46) Ita Seguer. Gobler. et Felc. 1. Editi ἐνήργει. Mox, ἐν τῇ φύσει, habent Seguer. G et Felc. 1. Editi, ἐν τῇ προθέσει.

(47) Ita Seguer. Gobler. et Felc. 1 consequ ad superiorem lectionem. Editi, προθέσεως.

(48) Gobler. et Felc. 1, τοῦ διαβόλου. Ποῖα ὅτι φύσιν.

(49) Ita Seguer. Anglican. Gobler. et Felc. editis deest ἁμαρτίας. Mox τούτου post κ deest in Seguer. Ibid. Seguer. Gobler. et Fe εὑρήσει.

A τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ ρίου ἡμῶν. Εἰ δὲ καὶ ἕτερον τόπον καταδίκης δύνασθε, εἰκότως ἂν λέγοιτε (42) τριχῇ διαιρ τὸν ἄνθρωπον· καὶ ἐκ μὲν τῶν δύο τόπων τὴν κλησιν γεγονέται, ἐν δὲ τῷ τρίτῳ μένειν ἐν δε τὸ δεδεμένον. Εἰ δὲ μὴ ἔχετε δεῖξαι ἕτερον παρὰ τὸν τάφον καὶ τὸν ᾅδην, ἐξ ὧν ἠλευθέ τελείως ὁ ἄνθρωπος, Χριστοῦ ἐλευθερώσαντος ἐν τῇ ἑαυτοῦ καθ' ἡμᾶς μορφῇ τελείᾳ καὶ θεστάτῃ· πῶς ἔτι ταῦτα λέγετε, ὡς οὐδέπω κ λαγέντος τῇ ἀνθρωπότητι (43) τοῦ Θεοῦ ; Πῶ ἐπεδήμησεν ὁ Σωτήρ ; ἢ ὡς ἀδύνατος τὸν σύμ λῦσαι ἄνθρωπον ; ἢ ὡς βδελυξάμενος τὸν ἅπαξ τήσαντα νοῦν ; ἢ ὡς δεδοικὼς μὴ καὶ αὐτὸς μέ γένηται τῆς ἁμαρτίας, εἰ τέλειος γένηται ἄνθρ

B Θεὸς ὤν ; Ἀλλ' ἀσεβείας ἔμπλεοι οἱ ταῦτα οὕτ νοοῦντες. Τί γὰρ περὶ τῆς ἁμαρτίας ὁριζόμενοι λαλεῖτε, φυσικὴν εἶναι τὴν ἁμαρτίαν λέγοντες, τὸν ἀσεβέστατον Μανιχαῖον ;

15. Ταῦτα οὕτως φρονεῖτε κατήγοροι γιν τοῦ δημιουργοῦ τῆς φυσεως (44), Ὅτε τὸν ἀρχῆθεν ἔπλασεν ὁ Θεὸς, μήτιγε σύμφυτον δέδωκε τὴν ἁμαρτίαν ; Τίς οὖν ἔτι χρεία ἦν τῆς λῆς ; πῶς δὲ αὐτὸν κατεδίκασεν ἁμαρτήσαντα ; δὲ καὶ πρὸ τῆς παρακοῆς οὐκ ἐγίνωσκε καλὸ πονηρὸν ὁ Ἀδάμ ; Ὃν ἔπλασεν ὁ Θεὸς ἐπ' ἀρ καὶ εἰκόνι (45) τὴν ἰδίας ἀϊδιότητος, ἐποίησεν φύσιν ἀναμάρτητον, καὶ θέλησιν αὐτεξούσιον· ὁ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κό εὑραμένου τῆς παραβάσεως τὴν ἐπίνοιαν. Καὶ ὁ ἐκ παρακοῆς ἐντολῆς Θεοῦ γέγονεν ὁ ἄνθρ

C δεκτικὸς τῆς ἐπισπορᾶς τοῦ ἐχθροῦ. Καὶ ἐνήργει λοιπὸν ἡ ἁμαρτία ἐν τῇ φύσει τοῦ ἀνθρώπου π πᾶσαν ἐπιθυμίαν (46) οὐ φύσιν ἐν αὐτῷ ἐργασαμένου διαβόλου, μὴ γένοιτο ! οὐδὲ γὰρ φύσεως ἦν ἐπ μιουργός ὁ διάβολος, κατὰ τὴν τῶν Μανιχαίων δειαν· ἀλλὰ φύσεως (47) παρατροπὴν ἐκ παραβ εἰργάσατο· καὶ οὕτως ἐβασίλευσεν ὁ θάνατος π ἀνθρώπων. Διὰ τοῦτο οὖν, φησὶν, ἦλθεν ὁ τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου Ποῖα ἔργα τοῦ διαβόλου ἔλυσεν ὁ Υἱὸς τοῦ Θεοῦ φύσιν, ἣν ἐποίησεν ὁ Θεὸς ἀναμάρτητον, παρέ ὁ διάβολος εἰς παράβασιν ἐντολῆς Θεοῦ, καὶ ἐ ἁμαρτίας θανάτου, ταύτην ἑαυτῷ ὀνεστήσατο ὁ Λόγος, ἀνεπίδεκτον τῆς τοῦ διαβόλου παρατ καὶ εὑρέσεως ἁμαρτίας (49). Καὶ διὰ τοῦτο ἦ

ταῖς ψυχαῖς εὐηγγελίζετο · ἐν δὲ σώματι Χριστοῦ (13) ἡ φθορὰ κατηργεῖτο, καὶ ἡ ἀφθαρσία ἐκ τάφου ἐδείκνυτο. Ὥστε οὐκ ἄνθρωπος Θεοῦ ἐχωρίζετο, οὔτε Θεὸς πρὸς ἄνθρωπον ἐγκατάλειψιν διηγεῖτο, οὔτε ἡ νέκρωσις καὶ τοῦ πνεύματος ἀποχώρησις (14) Θεοῦ ἀπὸ σώματος ἦν μετάστασις, ἀλλὰ ψυχῆς ἀπὸ σώματος χωρισμός · ὁ γὰρ ἡμέτερος ἐκεῖ διεγράφετο θάνατος. Εἰ δὲ ὁ Θεὸς ἐχωρίσθη τοῦ σώματος, καὶ οὕτως (15) ἡ νέκρωσις ἐδείκνυτο, πῶς τὸ σῶμα, χωρισθὲν τοῦ ἀφθάρτου Θεοῦ, τὴν ἀφθαρσίαν ἐπεδείκνυτο ; πῶς δὲ καὶ ὁ Λογὸς τὴν εἰς ᾅδου ἐπίβασιν ἐποιήσατο ; ἢ πῶς τὴν ἐξ ᾅδου ἀνάστασιν ἐπεδνίκνυτο ; μήτιγε αὐτὸς ἀντὶ τῆς ἡμετέρας ψυχῆς ἀνίστατο (16), ἵνα τῆς ἡμετέρας ἀναστάσεως τὴν εἰκόνα ἁρμόσηται ; Καὶ πῶς οἷόν τε περὶ Θεοῦ ταῦτα ἐννοεῖν ; Ἀσύμφωνος τοίνυν ταῖς ἁγίαις Γραφαῖς ὁ ὅρος ὑμῶν, καὶ ἀνάρμοστος τῆς πληρωθείσης οἰκονομίας ἡ γνώμη ὑμῶν. Καὶ τὸ, Κάθου ἐκ δεξιῶν μου, οὐκ ἀνθρώπου μὲν τὸ ἀξίωμα, ἀλλὰ Θεοῦ. Ἀλλ' ἐπειδὴ τὸ τοῦ Θεοῦ ἀξίωμα ἀνθρώπου ἀξίωμα γέγονεν, ἵνα τὸ τοῦ ἀνθρώπου ἀξίωμα Θεοῦ ἀξίωμα πιστευθῇ (17) εἴρηται · Κάθου ἐκ δεξιῶν μου, καὶ, Δόξασόν με, Πάτερ, τῇ ἀϊδίῳ δόξῃ. Οὐ χωρισθεὶς τῆς δόξης τοῦτο λέγει, ἀλλ' ἐν ἀδόξῳ σώματι γεγονώς, ἵνα δείξῃ οὐ χωριζομένην τῆς θείκης δόξης τὴν τοῦ δούλου μορφήν, ἀλλὰ ταύτην ἐπιδεικνυμένην. Διὸ λέγει · Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω, μίαν τὴν πρὸ σώματος καὶ ἐν σώματι δόξαν δεικνύς, ὡς φησιν ὁ Ἀπόστολος · Τοσούτῳ (18) κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσον διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων · Κάθου ἐκ δεξιῶν μου ; Οὐ πάντως ὁ ποιητὴς τῶν ἀγγελων Λόγος κρείττων γέγονεν, ὡς ἥττων ὤν (19) · ἀλλὰ τὴν ἐν αυτῷ ἀνατείλασαν τοῦ δούλου μορφὴν κρείτκονὰ τῶν ἀγγέλων, ἢ καὶ πάσης τῆς κτίσεως ἐπιδειξάμενος · ἐπειδήπερ, εἰκὼν ὢν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ πρωτότοκος πάσης τῆς κτίσεως γέγονεν, ὡς γέγραπται καὶ ἐν Εὐαγγελίοις · Ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον· Διὸ καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, καὶ ἐν αὐτῷ τὸ πάθος γέγονε, καὶ αὐτός ἐστιν ὁ ἐλευθερωτὴς τοῦ πάθους καὶ τοῦ θανάτου, καὶ δι' αὐτοῦ τὰ πάντα γέγονε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὅς ἐστι πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται, φησὶν, ἐν πᾶσιν αὐτὸς πρωτεύων.

16. Πῶς οὖν τὸν δημιουργὸν τῶν λογικῶν φύσεων Λόγον λέγετε, σάρκα ἑαυτῷ συγκεράσαντα, λογικὸν ἄνθρωπον γεγενέναι ; καὶ πῶς ἄτρεπτος καὶ ἀναλ-

animabus prædicatum est ; in corpore autem Christi, corruptio abolita est, et incorruptio ex ipso sepulcro emicuit. Itaque, nec homo a Deo segregabatur, nec Deus homini, se eum deserturum annuntiabat, neque obitus, spiritusque discessio, transitus erat Dei a corpore ; sed animæ a corpore separatio : nostra enim ibi mors descripta fuit. Quod si Deus a corpore separatus est, eoque modo mors contigit, quomodo corpus ab incorruptibili Deo segregatum, incorruptibile apparuit ? quomodo etiam Verbum descensum suum ad inferos peregit ? aut quo pacto ab inferis resurrectionem exhibuit ? Nunquid ipse vice animæ nostræ resurrexit, ut nostræ resurrectionis imaginem concinnaret ? At qui fieri potest, ut talia de Deo cogitemus ? Vestra igitur definitio a sacris Scripturis aliena est ; vestraque sententia cum peracta in Christo œconomia non consentit. Et illud : *Sede a dextris meis* [31], non hominis dignitas est, sed Dei. At quandoquidem Dei dignitas, hominis dignitas facta est ; ut hominis dignitas Dei dignitas crederetur, dictum est : *Sede a dextris meis :* et : *Glorifica me, Pater æterna gloria* [32]. Nec hoc dicit, quod gloria privatus sit ; sed quod in inglorio corpore degeret ; ut palam faceret non separatam a divina gloria esse servi formam, sed eamdem gloriam præ se ferre. Quapropter ait : *Et glorificari, et rursum glorificabo* [33]. Sicque unam eamdemque, et ante corpus assumptum, et in corpore gloriam fuisse ostendit, ut ait Apostolus : « Tanto melior angelis effectus, quanto excellentius præ illis nomen hæreditavit. Cui enim dixit aliquando angelorum : sede a dextris meis [34] ? » Nec sane angelorum opifex Verbum, melius factum est, quasi inferius ante fuisset : sed in se ortam servi formam angelis, sed potius, omni creatura præstantiorem exhibuit : quandoquidem cum imago esset Dei invisibilis, primogenitus omnis creaturæ factum est, ut scriptum 760 est in Evangeliis : *Donec peperit Filium suum primogenitum* [35]. Ideo in ipso creata sunt omnia, in ipso passio locum habuit : ipseque est qui a passione et morte liberat. Omnia per ipsum facta sunt, et ipse est caput corporis Ecclesiæ, qui est primogenitus ex mortuis, *ut sit in omnibus*, inquit, *ipse primatum tenens* [36].

16. Cur itaque rationalium naturarum creatorem Verbum, dicitis carnem sibi ipsi commiscuisse, et rationalem hominem factum esse ? et quomodo

[31] Psal. cix, 1. [32] Joan. xvii, 5. [33] Joan. xii, 28. [34] Hebr. i, 4, 5. [35] Matth. i, 25. [36] Coloss. I, 18.

(13) Seg. Anglican. et Felckm. 1, Θεοῦ. Editi vero, etc., Χριστοῦ. Infra Seguerianus, ut legit Nannius, πρὸς ἄνθρωπον, et ita legendum videtur. Editi et alii, πρὸς Θεόν.

(14) Οὔτε ἡ νέκρωσις καὶ τοῦ πνεύματος ἀποχώρησις Θεοῦ ἀπὸ σώματος, etc. Sic Seg. Anglican. Gobler. et Felckm. 1. Editi vero, οὔτε ἡ νέκρωσις ἀποχώρησις Θεοῦ, ἢ ἀπό, etc. Basiliensis ibidem, ἀποχώρισις.

(15) Ita Seg. Anglic. Gobl et Felckm. 1. In editis et cæteris manuscriptis, οὕτως deest.

(16) Seguerianus, ἀνίσταται.

(17) Ita Seguer. Anglican. Gobler. et Felckm. 1. Editi et cæteri manuscripti, ἵνα τὸ τοῦ ἀνθρώπου ἀξίωμα πιστωθῇ.

(18) Gobl. et Felckm. 1, τοσοῦτον. Mox Seguer. cum Græco Scripturæ textu, ὅσῳ (Seguer. addit, καὶ) διαφορώτερον. Editi, ὅσον διαφορώτερον.

(19) Seguerianus, κρείττων γέγονεν, ὡς ἥττων ὤν, et sic legit Nannius. Editi, κρείττων γεγονῶς ἠττόνων, mendose.

17. Εἰ δὲ ταῦτα ὁ Λόγος πέπονθε, καὶ τοῦ (28) τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον τοῦ Λόγου; Πῶς δὲ καὶ ἀπαρκαλύπτως ὀφθεὶς ὁ Λόγος ἐν τῷ ᾅδῃ ἐνομίσθη ἐν τῷ θανάτῳ ὡς ἄνθρωπος; Πῶς δὲ καὶ τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Κύριος· Ἐγὼ ἐγερῶ αὐτὸν, καὶ οὐχὶ, Ἐγὼ ἐξ ᾅδου ἀνίσταμαι; Εἰ γὰρ ὁ Λόγος, ἐν θανάτῳ γεγονὼς, χρείαν εἶχε (29) τοῦ ἐγείροντος αὐτὸν ἐκ θανάτου, οὐκ αὐτοῦ ἔσται ἡ νίκη, ἀλλὰ τοῦ ἐγείροντος αὐτόν. Πῶς δὲ καὶ διὰ τῶν προφητῶν παοεσημαίνετο περὶ τῆς ψυχῆς αὐτοῦ; Πῶς παρὼν ὁ Κύριος ἔλεγε πληρῶν τὴν ἐπαγγελίαν· Τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν; ἥντινα ψυχὴν πνεῦμα οὖσαν σαφῶς αἱ ἅγιαι Γραφαὶ διδάσκουσι· καὶ ὁ Κύριος δὲ εἰρηκὼς· Τὸ μὲν σῶμα ὑπὸ ἀνθρώπων ἀποκτεινόμενον, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἅτε δὴ πνεῦμα οὖσαν· Τούτῳ τῷ Πνεύματι ἐταράχθη ὁ Ἰησοῦς· τούτου τοῦ Πνεύματος ἡ ἀπωχώρησις (30) γέγονεν ἀπὸ τοῦ σώματος ἐπὶ τοῦ σταυροῦ. Καὶ οὕτως ἐνεκροῦτο τὸ σῶμα, καὶ αὐτοῦ γέγονεν ἡ λύσις, Θεοῦ τοῦ Λόγου ἀμεταθέτως ἔχοντος πρός τε τὸ σῶμα, πρός τε τὴν ψυχὴν, πρός τε ἑαυτὸν ὄντα εἰς τὸν κόλπον τοῦ Πατρὸς (31) ἐν ἐπιδείξει ἀτρεπτότητος. Ἐν δὲ τῇ καθ ἡμᾶς γενομένῃ ἐν αὐτῷ μορφῇ τὸν ἡμέτερον ἐκεῖ διέγραφε θάνατον· Ἵνα ἐν αὐτῇ καὶ τὴν ὑπὲρ ἡμῶν ἁρμόσηται ἀνάστασιν, ἐξ ᾅδου μὲν τὴν ψυχὴν, ἐκ τάφου δὲ τὸ σῶμα ἐπιδεικνύμενος· ὅπως ἐν θανάτῳ καταλύσῃ (32) τὸν θάνατον ἐν ἐπιδείξει ψυχῆς, ἐν δὲ τῷ τάφῳ καταργήσῃ τὴν φθορὰν ἐν ταφῇ σώματος· ἐξ ᾅδου καὶ ἐκ τάφου (33) τὴν ἀθανασίαν καὶ τὴν ἀφθαρσίαν ἐπιδεικνύμενος, ἐν μορθῇ τῇ καθ' ἡμᾶς τὴν ἡμετέραν ὁδεύσας ὁδὸν, καὶ τὴν καθ' ἡμῶν γενομένην κατοχὴν λύσας. Καὶ τοῦτο ἦν τὸ θαυμαστόν· αὕτη γὰρ γέγονεν ἡ χάρις. Ὑμεῖς δὲ, σάρκα μόνην προσομολογοῦντες (34), οὔτε τῆς ἁμαρτίας τὴν κατάκρισιν δεῖξαι δύνασθε, οὔτε τοῦ θανάτου τὴν κατάλυσιν, οὔτε τῆς ἀναστάσεως τὴν τελείωσιν, οὔτε τοῦ Λόγου τὴν ἀτρεπτότητα· ἐπειδὴ ἔξω τῶν ἁγίων Γραφῶν βεβήκατε, λαλοῦντες (35) ἃ Ἀρειανοὶ σοφίζονται, φανεροῦ ὄντος τοῦ περὶ ψυχῆς λόγου ἐν Γραφαῖς ἁγίαις, καὶ πληρωθείσης τῆς οἰκονομίας ἐν ἐπιδείξει πάσης πληρώσεώς τε καὶ τελειώσεως (36).

18. Ἀλλ' οἱ μὲν τῶν αἱρετικων, τὸν ὁραθέντα ὁμολογοῦντες, ἀπιστοῦσιν αὐτοῦ τῇ θεότητι· οἱ δὲ ὁμολογοῦντες Θεὸν, ἀρνοῦνται αὐτοῦ τῆς σαρκὸς τὴν γέν-

17 Quod si hæc ipsa Verbum sustinuit, ubinam, quæso, Verbi immutabilitas, et invariabilitas? Et quomodo Verbum palam in inferno visum, in morte sua homo reputatum est? Cur Judæis dicebat Dominus: *Ego suscitabo eum* [42], et non: Ego ex inferno resurgo? Si enim Verbum, postquam mortuum est, suscitante se a morte 1161 opus habuit, non Verbi victoria erit, sed ejus qui ipsum suscitavit. Cur autem per prophetas illud de anima ejus prænuntiatum est? Cur ipse Dominus, cum jam præsens promissum impleret, aiebat: *Animam meam pono pro ovibus meis* [43]? quam animam spiritum esse sacræ Scripturæ aperte docent: et Dominus ipse qui dixit: Corpus quidem ab hominibus occidi, qui animam tamen non possunt occidere, quippe quæ spiritus sit. Hoc ipso Spiritu turbatus est Jesus: hujus Spiritus discessio a corpore in cruce facta est. Et sic exstinctum est corpus, atque ita contigit dissolutio, Deo Verbo immutato remanente, tam in corpore, quam in anima, atque in seipso, qui in sinu Patris exsistebat, ad specimen immutabilitatis. Et in sua ad nostri similitudinem forma, nostram illic descripsit mortem; ut in illa resurrectionem pro nobis concinnaret, ex inferno quidem animam, ex sepulcro autem corpus reducens: ut in morte per exhibitionem animæ mortem destrueret, in sepulcro per sepulturam corporis corruptionem aboleret, sicque ex inferno et ex sepulcro immortalitatem et incorruptibilitatem exhiberet, cum in forma nobis consimili nostram viam emensus esset, nostramque detentionem solvisset. Quod sane admiratione dignum exstitit: nam in hoc gratia sita fuit. Vos vero dum carnem solam confitemini, neque peccati damnationem, neque mortis dissolutionem, neque resurrectionis consummationem, neque Verbi immutabilitatem demonstrare valetis, eo quod extra sacras Scripturas evagamini, ea loquentes quæ Ariani cavillantur: cum tamen de anima aperte in sacris Scripturis sermo habeatur: et œconomia consummata sit, exhibitis omnibus consummationis indiciis.

18. Porro hæreticorum alii, eum qui visus est confitentes, ejus divinitati non credunt: alii vero qui Deum confitentur, carnis ejus generationem

[42] Joan. VI, 40. [43] Joan. X, 15.

(28) Seg., καὶ ποῦ. In editis καί deest.

(29) Seg., ἔσχε. Ibidem Seg. Gobl. Felckm. 1 et 5, ἐγείραντος. Editi et cæteri manuscripti, ἐγείροντος. Ibidem, αὐτόν deest in Anglicano. Mox Seg. Gobl. et Felckm. 1, προεσήμανε τό. Editi vero et cæteri manuscripti, προεσημαίνετο, dubia lectio. Mox Anglican. Seguer. Gobl. et Felckm. 1, ὅπερ ὡς παρών. Ubi editi et cæteri manuscripti, Πῶς παρών.

(30) Basil., ἡ ἀποχώρισις. Infra Seguer. Anglic. Gobler. et Felck. 1, καὶ αὕτη γέγονεν ἡ λύσις (Seguer., λῦσις). Alii cum editis, καὶ αὐτοῦ γέγονεν ἡ ὑσις.

(31) Hæc, ὄντα εἰς τὸν κόλπον τοῦ Πατρός, desunt in editis, sed habentur in Seguer. Anglic. Gobler. et Felck. 1; sed in Anglic. ὄντα deest. Seguer. vero et Gobler. habent, ὄντα καί. Mox hæc, Ἐν δὲ τῇ καθ' a Leontio Byzantino afferuntur in libro II contra Nestorium et Eutychen cum nulla discrepantia: ibidem hic liber vocatur secundus contra Apollinarium. Ibidem, Seguer. Anglic. Gobler. et Felck. 1, Ἔν τε τῇ καθ'. Paulo post iidem, ἐκεῖ διέγραψε.

(32) Gobler. et Felck. 1, λύσῃ.

(33) Ita Seguer. Editi vero, καὶ τάφου, cum cæteris mss.

(34) Gobler. et Felck. 1, ὁμολογοῦντες.

(35) Anglic., λέγοντες.

(36) Ita Seguer., quem sequi visum est. Editi vero et cæteri, τελειότητος.

19. Μάταιοι οὖν οἱ τῇ θεότητι αὐτοῦ πάθος προσ- A
άγοντες, ἢ τῇ ἐνανθρωπήσει (45) αὐτοῦ ἀπιστοῦντες. ἢ τὸν ἕνα δύο λέγοντες, ἢ τῆς σαρκὸς αὐτοῦ τὴν διαμέτρησιν ποιεῖσθαι ἐπιχειροῦντες, καὶ τὸ πόσον, ἢ πῶς, παρὰ τὰς Γραφὰς λέγειν τολμῶντες. Τοιαύταις γὰρ ὑπονοίαις ὠλίσθησε τῶν αἱρετικῶν ἡ διάνοια· Μαρκίωνος μὲν δι' ὑπερβολὴν βλασφημίας ἐκκλίναντος (46)· Μανιχαίου δὲ δι' ὑπόνοιαν ἁμαρτίας ἐκτραπέντος. Οὐαλεντίνου δὲ διὰ πρόφασιν γνώσεως (47) πλανηθέντος· τοῦ δὲ Σαμοσατέως Παύλου, καὶ τοῦ λεγομένου Φωτεινοῦ, καὶ τῶν κατ' αὐτοὺς, δι' ἀπιστίαν θεότητος ἐκπεσόντων· Ἀρείου δὲ διὰ μανίαν βλασφημήσαντος. Καὶ ὑμεῖς, ταῖς ὁμοίαις χρώμενοι παρατριβαῖς, λαλεῖτε τὰ μὴ γεγραμμένα, ἐκτρέποντες τοὺς ἀστηρίκτους. Ἀρκεῖ δὲ πιστεῦσαι τοῖς γεγραμμένοις καὶ γενομένοις, ὥς φησιν ὁ Παῦλος· Καθ' B
ὁμοιότητα κατὰ πάντα, χωρὶς ἁμαρτίας· καὶ ὁ Πέτρος δέ· Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθαι, καὶ μὴ περαιτέρω (48) ἐκτεινομένους ἀθετεῖν ἀλήθειαν.

19. Vani igitur sunt, qui aut divinitati ejus passionem ascribunt, aut humanitati ejus fidem non habent, aut qui unum duos esse dicunt : sive qui carnis ejus dimensionem facere conantur : et qui quantum et quomodo, præter Scripturarum auctoritatem proferre audent. Hujusmodi enim opinionibus hæreticorum mens prolapsa est : Marcione propter immoderatam blasphemiam a veritate declinante : Manichæo,ob peccati opinionem seducto : Valentino, a scientia, uti causabatur, seducto : Paulo Samosatensi, cum eo qui Photinus vocatur, ac eorum sequacibus, ob incredulitatem a deitate deficientibus : Ario, pro furore suo blasphemante. Vos autem similibus usi cavillationibus, quæ scripta non sunt loquimini, eoque modo imbecillos evertitis. Sufficit enim iis quæ scripta et gesta sunt credere, ut ait Paulus : *Pro similitudine per omnia, absque peccato* [44]. Petrus autem : *Christo igitur pro nobis passo in carne, et vos eadem cogitatione armamini* [45], et ne ulterius inquirentes, veritatem respuatis.

[44] Hebr. IV, 15. [45] I Petr. IV, 1.

(45) Seguer., τῇ ἀνθρωπότητι. Alii cum editis, τῇ ἐνανθρωπήσει.

(46) Seguer. Gobler. et Felck. 1, δι' ὑπερβολὴν εὐφημίας ἐκκλίνοντος.

(47) Seguer. male, πρόφασιν ἑνώσεως. Infra idem, καὶ τοῦ δὴ λεγομένου Φωτείνου. Mox, Seguer. Gobler. et Felck. 1, δι' ἀπιστίαν πεσόντων θεότητος, Iidem, δια μανίαν ἰδίαν.

(48) Ita Seguer. Basil. Anglic. Editi vero cum aliis, παραιτέρω.

IN DUAS SEQUENTES EPISTOLAS MONITUM.

« Eodem ferme tempore, id est, vel sub finem anni 371, vel ideunte 372, scriptas arbitramur epistolas ad Joannem et Antiochum et ad Palladium : hac, ut augurari licet, occasione. Basilius, ut conditioni temporum sese accommodaret, etsi Spiritui sancto ea omnia quæ Deo convenire possunt ascriberet, a Dei tamen nomine abstinebat, ne auditoribus appellationis ejus insuetis offensioni foret. Id cum ægre ferrent monachi nonnulli, S. Doctorem eo nomine ubique traducebant, quorum in prima epistola audaciam gravissime retundit Athanasius. In secunda vero Palladium monet, ut monachis qui ea, quam supra diximus, de causa cum Basilio disceptabant, reconciliandæ pacis auctor esset : testaturque se admodum probare piam illam Basilii simulationem, qui pro infirmorum utilitate, infirmus et ipse efficeretur : memorat item epistolam ad ipsos a se scriptam monachos, quæ jam temporum injuria nusquam exstat. Porro qui sint Joannes et Antiochus, Palladius item, Innocentius et Dianius hic memorati, in *Vita Athanasii*, ut facultas fert, eruitur. »

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ΑΘΑΝΑΣΙΟΥ, ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἐπιστολὴ πρὸς ΙΩΑΝΝΗΝ καὶ ΑΝΤΙΟΧΟΝ τοὺς πρεσβυτέρους (49). C

762 *Sancti Patris nostri ATHANASII, archiepiscopi Alexandriæ, epistola ad JOANNEM et ANTIOCHUM presbyteros.*

Ἀθανάσιος Ἰωάννῃ καὶ Ἀντιόχῳ, τοῖς (50) ἀγαπητοῖς υἱοῖς καὶ συμπρεσβυτέροις, ἐν Κυρίῳ χαίρειν.

Athanasius Joanni et Antiocho, dilectis filiis et compresbyteris, in Domino salutem.

1. Ἐχάρην δεξάμενος ὑμῶν καὶ νῦν ἐπιστολὴν, ὅτι μάλιστα ἀπὸ Ἱεροσολύμων ἐγράψατε· καὶ χάριν ὑμῖν ἔχω, ὅτι ἐδηλώσατε περὶ τῶν ἀδελφῶν, τῶν ἐκεῖ συναγομένων, καὶ περὶ τῶν βουλομένων προφάσει ζητημάτων ταράττειν τοὺς ἀκεραίους. Ἀλλὰ περὶ μὲν τούτων παραγγελλέτω ὁ Ἀπόστολος, Μὴ προσέχειν τοῖς

1. Missam etiam nunc a vobis epistolam lætus accepi, maxime quia Hierosolymis scripsistis,et gratiam habeo, quod de fratribus istic congregatis certiorem me fecistis,necnon de iis qui quæstionum movendarum obtentu, simpliciores turbare nituntur. Sed de iis præcipiat Apostolus : Non atten-

(49) Τοὺς πρεσβυτέρους deest in Regio et Felck. 3.

(50) Τοῖς deest in Felck. 3. Mox, υἱοῖς legitur in solo Regio.

dendum contentiosis, nec iis qui nihil aliud quærunt, quam novi quidpiam vel dicere vel audire. Vos autem qui firmum habetis fundamentum, quod est Christus Dominus noster, a Patribusque veritatis confessionem accepistis, aversamini eos qui plus minusve quam illa habeat loqui voluerint: et majore opera fratrum utilitatem curate, ut Deum illi timeant, præcepta custodiant; ut cum ex doctrina Patrum, tum ex observatione præceptorum, grati Domino in die judicii se sistere possint. Valde autem miror audaciam eorum, qui nihil reformidant obtrectare dilecto et vere Dei famulo Basilio episcopo. Ex hujusmodi enim futili loquacitate deprehendi poterit, eos ne Patrum quidem confessionem diligere. Salutate fratres. Salutant vos qui mecum sunt. Opto vos valere in Domino, dilecti optatissimique filii.

A λογομαχοῦσι, καὶ μηδὲν ἕτερον ζητοῦσιν ἢ λέγειν τι καινὸν καὶ ἀκούειν. Ὑμεῖς δὲ, ἔχοντες τὸν θεμέλιον ἀσφαλῆ, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ὁ Κύριος ἡμῶν, καὶ τὴν τῶν Πατέρων περὶ τῆς ἀληθείας ὁμολογίαν, τοὺς πλέον τι ταύτης ἢ ἔλαττον λαλεῖν θέλοντας ἀποστρέφεσθε (51), καὶ μᾶλλον τῆς τῶν ἀδελφῶν ὠφελείας γίνεσθε, εἰς τὸ φοβεῖσθαι τὸν Θεὸν, καὶ τὰς ἐντολὰς τηρεῖν· ἵνα καὶ ἐκ τῆς διδασκαλίας τῶν Πατέρων, καὶ ἐκ τῆς τῶν ἐντολῶν τηρήσεως δυνηθῶσιν εὐάρεστοι τῷ Κυρίῳ φανῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Πάνυ δὲ τεθαύμακα τὴν θρασύτητα τῶν τολμώντων λαλεῖν κατὰ τοῦ ἀγαπητοῦ ἡμῶν, τοῦ ἀληθῶς Θεοῦ δούλου Βασιλείου τοῦ ἐπισκόπου. Ἐκ γὰρ τῆς τοιαύτης φλυαρίας ἐλέγχεσθαι δυνήτονται, ὡς οὐδὲ τῶν Πατέρων ἀγαπῶντες τὴν ὁμολογίαν. Προσαγορεύει τοὺς ἀδελφούς. Προσαγορεύουσιν ὑμᾶς οἱ σὺν ἐμοί.

B Ἐρρῶσθαι ὑμᾶς ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι υἱοί (52).

Sancti Patris nostri ATHANASII, archiepiscopi Alexandrini, epistola ad PALLADIUM presbyterum.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ΑΘΑΝΑΣΙΟΥ, ἀρχιεπισκόπου Ἀλεξανδρείας, πρὸς ΠΑΛΛΑΔΙΟΝ πρεσβύτερον ἐπιστολή (53).

Dilecto filio Palladio presbytero, Athanasius episcopus, in Domino salutem.

Ἀγαπητῷ υἱῷ Παλλαδίῳ πρεσβυτέρῳ Ἀθανάσιος ὁ ἐπίσκοπος, ἐν Κυρίῳ χαίρειν.

1. Epistolam quoque a te uno scriptam libentissime accepi, potissimum quia solito more rectam spiras fidem. Quid causæ sit autem quod cum dilecto nostro Innocentio degas, non nunc primum, sed jamdiu didici, pietatemque probavi tuam. Cum igitur hoc instituto utaris, rescribe, nobisque significa, quid fratres qui istic versantur, quid veritatis inimici de nobis cogitent. Quod autem de Cæsariensibus monachis significasti, idipsum a dilecto nostro Dianio accepi: infensos scilicet ipsos esse atque obsistere dilecto nobis Basilio episcopo. Titi certe qui rem indicasti gratiam habeo; illis vero, quæ decuit, scripsi, ut velut filii patri obsequantur, nec repugnent iis quæ approbat ille. Nam si circa veritatem suspectus ille esset, recte pugnarent; sin confidunt, ut nos confidimus, esse illum 764 Ecclesiæ gloriam, qui etiam pro veritate dimicat, docetque illos qui doctrina indigent; cum ejusmodi sane homine nefas est pugnare, imo probæ suæ conscientiæ causa acceptissimus esse debet. Sane e iis quæ narravit dilectus Dianius, nulla de causa videntur indignari. Ille namque, ut existimo, infirmis infirmus efficitur, ut infirmos lucretur [46]: dilecti vero nostri conspicientes ejus ad veritatem scopum, atque œconomiam, referant Domino gloriam, qui Cappadociæ episcopum dedit hujusmodi, qualem sane nulla non regio sibi peroptat. Tu itaque, dilecte, id illis, quæso, renuntia; ut, quemadmodum scripsi, morem illi gerant. Illud enim eos erga patrem suum benevolos efficiet, pacemque

1. Καὶ τὴν παρὰ σοῦ μόνου γραφεῖσαν ἐπιστολὴν δεξάμενος, ἐχάρην, μάλιστα ὅτι συνήθως ἔπνεες ὀρθοδοξίας. Καὶ τὴν αἰτίαν δὲ ἣν μετὰ τοῦ ἀγαπητοῦ ἡμῶν Ἰνοκεντίου (54) διάγεις, οὐ πρῶτον νῦν, ἀλλ' ἔκπαλαι μαθὼν, ἀπεδεξάμην σου τὴν εὐλάβειαν. Οὕτω τοίνυν πράττων, γράφε καὶ γνώριζε ἡμῖν, πῶς ἐκεῖ οἱ ἀδελφοὶ (55), καὶ πῶς οἱ ἐχθροὶ τῆς ἀληθείας

C περὶ ἡμῶν διανοοῦνται. Ἐπειδὴ δὲ καὶ περὶ τῶν μοναζόντων τῶν ἐν Καισαρείᾳ ἐδήλωσας· ἔμαθον δὲ παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν Διανίου, ὡς λυπουμένων καὶ ἀνθισταμένων αὐτῶν τῷ ἀγαπητῷ ἡμῶν Βασιλείῳ τῷ ἐπισκόπῳ· σὲ μὲν ἀπεδεξάμην δηλώσαντα, αὐτοῖς δὲ τὰ πρέποντα δεδήλωκα· ἵν' ὡς τέκνα ὑπακούωσι πατρὶ, καὶ μὴ ἀντιλέγωσιν, οἷς αὐτὸς δοκιμάζει. Εἰ μὲν γὰρ ὕποπτος ἦν περὶ τὴν ἀλήθειαν, καλῶς ἐμάχοντο· εἰ δὲ τεθαρρήκασι, τεθαρρήκαμεν δὲ καὶ πάντες ἡμεῖς, ὡς ταύχημα τῆς Ἐκκλησίας ἐστὶν, ἀγωνιζόμενος μᾶλλον ὑπὲρ τῆς ἀληθείας, καὶ διδάσκων τοὺς δεομένους· οὐ χρὴ πρὸς τὸν τοιοῦτον μάχεσθαι, ἀλλὰ καὶ μᾶλλον ἀποδέχεσθαι τὴν ἀγαθὴν αὐτοῦ συνείδησιν. Ἐξ ὧν γὰρ διηγήσατο ὁ ἀγαπητὸς Διάνιος, μάτην φαίνονται λυπούμενοι. Αὐτὸς μὲν γὰρ, ὡς τεθάρρηκα, τοῖς

D ἀσθενοῦσιν ἀσθενὴς γίνεται, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ· οἱ δὲ ἀγαπητοὶ ἡμῶν, ἀποβλέποντες εἰς τὸν σκοπὸν τῆς ἀληθείας αὐτοῦ, καὶ τὴν οἰκονομίαν, δοξαζέτωσαν τὸν Κύριον, τὸν δεδωκότα τῇ Καππαδοκίᾳ τοιοῦτον ἐπίσκοπον, οἷον καὶ ἑκάστη χώρα ἔχειν εὔχεται. Καὶ σὺ οὖν, ἀγαπητὲ, θέλησον αὐτοῖς δηλῶσαι, ἵνα, ὡς ἔγραψα, πεισθῶσι. Τοῦτο γὰρ καὶ αὐτοὺς συνίστησιν εὐγνώμονας πρὸς πατέρα· τοῦτο καὶ τὴν

[46] I Cor. IX, 22.

(51) Felck. 3, ἀποστρέφεσθαι.
(52) Υἱοὶ deest in Felck. 3.
(53) Hæc, πρὸς Παλλάδιον πρεσβύτερον ἐπιστολή, aasunt a Regio, Basil. et Felck. 3, sed habentur in Felck. 7, et in omnibus editis.
(54) Felckman. 3, Ἰνοκουστίου.
(55) Felckman. 3, πῶς ἐκεῖνοι οἱ ἀδελφοί.

εἰρήνην ταῖς Ἐκκλησίαις (56) διαφυλάξει. Ἐρρῶσθαί σε ἐν Κυρίῳ εὔχομαι, ἀγαπητὲ υἱέ.

Ecclesiarum servabit. Opto te in Domino valere, dilecte fili.

IN TRES SUBSEQUENTES EPISTOLAS ADMONITIO.

« I. Præter ea quæ in præfatione generali his de epistolis adnotavimus, eruditum lectorem monitum volumus, nobis nullam hic fuisse temporis rationem, atque ideo ad calcem illas transmisisse, ut quo ordine in Canonum collectionibus exstant, eodem hic locarentur : in solis quippe Canonum codicibus comparent illæ, haud secus hoc in tomo ordinatæ. Editæque sunt apud Theodorum Balsamonem, cum scholiis ejusdem Balsamonis. Cusæ item sunt in *Collectione Canonum Oxoniensi*, tom. II, p. 36, cum scholiis Zonaræ et Balsamonis. De singulis quædam hic agenda. »

« II. Epistola ad Amunem nihil habet quod Athanasium auctorem non præferat; id stylus suadet, necnon orationis argumentorum ἐνέργεια, nomen denique Amunis monachi Athanasio notissimi, de quo supra p. 672. Quæstionis autem cujusdam apud monachos excitatæ occasione data hæc epistola est. Nonnulli quippe erant qui nocturnas illusiones animi corporibus puritatem temerare contenderent, qua de re ab Amune monachorum Patre rogatus Athanasius, validis ille pugnat argumentis, non plus peccati huic inesse rei, dum absit propositum, quam egerendis quibuslibet corporis excrementis. Porro cum Amun ante Antonium vita functus sit, ut p. 672 dicitur, obieritque Antonius ineunte anno 356, necesse est ante annum illum datam epistolam fuisse, sed quo revera, conjectare nequimus. »

« III. Epistola festalis, initio mutila, ut cuique palam est, ex numero esse videtur epistolarum Athanasii festalium ab Hieronymo memoratarum, lib. *De scriptoribus ecclesiasticis*, in qua tamen nonnulla forte occurrat adversa suspicio. Nam dum canonicos recenset libros Athanasius, minime affert varias de auctoritate quorumdam Scripturæ librorum sententias : plurimi namque illo ævo postremas duas Joannis Epistolas in controversiam vocabant, necnon alias quasdam, maximeque omnium Apocalypsin Joannis : qua de re legendus Eusebius, lib. III *Eccles. hist.*, p. 97, et Gregor. Nazianz. *Carm.* p. 98 et 194. Verum nostro quidem judicio, nihil est ut ea de causa hæreamus. Nam potuit Athanasius suam verioremque sententiam populis aperire, quin varias ea de re disceptationes vulgi captum superantes in medium afferret. Quare Athanasii verum esse fetum arbitramur. »

« IV. In epistola ad Rufinianum nihil non occurrit Athanasianum, nec quidquam controversiæ de illa ortum fuit uspiam. Scripsit autem illam, ut Rufiniano responderet, quærenti qua conditione admittendi hæretici sunt, cum ad sanam regrediuntur fidem. Ad hæc Athanasius, iis qui revertuntur, si hæresi, sua sponte, patrocinati fuerint, condonandum quidem, sed in clerum ipsos minime admittendos oportere : sin, vi coacti, cum hæreticis consenserint, non loco ipsos nec gradu movendos esse. Memoratque carptim synodum Alexandriæ habitam anno 362, quam diu ante celebratam innuit : ex quo videtur postremis Athanasii vitæ annis data hæc epistola. Porro eadem ferme de lapsis ad Basilium scripsit Athanasius, quæ ad Rufinianum, ut videre est in epistola Basilii 75. »

—

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ΑΘΑΝΑΣΙΟΥ, ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἐπιστολὴ πρὸς ΑΜΟΥΝ (57) μονάζοντα.

Πάντα μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ Θεοῦ ποιήματα· οὐδὲν γαρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε (58) Λόγος· Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, κατὰ τὸν Ἀπόστολον· ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τῇ γνώμῃ παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ· φέρε, διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν (59). Πάντα μὲν

765 *Sancti Patris nostri ATHANASII, archiepiscopi Alexandriæ, epistola ad AMUNEM monachum.*

Opificia Dei omnia bona puraque sunt; inutile quippe nihil aut impurum Dei Verbum condidit. Nam *Christi bonus odor sumus in iis qui salvi fiunt*, ut ait Apostolus [47]. Cum autem varia callidaque sint diaboli tela, qui id curat, ut simpliciores animo in perturbationem conjiciat, fratresque a consuetis exercitiis deterreat, dum impuras inserit obscenasque cogitationes, age, paucis maligni fraudes, per Salvatoris nostri gratiam, depellamus, simpliciorumque mentem confirmemus. *Omnia* quidem *munda mundis* [48] : sed impurorum tum conscientia, tum

[47] II Cor. II, 15. [48] Tit. I, 15.

(56) Regius, τῆς Ἐκκλησίας. Mox Regius, διαφυλάττει.

(57) Sic maxima pars manuscriptorum. Editi, cum tribus manuscriptis, Ἀμοῦν, sed cum unico μ legendum, ut supra pag. 672. Colbert.2, post μονάζοντα, addit, περὶ ἐνυπνιαζομένων.

(58) Regius 3, ἐποίησε. Infra Colbert. 2, ἐπεὶ δὲ ποικίλα. Mox quatuor manuscripti, ἀκεραίους.

(57) Ita omnes ferme manuscr. Editi vero στηρίζωμεν. Mox γαρ deest in quatuor manuscr.

cætera omnia immunda sunt. Miror autem diaboli vafritiem, qui tametsi corruptio luesque est, cogitationes suggerit specie quidem puritate plenas. Quod agit ille insidiarum potius causa, quam experimenti. Quo enim, ut supra dixi, ascetas a consueta et salutari meditatione avertat, atque hac in re superior evadat, hujusmodi quædam insusurrat, quæ nihil vitæ commodi afferunt : sed vanas quæstiones et nugas, a nobis sane repudiandas. Quid enim, quæso, dilecte ac piissime, peccati aut impuri naturali inest excremento? Ecquis vitio vertere velit mucorem e naribus ejectum, vel sputa ore emissa? quibus plurima possemus addere, ventris nimirum excrementa, quæ animali ad vitam necessaria sunt. Ad hæc, si hominem esse manuum Dei opus secundum Scripturas credimus, quomodo ex pura potentia opus contaminatum prodire valuit? Et si, ut in Actibus apostolorum legitur, genus Dei sumus [49], nihil sane in nobis impurum habemus. Tunc enim solum inquinamur, cum pessimi odoris opus, peccatum scilicet, operamur. At cum præter voluntatem naturale quodpiam excrementum emittitur, tunc naturæ necessitate, ut supra diximus, hæc cum cæteris toleramus. Sed quia ii, quibus una probe dictis, imo a Deo gestis rebus repugnandi inest cura, dictum illud evangelicum detorquent : Non quæ ingrediuntur, sed quæ egrediuntur coinquinant hominem [50]; hanc eorum insaniam, ne dicam quæstionem, confutemus. Primum enim Scripturas pro sua ignorantia, instabiles sane homines, depravant [51]. Porro divinum oraculum sic habet : cum quidam enim quemadmodum isti, de cibis ambigerent, ipse Dominus, ut eorum levaret ignorantiam, dolumque cunctis retegeret, ait, Non ea quæ ingrediuntur hominem coinquinare, sed quæ egrediuntur. Addit post hæc, et undenam egrediuntur : ex corde. Quod probe nosset illic profanarum cogitationum aliorumque scelerum malos inesse thesauros. Brevius autem Apostolus idipsum docuit hisce verbis : *Esca non nos commendat Deo* [52]. Jam aliquis opportune dixerit : Naturale excrementum nulli nos supplicio **766** addicit. Et fortasse ipsi medici (ut hinc homines illi vel ab extraneis pudore afficiantur) nobiscum defendent, animali datos esse quosdam necessarios meatus, ad humores qui in singulis habentur membris nostris egerendos : qualia sunt capitis excrementa, pili, aquositates quæ ex capite emittuntur : ventris

A γὰρ καθαρὰ τοῖς καθαροῖς· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ, φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν καθαρότητος· ἔστι δὲ τὸ γιγνόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γὰρ, ὡς προεῖπον, ἀπασχολήσῃ (60) τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν· κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι. Τί γὰρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἔκκρισις ; ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας καὶ τὰ διὰ στόματος πτύσματα· ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρα ἐκκρίσεις, ἅπερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα κατέστηκεν. Ἔτι τε (61), εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφὰς, πῶς ἠδύνατο ἐκ ἀαθαρᾶς δυνάμεως ἔργον γεγονέναι μεμολυσμένον ; Καὶ εἰ γένος τοῦ Θεοῦ ἐσμεν, ἔχομεν κατὰ τὰς θείας τῶν ἀποστόλων Πράξεις, οὐκ ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσική τις ἔκκρισις ἀβουλήτως (62) γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προεῖπομεν, καὶ τοῦτο ὑπομένομεν. Ἀλλ' ἐπειδήπερ οἱ θέλοντες μόνον ἀντιλέγειν τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ (63) ῥητὸν εὐαγγελικόν· ὡς ὅτι Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα· ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν· οὐ γὰρ ἦν εἰπόντες (64) ζήτησιν, ἐλέγξομεν. Πρῶτον μὲν γὰρ τὰς Γραφὰς κατὰ τὰς ἰδίας ἀμαθίας ἀστήρικτοι ὄντες βιάζονται. Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον· Τινων γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυναστῶν ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἤ γ' οὖν τὴν ἀπάτην δημοσιεύων, φησὶ, Μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει, καὶ πόθεν ἐξερχόμενα· τὰ ἀπὸ καρδίας. Ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένως φησί· Βρῶμα δὲ ἡμᾶς οὐ παραστήσει (65) τῷ Θεῷ. Φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως· Φυσική τις ἔκκρισις ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται· ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστῳ

[49] Act. xvii, 28. [50] Matth. xv, 20. [51] II Petr. iii, 16. [52] I Cor. viii, 8.

(60) Sic tres manuscripti recte. Editi et alii, ἀποσχολήσῃ. Mox Colb. 2 solus, ἀθλητάς. Infra idem, τίνα κινοῖ.

(61) In Colb. 2 τε deest. Ibidem Regius 5, ἐπεὶ τῶν τοῦ Θεοῦ. Ibidem Colb. 2, ἔργων.

(62) Colb. 2 et Regius 5, ἀκολούθως. Ibidem omnes fere manuscripti, γίνεται. Editi, γίνηται.

(63) Ita omnes fere manuscripti. Editi vero, παραφέρουσι δὲ καί. Mox tres manuscripti, ὡς οὐ τὰ εἰσερχόμενα, duo alii, ὡς οὐχὶ τὰ εἰσερχόμενα. Editi cum Regio primo, ὡς ὅτι οὐ τὰ εἰσερχόμενα. Post hæc, Colb. 1 addit, ἐν τῇ κοιλίᾳ.

(64) Tres manuscripti, εἴποιμι. Mox quinque manuscripti, κατὰ τὰς ἰδίας. Editi, μετὰ τῆς ἰδίας. Infra, πάλιν deest in tribus manuscr. Ibidem quinque manuscripti, ἐνδοιαστῶς, sed omnium antiquissimi et optimi, Regius 1 et 2, habent cum editis, ἐνδυάστων. Mox quatuor manuscripti, αὐτὸς ὁ Κύριος. In editis et in aliis, ὁ Κυριος deest.

(65) Quatuor manuscripti, βρῶμα ἡμᾶς οὐ παρίστησι. Infra iidem, οὐ παρίστησι.

μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν (66)· οἷον κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποῖα τοίνυν ἐστὶ πρὸς Θεοῦ, ὦ πρεσβῦται θεοφιλέστατε, ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶν δεσπότου θελήσαντος καὶ ποιήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους ; Ἐπειδὴ δὲ (67) δεῖ προσλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα, εἴποιεν γὰρ ἄν· Οὐκ οὖν οὐκ ἔστιν ἁμαρτία οὐδὲ ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ Δημιουργοῦ διαπέπλασται (68). Πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν φάσκοντες· Ποίαν λέγεις χρῆσιν, τὴν ἔννομον, ἣν καὶ ὁ Θεὸς ἐπέτρεψεν, Αὐξάνεσθε, λέγων, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν· ἣν ὁ Ἀπόστολος ἀπεδέξατο εἰπών· Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· ἢ τὴν δημώδη μὲν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην ; Ἐπεὶ καὶ τῶν ἄλλων, τῶν ἐν τῷ βίῳ γινομένων, εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμοις (69) ἀναιρεῖν τοὺς ἀντιπάλους καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. Ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρὸν οὐκ ἔξεστι, κατά τι δὲ καὶ εὐκαίρως ἀφίεται καὶ συγκεχώρηται (70). Ὁ αὐτὸς τοίνυν λόγος καὶ περὶ τῆς μίξεως· Μακάριος ὃς ἐν νεότητι, ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται (71). Δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν κοσμικὴν, τοῦτ' ἔστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει· τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. Λήψεται γὰρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα (72). Εἰ δὲ τὴν ἀγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδὸς, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔσχε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας. Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν ἀποστολικῶν παρακαλῶν (73), ἐκ τῶν εὐαγγελικῶν ψυχαγωγῶν, ἐκ τῶν ψαλμῶν συμβουλεύων· Ζῆσόν με, λέγων, κατὰ τὸ λόγιόν σου· λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς καρδίας λατρεύειν αὐτῷ. Τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός· ἵνα μὴ ῥυπώδεις λογι-

A item secessus,illaque spermaticorum meatuum superfluitas.Ecquodnam hac in re peccatum in Deum senex religiosissime,cum ipse Dominus qui animal condidit, id curarit effeceritque, ut hæc membra essent ejusmodi meatibus instructa.Cæterum quia prævertenda suntimproborum argumenta : fortasse enim dixerint : Ergo nec verus eorum usus est peccatum,siquidem organa a conditore facta sunt ita loquentibus illis hac interrogatione sillentium imponamus : Quem dicis usum,legitimumne,quem Deus his permisit verbis : *Crescite, et multiplicamini, et replete terram* [53] : quam et ipse probavit Apostolus, cum dixit : *Honorabile connubium et thorus immaculatus* [54] ; an publicum illum qui clanculum et libidinose exercetur ? Nam in cæteris

B quoque, per hanc vitam agi solitis,quædam occurrunt agendi discrimina : quale occidere non licet; at in bello adversarios interficere, et legitimum,et laude dignum est.Sic magnis donantur præmiis qui se in bello strenue gerunt, cippique eriguntur,quæ præclara eorum celebrent facinora.Itaque idipsum quodam modo, et quodam tempore non licet : quadam autem ratione et opportunitate permittitur concediturque. Eadem igitur est de coitu ratio : Beatus qui in juventute libero junctus matrimonio, natura ad liberorum procreationem usus est : quod si ad libidinem, fornicatores et mœchos, quod apud Apostolum memoratur, supplicium excipiet. Nam duplex cum sit via in vita, alia quidem inferior vulgariorque,matrimonii scilicet ; alia vero angelica et suprema omnium, nempe virginitatis ; si

C quis mundanam, nuptias nimirum elegerit, culpa quidem vacat, sed tot tantaque non consequetur dona.Consequetur tamen aliqua, si quidem et ipse fert fructum tricesimum. Si qui vero castam mundoque superiorem amplexus fuerit vitam, tametsi hæc altera asperior et difficilior via est, at excellentioribus ille muneribus donandus est : perfectum quippe fructum, nempe centesimum produxit.Itaque obscenæ illorum atque malignæ quæstiones, proprias habent solutiones ex divinis Scripturis jam olim allatas. Confirma ergo, Pater, greges tuos, apostolicisque verbis hortare. Evangelicis demulce, ex psalmis da consilium : *Vifica me,* dicens, *secundum eloquium tuum* [55] ; eloquium autem ejus illud est, ut ex puro corde serviamus

D illi. Hoc cum non ignoret ipse Propheta,sese quasi interpretatur dicens : *Cor mundum crea in me,Deus*[56], ne me obscenæ cogitationes conturbent. Rursus ipse David : *Et Spiritu principali confirma me* [57], ut

[53] Genes. I, 28. [54] Hebr. XIII, 4. [55] Psal. CXVIII. 107. [56] Psal. L, 12. [57] ibid. 14.

(66) Regius tertius, quartus et quintus, διέξοδοι πρὸς τὸ τῶν ἐν ἑκάστῳ τῶν ἐν ἡμῖν μελῶν χυμῶν· οἷον. Editi et quidam alii, διέξοδοι κατὰ τῶν, etc., ut in textu. Mox complures manuscripti, περιττώματα. Editi vero cum aliis, περίττωμα.

(67) Δέ deest in editis et in quibusdam manuscr. In pluribus legitur.

(68) Regius tertius, παρὰ τοῦ Θεοῦ πέπλασται.

(69) Duo manuscripti, ἐν πολέμῳ. Mox duo manuscripti, ἔννομόν τε.

(70) Omnes fere manuscripti, συγκεχώρηται. Editi, ἐγκεχώρηται.

(71) Maxima pars manuscriptorum, ἐκδέξεται. Editi, δέξεται. Regius tertius, ἐκδέχεται.

(72) Regius 3 et 4, τὸν τριάκοντα. Mox, manuscripti ferme omnes, ἀσπάσοιτο. Editi, ἀσπάσαιτο.

(73) Regius quartus, ἀποστολικῶν Γραφῶν.

καὶ μετὰ τοῦτο Ἀριθμοί, καὶ λοιπὸν τὸ Δευτερονόμιον. Ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ Κριταί· καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ πάλιν ἑξῆς Βασιλειῶν τεσσαρα βιβλία (82)· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται. τὸ δὲ τρίτον καὶ αἔταρτον ὁμοίως εἰς ἕν, Μετὰ δὲ ταῦτα Παραλειπομένων (83) α' καὶ β' ὁμοίως εἰς ἓν βιβλίον πάλιν ἀριθρούμενα· εἶτα Ἔσδρας α' καὶ β' ὁμείως εἰς ἕν. Μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν, καὶ ἑξῆς Παροιμίαι· εἶτα Ἐκκλησιαστὴς, καὶ Ἆσμα ᾀσμάτων. Πρὸς τούτοις ἐστὶ καὶ Ἰὼβ, καὶ λοιπὸν προφῆται· οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶτα Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαρούχ, Θρῆνοι, Ἐπιστολὴ (85), καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ καὶ Δανιήλ· Ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται. Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι γὰρ ταῦτα· Εὐαγγέλια τέσσαρα· κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην. Εἶτα μετὰ ταῦτα (85) Πράξεις ἀποστόλων, καὶ Ἐπιστολαὶ Καθολικαὶ καλούμεααι τῶν ἀποστόλων ἑπτά· οὕτω μὲν Ἰακώβου α', Πέτρου δὲ β', εἶτα Ἰωάννου γ', καὶ μετὰ ταύτας Ἰούδα α'. Πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους· εἶτα πρὸς Κορινθίους δύο· καὶ μετὰ ταῦτα (86) πρὸς Γαλάτας· καὶ ἑξῆς πρὸς Ἐφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολασσαεῖς· καὶ μετὰ ταύτας πρὸς Θεσσαλονικεῖς δύο, καὶ ἡ πρὸς Ἑβραίους· καὶ εὐθὺς πρὸς μὲν Τιμόθεον (87) δύο, πρὸς δὲ Τίνον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα τῶν ἐν τούτοις ἐμφορεῖσθαι λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων· Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς· τοῖς δὲ Ἰουδαίοις (88) παρῄνει. Ἐρευνᾶτε τὰς Γραφάς· ὅτι αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο γράφων ἀναγκαίως, ὡς (89) ὅτι ἐστὶ καὶ ἕτερα βιβλία τούτων ἔξωθεν· οὐ κανονιζόμενα μὲν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις (90) κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος, καὶ Σοφία Κιρὰχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὶθ, καὶ Τοβίας (91), καὶ Διδαχὴ

A mium. Hos excipiunt, Jesus filius Nave, Judices, ei postea Ruth. Hinc rursum Reghorum libri quatuor : ex quibus primus et secundus pro uno numerantur libro; tertius et quartus pro uno similiter. Psst hæc Paralipomenon primus et secundus pro uno pariter libro consentur. Hinc Esdræ primus et secundus, pro uno similiter : postea liber Psalmorum, deinceps Proverbia, tum Ecclesiastes, et Canticum canticorum. Ad hæc Job, ac deinceps prophetæ, ex quibus duodecim pro uno libro numerantur. Hinc Isaias, Jeremias et cum ipso Baruch, Lamentationes, Epistola : postea Ezechiel et Daniel. Hactenus Veteris Testamenti libri. Novi autem Testamenti libros referre ne pigeat. Sunt enim hi : Evangelia quatuor, secundum Matthæum, secundum
B Mareum, secundum Lucam, secundum Joannem. Postea Acta apostolorum, et Epistolæ Catholicæ, quæ Apostolorum, vocantur, numero septem nempe, Jacobi una, Petri duæ, Joannis tres, Judæ una. Ad hæc Pauli apostoli quatuordecim sunt Epistolæ, sic ordine descriptæ : prima, ad Romanos : tum duæ ad Crainthios : dehinc, ad Galatas : postea, ad Ephesios : deinde, ad Philippenses : tum, ad Colossenses : postea, ad Thessalonicenses duæ, et ea quæ ad Hebræos dirigitur: deinde ad Timotheum duæ : ad Titum una : ultimo, ad Philemonem una ; ad hæc Joannis Apocalypsis. Hi sunt salutis fontes, ut qui sitit, eorum eloquiis impleatur : in his solis pietatis doctrina docetur. Nemo iis addat, aut aliquid ad illis 1178 detrahat. De his Dominus Sadducæos pudore affi-
C ciebat, his verbis : *Erratis nescientes Scripturas* [61] : Judæos vero hortabatur dicens : *Scrutamini Scripturas, quia illæ sunt quæ testimonium perhibent de me* [62]. Sed majoris accurationis causa illud quoque scripto addere necesse duxi; esse nimirum alios libros præter istos, non in canonem quidem redactos, sed quos a Patribus decretum est, legendos ab iis esse qui nuper ediscendi pietatis verbi gratia accesserint. Sapientia Salomonis, et sapientia Sirach, Esther, Judith, Tobias, Doctrina, ut vocant, apostolorum, et Pastor. Attamen, dilecti, cum illi in canonem redacti sint, hi legantur, nusquam apocryphorum mentio habetur (92); sed ii sunt hæreticorum commentum, qui arbitratu suo libros conscribunt, quibus assignant tem-

[61] Matth. xxii, 29. [62] Joan. v, 39.

τικὸν, Ἀριθμοὶ, καὶ Δευτερνόμιον. Ἑξῆς δὲ τούτων. Mox, τε, post, Ἰησοῦς, habetur in tribus manuscr. In cæteris et in editis desideratur.

(82) Codex unus, τεσσαρες βίβλοι.

(83) Ita omnes ferme manuscr. Editi cum quibusdam aliis. Παραλειπόμενα.

(84) Sic quinque manuscripti, pauciores alii cum editis, καὶ ἐπιστολή. Mox quatuor manuscripti, Ἰεζεκιήλ. Editi cum aliis, Ἐζεκιήλ.

(85) Μετὰ ταῦτα deest in quibusdam manuscript. Paulo infra. Ἰακώβου. in editis deerat. Mox, εἶτα deest in duobus manuscr.

(86) Tres manuscripti, μετὰ ταὐτας. In iisdemque infra, μετὰ ταύτας, deest.

(87) Unus codex, καὶ ἑξῆς πρὸς Τιμόθεον.

D (88) Duo manuscripti, τοὺς δὲ Ἰουδαίους.

(89) Ὡς in tribus manuscriptis deest.

(90) Hæc, καὶ βουλομένοις, in tribus desunt. Infra tres manuscripti bonæ notæ, Σολομῶντος. Alii cum editis, Σολομῶνος.

(91) Tres manuscripti, Ἐσθὴρ, Ἰουδὴθ, Τοβήτ, Ibidem in hæc verba, καὶ Διδαχὴ τῶν ἀποστόλων. Colb. 2, hæc habet ad marginem, Διδαχὴν τῶν ἀποστόλων λέγουσιν εἶναι τὰς διὰ τοῦ Κλήμεντος γραφείσας διατάξεις τῶν ἀποστόλων, ὡς ἡ ς' λεγομένη σύνοδος ἀναγινώσκεσθαι οὐ συγχωρεῖ. *Doctrinam vocant apostolorum, Constitutiones a Clemente scriptas : quas legi, ea quæ dicitur sexta synodus, non concedit.*

(92) Hæc item Rufinus lib. De expositione Symboli.

ερήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει· ἀπο- A
λογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ἐπιστρέψας (5)
εἰς Αἴγυπτον πιμείνῃ τῇ εἰδωλολατρείᾳ· καὶ γὰρ
ἦν τὸ φαινόμενον εὔλογον· ὅτι μένοντες ἐν τῇ ἐρήμῳ
δύνανται παύσασθαι τῆς ἀσεβείας· εἰσελθόντες δὲ εἰς
Αἴγυπτον, ἔπετρίβοντο καὶ ηὔξανον ἐν ἑαυτοῖς (6)
τὴν ἀσέβειαν. Τούτων τοίνυν ἕνεκα συγγνωστὸν τὸ
πρὸς τὸν κλῆρον γέγονε· τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν
παθοῦσι συγγνώμη δίδοται. Ταῦτα (7) καὶ τῇ σῇ
εὐσεβείᾳ δηλῶ, θαῤῥῶν, ὅτι καὶ τὰ δόξαντα ἀποδέξε-
ταί σου ἡ θεοσέβεια, καὶ οὐ καταγνώσεται ἐκχειρίας
τῶν συνελθόντων οὕτως. Καταξίωσον δὲ αὐτὰ ἀνα-
γνῶναι τῷ ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σὲ (8), ἵνα,
καὶ αὐτοὶ γινώσκοντες, μὴ μέμφωνται οὕτω σὲ δια-
κείμενον περὶ τοὺς τοιούτους. Ἀπρεπὲς γὰρ ἦν ἐμὲ
γράφειν, δυναμένης τῆς σῆς εὐλαβείας καὶ τὴν ἡμῶν B
περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λεί-
ποντα ἀποπληρῶσαι. Χάρις τῷ Κυρίῳ τῷ πλη-
ρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. Οἱ μὲν
οὖν μετανοοῦντες φανερῶς ἀναθεματιζέτωσαν ὀνομά-
ζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοδοξίαν (9). Αὐ-
τοὶ γὰρ λοιπὸν βλασφημοῦντες, αὐτὸν κτίσμα ἀπ-
εγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται. Ὁμο-
λογειτωσαν δὲ τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων
ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην σύνοδον
προκρίνειν ταύτης τῆς συνόδου. Πρόσειπε τὴν παρὰ
σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσ-
αγορεύει.

afferent, Aaronem, Moysis fratrem, in deserto populi prævaricationi concurrisse: 769 hanc autem excusationem habuisse, ne populus scilicet in Ægyptum reversus in idololatria permaneret: nam id rationi certe consentaneum videbatur; siquidem in deserto manentes, poterant impietatis finem facere, sin autem in Ægyptum ingressi fuissent, in impietate versati auctique fuissent. Quapropter ad clerum reditus illis concessus est; iis enim qui decepti et vim passi sunt venia facile datur. Hæc tuæ quoque pietati significo, confidens, tuam religionem quæ decreta sunt suscepturam, nec lenitatem eorum qui convenere damnaturam. Hæc legere digneris sacris ministris et populo qui tibi subest; ut et ipsi his compertis, te circa illos ita affectum, non coarguant. Abs re enim esset me scribere, cum tua pietas possit, et nostrum erga illos affectum nuntiare, et omnia quæ desunt implere. Gratia Domino, qui implevit te omni verbo et omni scientia. Qui itaque pœnitentiam agunt, anathemate damnent, expresso nomine, pravam Euzoii et Eudoxii doctrinam. Illi enim Arianæ hæreseos patroni, in Christum blasphemantes creaturam eum esse scripserunt. Confiteantur quoque fidem Nicææ a Patribus declaratam, et nullam aliam synodum huic anteponant. Saluta fratres qui apud te sunt; qui apud me degunt, te in Domino salutant.

(5) Duo manuscripti, ἐπιστρέψας, recte. Editi vero et alii, ὑποστρέψας.

(6) Manuscripti pene omnes, ἐν αὐτοῖς.

(7) Nicæn. synod., συγγνώμην διδόναι. Ταῦτα καὶ ἐν Ῥώμῃ ἐγράφη, καὶ ἀπεδέξατο ἡ Ρωμαίων Ἐκκλησία· ταῦτα, etc. Ibidem omnes pene manuscr. εὐλαβείᾳ. Editi et alii, εὐσεβείᾳ. Paulo post, tres optimi manuscripti, ἐπεχειρίας. Editi vero et alii ἐκχείριαν. Mox duo manuscripti, ταῦτα ἀναγνῶναι.

(8) Ita omnes pene manuscripti. Editi vero, ὑπὸ σοῦ. Infra σὲ, ante διακείμενον, deest in compluribus manuscriptis.

(9) Regius quintus, κακόδοξον γνώμην. Colb. 1, κακοπιστίαν. Mox, λοιπόν deest in quatuor manuscriptis. Mox Colb. 2, ἀπεγράψαντο ἑαυτοὺς τῆς Ἀρειανῆς αἱρέσεως προστάτας. Editi, ἀπεγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται. Alii manuscripti ut in textu: unus habet, ἑαυτοὺς, τῆς Ἀρειανῆς. Mox editi, καὶ τὴν ἐν Νικαίᾳ, particula καί deest in omnibus pene manuscriptis.

MONITUM IN DUAS SEQUENTES AD LUCIFERUM EPISTOLAS.

770 *Binas subjungimus epistolas ad Luciferum missas in edit. Comm. cusas, quæ Latine tantum inter Luciferi scripta supersunt: nec constat utrum Latine primum conscriptæ ab Athanasio sint, an postea Latine ab aliquo translatæ. Prior data videtur paulo post Luciferi exsilium, quod anno contigit* 355. *Laudat enim Luciferum a firmitate animi, illumque confessoris titulo exornat. Altera, ut monet quidam scholiastes, scripta fuit postquam Athanasius libros accepisset, quos ad ipsius Athanasii defensionem Constantio nuncupavit misitque Lucifer. Hic recenset Athanasius mala in persecutione Arianorum illata clericis, necnon monachis, aliisque orthodoxis. Atque iterum commendat Luciferum a constantia dicendique libertate. Est sane utraque epistola Athanasio Magno dignissima.*

Domino dilectissimo fratri Lucifero episcopo confessori, Athanasius in Domino salutem (10).

Deo favente, corpore valentes, misimus etiam nunc charissimum nostrum Eutychetem diaconem, ut tua quoque religiosa sanctitas, quod est nobis optandum et desiderabile, de tua incolumitate, tuorumque omnium certiores nos efficere dignetur. Vobis namque confessoribus ac servis Dei viventibus, credimus statum catholicæ Ecclesiæ renovari, et quod hæretici conscindere tentaverunt; hoc Dominum nostrum Jesum Christum per vos ad integrum restituere. Quanquam enim præcursores Antichristi

(10) Scripta anno circiter 360, ut et sequens.

3. Ne simus pecuniæ amatores ut Elisæi puer, qui hac de causa Naamani lepram in se traduxit ; sed cum patientia toleremus ærumnas,ut laborum remissionem ac quietem nanciscamur : nemo quippe sine afflictione intrabit in regnum cœlorum.Imitemur sanctos qui ætate nos præverterunt. Prior justus fuit Abel qui ex primogenitis ovium suarum et ex earum adipe primitias Deo obtulit, in quem frater ipsius germanus invidia inflammatus est. Quid, quæso,mali Caino fecerat Abel ? Invidiæ autem hujusmodi causa fuit,quod cum non rite obtulisset, acceptus non fuerit Deo. Et corpus quidem ejus occidit, ratus eadem opera divinum erga eum amorem exstinguere posse, ignorans scilicet animam ejus ad Deum clamare. At mentionem illius ipse Salvator facit in Evangelio ; Caini autem memoria exstincta est.Hodie item innoxius Abel occiditur; sed sanguis ad Dominum clamat : speramus que illum sanguinem talium tantorumque martyrum non silentio missurum. Tempus præsens illi sane simile est.

A ἐρήμῳ · ἀλλ' ὁμοιωθῶμεν Μωϋσεῖ ποιήσαντι τεσσαράκοντα ἡμέρας καὶ νύκτας, νηστεύοντι χωρὶς βρώσεως καὶ ποσεως. Οὐ μόνον ταύτας, ἀλλὰ καὶ ἄλλας τεσσαράκοντα, ἔχων τήν τε καρδίαν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν σάρκα κρεμαμένην πρὸς τὸν Θεόν. Μὴ ἐπιθυμήσωμεν ὡς τότε ἐπιθυμηταὶ κρεῶν γενόμενοι, πεσόντες ἐν τῇ ἐπήμῳ, Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν, ὡς ὁ ψαλμός φησι, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς · ἀλλὰ διατηρήσωμεν τῷ δόντι τὰς ἐντολὰς, ὡς οἱ υἱοὶ Ἰωναδὰβ, οἷς ὁ Θεὸς ἐπηγγείλατο λέγων · Οὐκ ἐκλείψει ἀνὴρ υἱῶν Ἰωναδὰβ παρεστηκὼς ἐνώπιόν μου πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ · οἵτινες οἶκον οὐκ ᾠκοδόμησαν ἑαυτοῖς, οὔτε μὴν ἀμπελῶνας ἐφύτευσαν, καὶ γεγόνασιν εἰς ἔλεγχον τῷ λαῷ. Καὶ ὁ μὲν λαὸς πλῆθος ὢν

B ἠχμαλωτεύθη · οὗτοι δὲ, ὀλίγοι ὄντες. ὑπὸ τοῦ Θεοῦ ἐφυλάχθησαν. Καὶ ὑμεῖς τοίνυν, οἵτινες τηρεῖτε τῶν πατέρων τὴν ὁδὸν. λογίζεσθε υἱοὶ υἱῶν Ἰωναδάβ. Τὴν τε κληρονομίαν τῶν πατέρων. ὡς ὁ γενναῖος Ναβουθὲ, τηρήσωμεν, ὃς ἠπειλήθη ὑπὸ Ἀχαὰβ λαβεῖν τὸν κῆπον τοῦ ἀμπεκῶνα εἰς κῆπον λαχάνων · μὴ ὑποδεξάμενος δέ, ἀνηρέθη ἀγωνιζόμενος · ἀλλ' ὁ Θεὸς αὐτὸν ἐξεδίκησε. Κῆπον γὰρ τὸν ἑαυτοῦ ἀμπελῶνα οὐκ ἤθελεν ἵνθα φύονται πράσσα [πράσα] καὶ κρόμμυα καὶ σκόροδα, ἅτε ἐξέκλινεν · ἀλλ' ἤθελεν ἀμπελῶνα εὐφροσύτης · μᾶλλον δὲ τὸν ἑαυτοῦ νοῦν εὐφραντικὸν, καὶ οὐκ ἔκλυτον ὡς μολόχην κήπου ἐν καύματι, ἢ ὡς σευτλίον ἡμίεφθον, ὥσπερ οἱ νῦν προδεδωκότες. Εἰ γὰρ ἀφῃρημένος ἦν, τάχα ἀφῄρητο ἂν ὁ νοῦς τῆς πατρικῆς θεοσεβείας · καὶ γὰρ ἐχρηματίσθη Ἰσραηλίτης ὅτι

C νοῦς ἦν ὁρῶν τὸν Θεόν. Οἱ δὲ νῦν μηδὲν παθόντες τὸν ἑαυτῶν ἀμπελῶνα τῆς ἀληθινῆς ἀμπέλου ἀπέδοντο τῷ Ἀχαὰβ, καὶ ἐφυτεύθησαν τοσαῦτα ψεκτὰ λαχανοειδῆ.

3. Μὴ γενώμεθα φιλάργυροι ὡς Ἐλισσαίου ὁ παῖς, ὁ διὰ τοῦτο τὴν λέπραν τοῦ Ναιμὰν ἐπισπασάμενος ἑαυτῷ · ἀλλ' ὑπομείνωμεν ἐν ταῖς θλίψεσιν, ἵνα τῆς ἀναπαύσεως μέτοχοι γενώμεθα · οὐδεὶς γὰρ χωρὶς θλίψεως εἰς τὴν βασιλείαν εἰσελεύσεται. Μιμησώμεθα τοὺς προγενεστέρους ἡμῶν ἁγίους. Ὁ πρῶτος δίκαιος ἦν Ἄβελ, ὃς ἀπαρχὴν τῷ Θεῷ ἀνήνεγκεν ἐκ πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν, ὃν ἐζήλωσεν ὁ ἴδιος ἀδελφός. Τί γὰρ ἄδικόν πεποίηκε τῷ Κάϊν ὁ Ἄβελ ; Ὁ δὲ ζῆλος διὰ τοῦτο ἐγένετο ἐν αὐτῷ, ἐπειγὴ οὐ προσεδέχθη αὐτὸς ὑπὸ τοῦ

D Θεοῦ ἐν τῷ μὴ προσενέγκαι ὀρθῶς. Καὶ τὸ μὲν σῶμα ἀπέκτεινε, νομίζων σβέσαι τὴν μεταξὺ αὐτοῦ θείαν ἀγάπην, ἀγνοῶν, ὅτι ἡ ψυλὴ αὐτοῦ βοᾷ πρὸς τὸν Θεόν. Καὶ ὁ μὲτ Σωτὴρ ἡμῶν μνείαν αὐτοῦ ποιεῖται ἐν τῷ Εὐαγγελίῳ · ἡ δὲ τοῦ Κάϊν μνεία ἀπείληπται. Σήμερον πάλιν τὸν ἀναίτιον Ἄβελ ἀποκτείνουσιν · ἀλλὰ τὸ αἷμα πρὸς τὸν Κύριον βοᾷ · καὶ ἐλπίζομεν, ὅτι οὐ παρασιωπηθήσεται διὰ τὸ αἷμα τῶν τηλικούτων μαρτύρων Ὥσπερ ὁ τότε καιρὸς, οὕτω καὶ νῦν.

[54] Psal. LXXVII, 35. [55] Jerem. XXXV, 19.

4. Μνησθῶμεν δὲ καὶ τῆς ὑπομονῆς τοῦ Ἐνὼχ, ὅτι πεποίηκεν ἔτη τριακόσια ἑξήκοντα πέντε ἀνατεταμένην τὴν διάνοιαν ἔχων πρὸς τὸν Θεὸν, ἕως ἂν μετατεθῇ. Μὴ οὖν ὀλιγωρήσητε· οὐ γὰρ κεχρονίκαμεν. Καὶ Νῶε δὲ πεντακόσια ἔτη πεποίηκε δίκαιος ὢν τέλειος ἐν τῷ καιρῷ τῆς παραβάσεως, πρὸ τοῦ λαλεῖν πρὸς αὐτὸν Θεὸν κατασκευάσαι τὴν κιβωτὸν, καὶ ἄλλα ἑκατὸν ἔτη αὐτὴν ἐργαζόμενος, χλευαζόμενος ὑπὸ τῶν ἐναντιουμένων· καὶ οἱ μὲν χλευάζοντες ἀπώλοντο ὑπὸ τοῦ κατακλυσμοῦ· ὁ δὲ, ἐπὶ τὸν Θεὸν ἠλπικὼς, ἐσώθη σὺν τοῖς οἰκιακοῖς, καὶ σωτήριον ἐγένετο τῷ κόσμῳ.

5. Ἀβραὰμ δὲ πάλιν ὑπήκοος Κυρίου γενόμενος κατέλιπε τὰ ἴδια οἰκητήρια, ἕως οὗ ἀπολάβῃ τὰς μεγάλας ἐπαγγελίας· πειραζόμενος γὰρ ἄχρι τοῦ ἀνενέγκαι θυσίαν τὸν ἴδιον ἀγαπητὸν υἱὸν τῷ Θεῷ, καὶ εἰληφὼς τηλικοῦτον χρηματισμὸν ὁ Ἀβραὰμ καλεῖσθαι φίλος Θεοῦ. Τὸν δὲ Ἰσαὰκ οἱ Φιλιστιεὶμ ἐπλεονέκτουν, καὶ τούτου τὰ φρέατα ἐνέφραττον, καὶ ἐμάχοντο αὐτῷ περὶ τοῦ ὕδατος· ὅτε δὲ ἔσχατον ἐμακρύνθη ἀπ' αὐτῶν, ἐπλάτυνεν αὐτῷ ὁ Θεὸς, καὶ τὸ στόμα αὐτοῦ ἐνέπλησεν εὐλογίας. Καὶ σήμερον πάλιν τοῦ Ἰσαὰκ τὰ φρέατα θέλουσιν ἐμφράξαι· ἀλλὰ μὴ ἐάσητε· λάβετε σὺν ὑμῖν τοὺς παῖδας τοῦ Ἰσαὰκ, καὶ ὀρύξατε, αἵτινές εἰσιν ἀποστόλων βοήθειαι τῆς διδασκαλίας, τῶν ὄντων ὑπερμάχων τῆς ἀληθείας. Τὸν Ἰακὼβ πάλιν ἐδίωκεν ὁ ἴδιος ἀδελφὸς Ἡσαῦ, καὶ ἀνεχώρησεν εἰς τὴν Μεσοποταμίαν, καὶ ἐποίμαινε τὰ πρόβατα Λαβὰν, ἀγρυπνῶν ἡμέρας καὶ νυκτὸς, ὡς μίσθιος κακοπαθῶν, ἐμακροθύμησεν ἐν μόχθῳ. Ἐν δὲ τῇ ἑαυτοῦ συνέσει ἔθηκε τὰς ῥάβδους ἐν ταῖς ληνοῖς τῶν ποτιστηρίων, καὶ πάντα τὰ ποικιλοειδῆ πρόβατα ὑπήρχθη ἴδια. Καὶ τούτῳ ὁ Θεὸς ἐπ' ἰσχάτων ἐπλάτυνεν· αὐτὸς γὰρ μόνος ἀπῴχετο, σὺν πολλῷ δὲ πλήθει ἐλήλυθεν, υἱοὺς ἐκτήσατο καὶ κτήνη, οὐ μόνον δὲ, ἀλλὰ καὶ πλήθη ἀγγέλων συνευφραίνοντο αὐτῷ. Ἐλεύσεται οὖν ὁ ἀληθινὸς Ἰακὼβ μετὰ τῆς οὐρανίου ἀγγελικῆς παρατάξεως, ὁ ποιμὴν τῶν προβάτων, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Τὸν Ἰωσὴφ δὲ οἱ ἴδιοι ἀδελφοὶ ἐζήλωσαν· οἱ υἱοὶ τοῦ πατρὸς αὐτοῦ τοῦτον ἀντὶ ἀργυρίου ἀπέδοντο, καὶ τὴν τούτου τιμὴν διεμερίσαντο. Ὁρᾶτε τὴν τοσαύτην ἀδικίαν τῶν ἀνδρῶν τούτων. Αὐτὸς δὲ ἐμακροθύμησεν ὁ δίκαιος ἐν πᾶσι τούτοις· οὐ γὰρ μόνον οἱ ἀδελφοὶ, ἀλλὰ καὶ ἡ γυνὴ ἐφθόνησεν αὐτῷ. Καὶ τοῦτον μακροθυμήσαντα ὁ Θεὸς κατέστησε τῆς γῆς Αἰγύπτου βασιλέα. Οὐ μόνον τῆς αἰσθητῆς βασιλείας κληρονόμος, ἀλλὰ καὶ τῆς ἐπουρανίου ἐγένετο. Καὶ σήμερόν εἰσιν οἱ τοὺς ἑαυτῶν ἀδελφοὺς πιπράσκοντες καὶ διαμεριζόμενοι τὸ ἀργύριον. Μνησθῶμεν καὶ τῆς ὑπομονῆς τοῦ Ἰὼβ, τοῦ μήτε εὐθηνοῦντος ἐκκλίναντος, μήτε μὴν πειραζόμενος τοσαῦτα ἐν ἑκάστῳ πράγματι, ἀλλὰ μακροθυμήσαντος καρτερῶς, ἕως ἂν ἀποκάβῃ διπλᾶ παρὰ Θεοῦ. Καὶ ἐμαρτυρήθη μέχρι νῦν, ὅτι πέπονθεν οὗτος, ἵνα φανῇ τοῖς πᾶσι δίκαιος. Ὁ δὲ Μωϋσῆς οὐκ ἐπεθύμησε τοῦ τόπου τὸν πλοῦτον περιποιήσασθαι· ἀλλ' ἔφυγε πάροικος γενόμενος ἐν ἀλλοτρίᾳ γῇ, ἣ τὰ ἐνεστῶτα κατέλειπεν, ἵνα μεταλάβῃ τῶν αἰωνίαν. Οἱ δὲ τοίνυν ἐπελάθοντο [ἐπελάχοντο] ἕως τῆς βασιλείας.

A 4 Recordemur item patientiæ et perseverantiæ Enochi, qui annos trecentos sexaginta quinque peregit mentem habens semper. Deo hærentem, donec translatus est. Ne itaque remisse ac negligenter agatis; non enim diuturno hic tempore degimus. Noe autem quingentos annos transegit justus atque perfectus in tempore prævaricationis, priusquam alloqueretur eum Deus juberetque illum arcam fabricari; quam per alios centenos annos construxit, ridentibus adversariis suis, Verum irrisores illi diluvio perierunt: ille contra qui in Deo spem habuerat, salutem cum familia sua consecutus est et mundum servavit.

1040. 5. Abraham rursus Domino obsecutus, proprias deseruit ædes, donec promissa magna consequeretur: tentatus enim eo usque ut juberetur B filium suum delictum offerre Deo in sacrificium, responso dignatus est, quo vocabatur amicus Dei. Isaac quoque Philistæi superbe tractarunt, ejusque puteos obturaverunt, ac cum eo de aqua concertarunt: at illum denique, postquam longius abcesserat ab eis, dilatavit Deus, osque illius replevit benedictione. Hodie quoque supersunt qui Isaaci puteos obturare tentent: verum id ne agi sinatis, nunite vobiscum Isaaci pueros, et puteos fodite, id est apostolicæ doctrinæ auxilia; apostoli namque sunt propugnatores veri. Jacobum rursus persecutus est ejus frater Esau, ac recessit is in Mesopotamiam, ubi greges Labani pascebat, die nocteque vigilans et quasi mercenarius mala passus, in labore diu viriliterque perseveravit. Prudenter autem ac consi- C derate virgas posuit in canalibus aquariorum, ita ut quotquot varii coloris erant oves, suæ essent. Et hunc quoque Deus in novissimo dilatavit: nam cum solus abiisset, cum multitudine magna rediit, filios possedit et jumenta, nec iis solum potitus est, sed etiam angelorum turmæ cum ipso familiariter agebant. Veniet igitur verus Jacob cum cœlesti angelicoque excercitu, scilicet ille Pastor ovium, et reddet unicuique secundum opera ejus, in Josephum autem vel ipsi fratres invidia moti sunt, ipsi filii patris sui pro pecunia tradiderunt eum, et pretium ejus inter se diviserunt. Videte quantum illi facinus perpetrarunt. Ipse autem vir justus in hisce omnibus fortiter patienterque se gessit: non enim fratrum duntaxat invidiam, sed etiam impotentem mulieris ani- D mum tulit. Hunc vero Deus diuturno tempore viriliter agentem, constituit Ægypti regem. Nec solum ejus quod sub sensum cadebat, sed etiam cœlestis regni hæres factus est. Sane hodie quoque tales reperiuntur; qui fratres suos vendant, et dividant inter se pecuniam. Recordemur etiam patientiæ Jobi, qui neque cum prospere ageret, neque cum tot tentationibus impeteretur, idque singulis in rebus atque possessionibus, ab æquitatate declinavit; sed fortiter diuque toleravit, donec duplicia acciperet a Deo. De ipsoque testimonium datum est usque ad præsens tempus, quod tanta taliaque passus sit, ut palam esset omnibus, eum virum esse justum. Moyses autem non concupivit loci illius divitias adipisci, sed

aufugit advenaque fuit in aliena terra, ac quæ præsentia erant dereliquit, ut æterna nanciscerétur. Ipsi itaque pari regni præmio donati sunt.

6. Tempus nos deficeret si de singulis sanctis A mentionem facere aggrederemur.Sed ut paucis concludamus,dicamus Eliam ab Jezabele vexatum,cum in ærumnis perseverasset, assumptum fuisse. Elisæus autem cum sociis oleribus vescebatur, sed Verbum vivens in se habuit : ipsiusque mortui ossa mortuum suscitaverunt : hinc indicium datur spem justi numquam perire. Jeremias, ex invidia pseudoprophetarum,in lacum lutosum vivens conjectus est.Ezechiel autem decumbens in latus alterum totos centum nonaginta dies ita transegit, comedens panem bibensque vinum cum mensura,neque in latus aliud conversus est, donec jusserit Deus. Qui autem Dominum deserunt,in latus aliud ad captandam quietem convertuntur, quos propalam est inde recepturos partem suam esse.In latus B itaque idem perseverate donec jusserit Deus. Vincula namque illa magna Ezechielis sunt firmissimi sermones Dei.Danielem autem accusarunt satrapæ, animo ipsum a precidus deterrendi ; ille vero nequaquam finem orandi fecit, injectusque bis est in lacum leonum,quorum Deus ora obturavit.Nec desunt hodie qui nos accusent,ut a precibus ad Deum emittendis absterreant.Idque manifestum est quia cum nos,tum Patres nostros episcopos persequuntur.Beatus sane vir inculpatus,in cujus ore inventa nulla est accusandi causa, nisi quod preces fundat ad Dominum. Illud est patientiam tenere usque in fidem. Nemo itaque vestrum animo deficiat.Considerate sanctos illos tres pueros qui imaginem Nabuchodonosoris adorare noluerunt, quique ex hujusmodi sanctitate ac vitæ instituto,tantum flammæ C caminum exstinxere, ut neque odor ignis in vestimentis eorum inventus. Nec in vestris quoque indumentis sit odor ignis Nabuchodonosoris, sive spurcarum exstinctarumque diaboli cogitationum. Ne vos fallat esca, neu quis dicat : Consenui, nec jejunare possum; sed recordetur Eleazari senis, qui nequaqua regis artibus deceptus est, ut gustaret aut manducaret immunda. Qui vero inter vos juniores sunt,in memoriam revocent septem illos generosissimos Machabæos : ac se mutuo cohortentur,frater scilicet fratrem,donec martyrio consummentur, et sint in templo Domini quasi columnæ ignis. Matres item in vobis quotquot habentur,filios hortentur suos ; quemadmodum illa Manichæorum mater, quæ non insano amore,non errore quopiam D decepta, filios hortabatur, ut eosdem in regno cœlorum reciperet et una secum haberet.Quod etiamsi vos adversarii persequantur, imo et comprehendant, sat vobis esto quod corpus vestrum si templum Dei.Mementote apostolorum, qui olim vexati et in carcerem conjecti sunt ; et ii tamen cum gaudio gratias agebant,quoniam digni habiti sunt pro nomine ejus contumeliam pati. Recordamini item tot sanctorum martyrum,qui plagas perpessi sunt, *adeo ut* etiam ipsis oculi excluderentur, et coclites

6. Ἐκλείψει ὁ καιρὸς διηγουμένων ἡμῶν περὶ ἑκάστου τῶν ἁγίων. Ἀλλ' ἵνα συντόμως εἴπωμεν τὸν λόγον, δηλοῦμεν, ὅτι καὶ τὸν Ἠλίαν ἐδίωκεν Ἰεζάβελ, ὑπομείνας δὲ ἐν τῷ κόπῳ ἀνελήφθη. Καὶ ὁ Ἐλισσαῖος δὲ σὺν τοῖς μετ' αὐτοῦ βοτάνας ἤσθιεν, ἀλλ' εἶχε τὸν ἐν αὐτῷ ζῶντα Λόγον· καὶ τούτου τὰ ὀστᾶ τελευτήσαντα ἀνέστησε νεκρὸν, γνωρίσματος διδομένου, ὅτι τοῦ δικαίου ἐλπὶς οὐκ ἀπόλλυται. Ἱερεμίαν εἰς λάκκον βορβόρου ἐνέβαλον ζῶντα, ζηλούμενον ὑπὸ τῶν ψευδοπροφητῶν. Ὁ δὲ Ἰεζεκιὴλ κοιμώμενος ἦν ἐπὶ τὰ πλευρὰ ἡμέρας ὅλας ἑκατὸν ἐνενήκοντα, ἐσθίων ἄρτον καὶ πίνων οἶνον ἐν μέτρῳ, οὐ μετεστράφη ἀπὸ πλευροῦ ἐπὶ τὸ πλευρὸν, ἕως οὗ ὁ Θεὸς αὐτῷ εἶπεν. Οἱ δὲ καταλείποντες τὸν Κύριον μεταστρέφονται εἰς τὸ πλευρὸν τῆς ἰδίας ἀναπαύσεως, οἵτινες ἔκδηλοί εἰσι λαβόντες ἀπεντεῦθεν τὴν ἑαυτῶν μερίδα. Ἐπιμείνατε οὖν ἐπὶ τὸ πλευρὸν ἕως ἂν ἡ θειότης προστάξῃ. Οἱ γὰρ τοῦ Ἰεζεκιὴλ μεγάλοι δεσμοί εἰσιν οἱ βεβαιότατοι λόγου τοῦ Θεοῦ. Τοῦ δὲ Δανιὴλ κατηγόρησαν οἱ σατράπαι, κωλῦσαι θέλοντες αὐτὸν τῶν εὐχῶν· ὁ δὲ οὐκ ἐπαύσατο, καὶ ἐνεβλήθη δὶς εἰς λάκκον λεόντων· ὁ δὲ Θεὸς ἐνέφραξεν αὐτῶν τὰ στόματα. Καὶ σήμερον κατηγοροῦσιν ἡμῶν, μὴ θέλοντες προσεύχεσθαι ἡμᾶς πρὸς τὸν Θεόν. Φανερὸν τοῦτο, ὅτι καὶ ἡμᾶς διώκουσι, καὶ τοὺς Πατέρας ἡμῶν τοὺς ἐπισκόπους. Μακάριος ἀνὴρ ὅστις ἄμεμπτός ἐστι, καὶ οὐχ εὑρέθη ἐν αὐτῷ αἰτία, ἀλλ' αὕτη μόνη, τὸ προσεύχεσθαι πρὸς τὸν Κύριον. Τοῦτο ἐστι τὸ ὑπομένειν εἰς τέλος. Μηδεὶς οὖν ἐν ὑμῖν ὀλιγοψυχείτω. Κατανοήσατε γὰρ τοὺς τρεῖς ἁγίους μικροὺς ὄντας μὴ ὑποταγέντας τῇ εἰκόνι Ναβουχοδονόσορ, καὶ διὰ τῆς αὐτῆς ἁγιωσύνης καὶ πολιτείας κατασβέσαντας τὴν τηλικαύτην κάμινον τῆς φλογὸς, καὶ οὐδὲ ὀσμὴ πυρὸς ἐν τοῖς ἐνδύμασιν αὐτῶν ἐγένετο. Μηδὲ ἐν τοῖς ὑμετέροις ἐνδύμασι γενέσθω ὀσμὴ πυρὸς τοῦ Ναβουχοδονόσορ, οἵτινές εἰσιν οἱ τοῦ διαβόλου οἱ κατασβεννύμενοι φθαρτοὶ λογισμοί. Μὴ ἀπατάτω ὑμᾶς βρῶσις, μηδὲ λεγέτω τις· Γεγήρακα καὶ οὐ δύναμαι νηστεῦσαι· ἀλλὰ μεμνήσθω τοῦ γεραιοῦ Ἐλεαζάρου, τοῦ μὴ ἀπατηθέντος ὑπὸ τοῦ βασιλέως γεύσασθαι ἢ μιαροφαγῆσαι. Οἱ δὲ ἐν ὑμῖν νεώτεροι μνημονευέτωσαν τῶν ἑπτὰ γενναιοτάτων Μακκαβαίων, παραμυθούμενοι ἕκαστος τὸν ἑαυτοῦ ἀδελφὸν, ἄχρις ἂν τελειωθῶσιν ἐν τῇ μαρτυρίᾳ, καὶ γένωνται ἐν τῷ ναῷ Κυρίου στῦλοι φωτός. Ὅσαι πάλιν ἐν ὑμῖν μητέρες, παρακλήτορες ἔστωσαν τῶν τέκνων, ὥσπερ ἡ ἐκείνων ἀμανὴς καὶ ἀπλανὴς προτρεπομένη τοὺς υἱοὺς, ἵνα ἐν τῇ βασιλείᾳ ἐκεῖ ἀπολάβῃ σὺν αὐτῇ. Κἂν διωχθῆτε, καὶ ἀπολεσθῶσιν ὑμᾶς, ἱκανούσθω τὸ σῶμα ὑμῶν εἶναι ναὸς Θεοῦ. Μνήσθητε τῶν διωκομένων τότε ἀποστόλων καὶ εἰς φυλακὴν βληθέντων, καὶ εὐχαριστούντων μετὰ χαρᾶς, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι· καὶ τῶν ἁγίων μαρτύρων τῶν τοσούτων αἱκισμοὺς ὑπενεγκόντων, ἄχρι καὶ ἐξορύξεως ὀφθαλμῶν, καὶ μονόφθαλμοι ἐγένοντο. Ἀλλ' ἡ τοῦ Θεοῦ γνῶσις ἐν τῇ καρδίᾳ αὐτῶν ἐτύγχανεν, εἰς οὓς ὁ τῶ

Σωτῆρος λόγος ἔφθασε λέγοντος· Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Τινὲς δὲ νῦν προδεδώκασι μηδὲν καθόλου αἰσθόμενοι παθόντες, ἕνεκεν τριῶν πραγμάτων, φιλαργυρίας τε καὶ ἀπολαύσεως σαρκὸς, βρωμάτων καὶ ποτῶν, καὶ κενοδοξίας, φιλαρχίας καὶ ἀνθρωπίνου φόβου. A

7. Ταῦτα γεγραφήκαμεν παρακαλοῦντες ὑμᾶς· ἀλλ' ἔστι μέτρον ἑκάστου κατὰ τὴν ἑκάστου πολιτείαν ἴδιον. Ἕκαστος οὖν ὑμῶν φίλους ἑαυτοῦ ἄνω κτάσθω· διὸ ἡ Γραφὴ λέγει· Ἐν παντὶ καιρῷ φίλος ὑπαρχέτω σοι. Ἀδελφοὶ δὲ ἐν ἀνάγκαις ἔστωσαν χρήσιμοι· τούτου γὰρ χάριν γεννῶνται. Ὅσοι οὖν μιμηταὶ ἑκάστου τῶν προειρημένων εἰσὶ, τούτων συγκληρονόμοι ἔσονται, καὶ τούτους ἕξουσι φίλους ἐν ἡμέρᾳ ἀνάγκης. Εἴ τις πρεσβύτερος τυγχάνει, μιμείσθω Τιμόθεον προεστῶτα καλῶς, καὶ βαθμὸν ἑαυτῷ περιποιοῦντα καὶ πολλὴν παῤῥησίαν ἐν Χριστῷ. Εἴ τις διάκονος ἐστι, μιμείσθω τοὺς περὶ Στέφανον ἑπτὰ πιστευθέντας διακονεῖν, οἳ καὶ πιστοὶ πλήρεις Πνεύματος ἁγίου ἐγένοντο. Εἴ τις ἀναγνώστης, συμμέτοχος γενέσθω τοῦ λέγοντος· Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου· καὶ ὡς εἶπεν ὁ Πέτρος· Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· καὶ, Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου. Ὅσοι μοναχοὶ τέλειοι, ἐχέτωσαν τούτους τοὺς ἁγίους ἄνδρας εἰς φίλους, Ἠλίαν, Ἐλισσαῖον, Ἰωάννην· οἱ δὲ ἐν αὐτοῖς νεώτεροι μιμείσθωσαν τοὺς τότε τρεῖς ἁγίους μετὰ τῶν Μακκαβαίων. Αἱ δὲ παρθένοι προσδοκώμεναι εἶσι μετὰ τῶν συνεταιρίδων ἐν οὐρανοῖς Μαρίας ἅμα ἀδελφῆς Ἀαρὼν, καὶ τῆς Μαρίας καὶ Θέκλης τῆς ἐκτιλάσης τὴν σαρκικὴν ἐπιθυμίαν ἀφ' ἑαυτῆς, καὶ τῶν τεσσάρων θυγατέρων Φιλίππου τῶν προφητευουσῶν. Αἱ δὲ χῆραι πολιτευόμεναι ἔστωσαν ὥσπερ Δεβόῤῥα κρίνουσα τὸν λαὸν, ἥτις ἐχρημάτισε μήτηρ ἐν Ἱερουσαλὴμ· καὶ ὡς Ἰουδὴθ ἐν τῇ φρονιμότητι καὶ ἁγιασμῷ τὴν κεφαλὴν Ὀλοφέρνου ἀφειλαμένη· καὶ ὥσπερ Ἄννα θυγάτηρ Φανουὴλ, ὀγδοήκοντα τεσσάρων ἐτῶν οὖσα, ἣν ἐν τῷ ἱερῷ λατρεύουσα ἐν νηστείαις καὶ δεήσεσι, καὶ ἐπὶ τέλει ἀνθωμολογεῖτο τῷ Κυρίῳ. B C

8. Ὅσοι πρεσβῦται τῇ ἡλικίᾳ εἰσὶν, ἔστωσαν μιμηταὶ τοῦ ἀγαθοῦ πρεσβείου τοῦ Ἀβραὰμ ἐν τῇ φιλοξενίᾳ, καὶ ὥσπερ Ἰσαὰκ καὶ Ἰακὼβ, Ἰὼβ τε καὶ Λώτ. Ὅσαι δὲ πρεσβύτιδες ἡ χῆραι, ζηλούτωσαν τὴν χήραν τὴν ἐν Σαραιπτὰ, καὶ τὴν προσενεγκαμένην τὰ δύο λεπτά. Νῦν δὲ, ἀγαπητοί μου ἐν Κυρίῳ, χωρὶς πολυλογίας, καιρός ἐστι τοῦ πενθῆναι. Ἐγένετο δὲ μετὰ τὸ αἰχμαλωτευθῆναι τὴν Ἱερουσαλὴμ, καὶ Ἰσραὴλ ἐρημωθῆναι, ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ Ἱερουσαλὴμ, καὶ εἶπε· Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμένη λαῶν; ἐγενήθη ὡς χήρα· οἱ γὰρ ἅγιοι ἐπὶ τῇ τῶν ἀνθρώπων πτώσει κλαίουσιν. Ἰδοὺ γὰρ σήμερον ἡ Ἐκκλησία ὡς χήρα γεγένηται· ἰδοὺ ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἰ- D

evaderent. Verum Dei cognitio cordibus eorum inhærebat, ipsisque competebat hoc Salvatoris dictum. *Beati mundo corde, quoniam ipsi Deum videbunt* [56]. Sunt autem quidam hodie, qui aperte produnt se nihil ærumnarum tolerare posse, idque tribus potissimum de causis, ob avaritiam scilicet, carnisque voluptates, cibum et potum, atque ob inanem gloriam, ambitionem, humanumque metum.

7. Hæc scripsimus vos exhortandi causa; verum est sua cuique mensura secundum proprium singulorum institutum. Quisque igitur vestrum amicos sibi 1041 sursum paret, qua de causa dicit Scriptura: *In omni tempore amicus tibi sit* [57]. Fratres autem in necessitatibus, mutis inserviant commodis; ea enim de causa gignuntur. Quotquot igitur singulorum, quos supra recensui, imitatores sunt, eorumdem cohærendes erunt, iisque in die necessitatis amicis fruentur. Si quis presbyter est; imitetur Timotheum qui pulchre præfuit, et gradum sibi acquisivit multamque in Christo fiduciam. Si quis diaconus est, imitetur septem illos qui cum Stephano ad diaconi officium allecti sunt, qui fideles ac pleni Spiritu sancto fuerunt. Si quis lector est, is particeps et imitator ejus sit qui ait: *Lingua mea calamus scribæ velociter scribentis* [58]; et, ut ait Petrus: *Si quis loquitur, tanquam eloquia Dei* [59]; et *Argentum igne examinatum est lingua justi* [60]. Monachi perfecti, sanctos hosce amicos sibi parent, Eliam, Elisæum, Joannem: qui vero inter illos juniores sunt, imitentur tres illos sanctos pueros, cum Machabæis. Virgines autem exspectent cum consortibus suis in cœlis coronandas esse, una cum Maria Aaronis sorore, Maria Virgine, ac Thecla quæ carnalem cupidinem ab se eradicavit, necnon cum quatuor Philippi filiabus prophetantibus. Viduæ vitam suam perinde instituant atque Debora, quæ populum judicavit, quæ vocata est mater in Jerusalem: ac sicut Judith quæ prudentia et sanctitate caput Holopherni abscidit; et sicut Anna filia Phanuel, quæ octoginta quatuor annorum cum esset, in templo ministrabat in jejuniis et obsecrationibus, et in fine confitebatur Domino.

8. Quotquot senes ætate sunt, boni senis Abrahami in hospitii jure exercendo imitatores sint, pariterque Isaaci, Jacobi, Jobi et Loti. Vetulæ aut viduæ æmulentur viduam Sareptanam, et eam quæ duo minuta obtulit. Nunc autem, dilecti mei in Domino, ne multis dicam, tempus lugendi est. *Et factum est postquam in captivitatem redacta est Jerusalem et Israel desertus est, sedit Jeremias flens, et planxit lamentatione hac super Jerusalem et dixit: Quomodo sedet sola civitas plena populo? facta est quasi vidua* [61], sancti quippe hominum lapsus deplorant. Ecce namque hodie Ecclesia Dei quasi vidua facta est: ecce viæ Sion lugent eo quod non sint qui veniant ad solemnitatem; ecce sacerdotes ejus gemunt, virgines ejus abducuntur, clausum est

[56] Matth. v, 8. [57] Prov. xvii, 17. [58] Psal. xliv; 2, [59] I Petr. iv, 11. [60] Psal. xi, 7. [61] Thren. i, 1.

Sabbatum nostrum et solemnitas, atque neomenia. Alio item loco lacrymatur propheta dicens : (62) *Flebo te, vinea Sebama cur perierunt vindemiatores tui ? vinum in torculari est, egens calcatoribus. Multa autem ob multitudinem vulneratorum hoc tempore recusarunt vulnerati. Quotquot igitur illæsi remanserunt juvenes expediti, conservati veniant, ut hæc percipiant* [62]. Et rursus alio in loco hæc lamenta edit : *Quis dabit capiti meo aquam, et oculis meis fontem lacrymarum, et plorabimus populum hunc die ac nocte, vulneratos filiæ populi mei, qui sapientes sunt ad faciendum malum, nesciuntque facere bonum* [63] ? Sic faciunt qui plorant de lapsibus hominum. Ezechiel propheta rursus plorabat pro omnibus qui caderent, prout jussum ipsi fuerat : *Leva planctum super principem Tyri* [64]. Nec de principe Tyri tantum lamentabatur, sed ut vel ex ipsius lacrymis augurari facile est, de multis aliis : nam omnibus advigilant et lugendi exempla suppeditant. David quoque de fortium casu lamentabatur cum diceret : *Quomodo ceciderunt fortes, et perierunt vasa bellica ? Ne annuntietis in Geth, neque in viis Ascalonis, ne forte exsultent filiæ incircumsiorum* [65]. Ecce hodieque ceciderunt fortes, et magna instrumenta bellica, de quibus lugendum est. Lugebat item ipse de Absalone non quia mortuus, sed quia prævaricatus esset. Et nos itaque ne lugeamus defunctos, sed eos qui propriam fidem abnegarunt. Excipiamus Joelis dictum ejusque jussa compleamus, queis hortatur ut lamentemur de iis qui eunt in perniciem, his verbis ; *Egrediatur sponsus de cubiculo suo, et sponsa de lecto suo. Plorabunt sacerdotes ministri altaris et dicent : Parce, Domine, populo tuo, et ne des hæreditatem tuam in opprobrium, ut dominentur eis nationes, ne forte dicant in gentibus, Ubi est Deus eorum* [66] ? Fortasse nobis quoque dicatur et illud : *Zelatus est Dominus populum suum, et pepercit populo suo* [67]. In Threnis item legitur : *Muri Sion emittant ceu torrentes lacrymas die ac nocte* [68]. Num muris et lapidibus ita loquitur, an potius iis qui vere muri Ecclesiæ sunt ? Certe in iisdem omnibus id completum est; nam lacrymas ubique ceu torrentes emiserunt.

9. Nunc autem assumamus Cantici, verba, *Euntes ibant et flebant mittentes semina sua* [69]. Quemadmodum hodierni præsules, qui non habent quo semina emittant. Attamen *venientes venient cum exsultatione, portantes manipulos suos* [70]. Nam *beati qui, lugent, quoniam ipsi consolabuntur* [71] : et illud; *Ad vesperum demorabitur fletus, et ad matutinum lætitia* [72]. Apostoli quippe qui tunc ad vesperum

ναι ἐρχομένους ἐν ἑορτῇ· ἰδοὺ οἱ ἱερεῖς αὐτῆς ἀναστενάζουσι, καὶ αἱ παρθένοι αὐτῆς ἄγονται, ἀπεκλείσθη ἡμῖν τὸ Σάββατον, καὶ ἡ ἑορτὴ, καὶ ἡ νεομηνία. Καὶ ἐν ἄλλῳ τόπῳ κλαίει ὁ προφήτης λέγων· Κλαύσομαί σε, ἄμπελος Σέβαμα· τί ὠλοθρεύθησαν τρυγηταί σου; ὁ οἶνός ἐστιν ἐν ληνῷ χρῄζων κούφων ἀξίων χωρῆσαι τοῦτον. Πολλὰ δὲ διὰ τὸ πλῆθος τῶν τετραυματισμένων ἐν τῷ νῦν καιρῷ παρητήσαντο τετραυματισμένοι. Ὅσοι γοῦν ἀβλαβεῖς ἔμειναν κοῦφα νέα διατετηρημένα προσερχέσθωσαν μεταλαβεῖν. Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ κλαίει λέγων· Τίς δῴη τῇ κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσωμεν τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτὸς, τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ μου, τοὺς σοφοὺς ὄντας εἰς τὸ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι μὴ ἐπεγνωκότας; Τοῦτο ποιοῦντες κλαίουσι ἐπὶ τῷ πτώματι τῶν ἀνθρώπων. Ὁ προφήτης δὲ πάλιν Ἰεζεκιὴλ ἐθρήνει ἐφ' ἕκαστον τῶν ἀποπεπτωκότων, ὥσπερ αὐτῷ εἴρηται· Λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα Τύρου. Καὶ οὐκ ἐπὶ τὸν ἄρχοντα Τύρου μόνον, κλαίει, ἀλλ' ἐπὶ τοὺς πολλοὺς τάχα ἐκ τῶν αὐτοῦ δακρύων καταντήσουσιν· σκοποὶ γὰρ τυγχάνουσι τοῦ παντὸς, καὶ διίκτορες τοῦ πενθεῖν. Καὶ ὁ Δαυὶδ ἔκλαιεν ἐπὶ τῷ πτώματι δυνατῶν λέγων· Πῶς ἔπεσον δυνατοὶ, καὶ ἀπώλοντο σκεύη πολεμικά; Μὴ ἀναγγείλατε ἐν Γὲθ, μηδὲ ἐν ὁδοῖς Ἀσκαλῶνος, μήποτε εὐφρανθῶσι θυγατέρες ἀπεριτμήτων· ἰδοὺ γὰρ καὶ σήμερον ἔπεσαν δυνατοὶ, καὶ μεγάλα σκεύη πολεμικὰ, ἅπερ δεῖ κλαίειν. Ἔκλαιε δὲ ἐπὶ τὸν Ἀβεσσαλὼμ, οὐχ ὅτι ἀπέθανεν, ἀλλ' ὅτι παρηνόμησε. Καὶ ἡμεῖς τοίνυν μὴ τοὺς τελευτήσαντας κλαύσωμεν, ἀλλὰ τοὺς τὴν ἰδίαν πίστιν ἀπαρνησαμένους. Δεξώμεθα καὶ τὸν λόγον τοῦ προφήτου Ἰωὴλ, καὶ ἐπιτελέσωμεν, ὡς προστάττει καὶ προσκαλεῖται κλαίειν ἐπὶ τοὺς ἐν ἀπωλείᾳ λέγων· Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ, καὶ ἐροῦσι· Φείσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, μήποτε εἴπωσιν ἐν τοῖς ἔθνεσι· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Τάχα δέ πως καὶ ἡμῖν λοιδορείᾳ τὸ, Καὶ ἐζήλωσε Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ. Καὶ ἐν τοῖς θρήνοις πάλιν κεῖται· Τείχη Σιὼν καταγαγέτωσαν ὡσεὶ χειμάρρους δάκρυα ἡμέρας καὶ νυκτός. Μὴ ἄρα τείχεσιν ἢ λίθοις λέγει, ἢ πάντως τοῖς οὖσιν ἁγίοις τείχεσι τῆς Ἐκκλησίας; Ἰδοὺ γὰρ ἐπὶ τέτακται αὐτοὺς πεπλήρωται καταγαγόντας ὡσεὶ χειμάρρους δάκρυα πανταχοῦ.

9. Νῦν δὲ ἐπιλαβώμεθα καὶ τοῦ τῆς Ὠδῆς λόγου. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον αἴροντες τὰ σπέρματα αὐτῶν. Ὥσπερ οἱ πρεστῶτες νῦν καὶ οὐκ ἔχοντες ποῦ τὰ σπέρματα καταβάλωσιν. Ἀλλ' ὁμῶς ἐρχόμενοι ἥξουσιν ἐν ἀγαλλιάσει φέροντες τὰ δράγματα αὐτῶν. Μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· καὶ τὸ, Ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις·

[62] Jerem, XLVIII, 32 [63] Jerem. IX, 1-2. [64] Ezech. XXVIII, 11. [65] II Reg. I. 16. [66] Joel II, 16, 17. [67] ibid. 18. [68] Threm. II, 18. [69] Psal. CXXV, 6. [70] ibid. [71] Matth. V, 5. [72] Psal. XXIX, 6.

(62) Hæc multum a Græco et a Vulgata differunt perplexaque sunt.

σις. Οἱ γὰρ ἀπόστολοι καὶ τότε κλαίοντες τὰ ἑσπέρας, ἠγαλλιάσαντο πρωΐας. Καὶ ἡ Μαγδαληνὴ Μαρία παρεκάθητο τῷ μνημείῳ κλαίουσα· ταύτῃ ὀφθεὶς ὁ Κύριος ἀφεῖλε τῶν αὐτῆς ἀφθαλμῶν τὰ δάκρυα· ἐπληρώθη τὸ (63) προλέγοντο· Καὶ ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. Μνήσθητε τοῦ Κυρίου ἡμῶν, ὅτι τοσαῦτα ἔπαθε δι' ἡμᾶς· ἐξεδύθη τὸν ἱματισμόν, ἐνέδυσαν αὐτὸν χλαμύδα κοκκίνην, περιέθηκαν αὐτῷ στέφανον ἐξ ἀκανθῶν, ἐπέπτυσαν αὐτῷ, ἐνέπαιξαν αὐτῷ, καὶ ἐῤῥαπίσθη ὑπὸ ὑπηρέτου ὁ τῶν ἁπάντων Λεσπότης. Ἐκρεμάσθη ἐπὶ ξύλου, ἐπότισαν αὐτὸν ὄξος μετὰ χολῆς, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βλέποντος, λόγχῃ τὴν πλευρὰν ἔνυξαν, παράθετο τὸ πνεῦμα εἰς χεῖρας τοῦ Πατρὸς, ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν μνημείῳ, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ, ἀνελήφθη ἐν δόξῃ εἰς οὐρανούς, πρυεκήρυξαν αὐτὸν ἅγιοι ἄγγελοι λέγοντες· Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν. Ἀναλογίσασθε οὖν τον τοιαυτην ὑπομονὴν ἐνδειξάμενον, ἵν' ὅστις ἂν μιμητὴς αὐτοῦ γίνηται, οὗτος καὶ συγκάθεδρος καὶ συγκληρονόμος αὐτοῦ γένηται, ὡς αὐτὸς ἐπηγγείλατο, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν εἰς τοὺς αἰῶνος τῶν αἰώνων. Ἀμήν.

A fleverant, ad matutinum postea lætati sunt. Et Maria Magdalena sepulcro flens astabat, cui apparens Dominus abstulit lacymas ab oculis ejus, sicque impletum est quod ante dictum fuerat, *Et abstulit Deus omnem lacryman ab omni vultu* [73]. Recordamini Domini nostri, qui tanta passus est pro nobis: exutus fuit vestimento, et induerunt eum chlamyde coccinea, imposuerunt ei spineam coronam, conspuerunt in eum, illuserunt ei: colaphis cæsus est a ministro, qui omnium Dominus est. Suspensus est in ligno, potatus aceto cum felle: diviserunt vestimenta ejus ipso vidente, lancea latus ejus confixerunt, deposuit ipse spiritum in manus Patris: repositum est corpus ejus in monumento, resurrexit tertia die, assumptus est cum gloria in cœlos, prænuntiarunt eum sancti angeli dicentes, *Attollite portas, principes, vestras* [74]. Animo igitur considerate eum qui talem exhibuit patientiam, ut quisquis ejus imitator fuerit, cum illo sedeat ejusque cohæres sit, quemadmodum ipse pollicitus est, in regno cœlorum, in sæcula sæculorum. Amen.

B

MONITUM IN SEQUENTEM SERMONEM.

1042 « Hoc opusculum Athanasii nomine comparet in codicibus Ambrosianis et Ottobonianis: cujus stylus medio quodam orandi genere inter δριμύν scilicet et χυδαῖον progreditur. At cum quidquid homiliarum populariumque sermonum Athanasius edidit, jam injuria temporum vetustate obrutum fuerit, et si qua hoc in genere supersunt vel aperte spuria sint, vel inter ἀμφιβαλλόμενα computentur; haud facile est internoscene num hoc opusculum sit Athanasio adjudicandum. Si quis vero objiciat, hac rerum conditione, non posse unquam, quavis reperta homilia vel sermone Athanasiine sit definiri; huic reponam, posse homilias sive orationes Athanasii nomine deprehendi, quæ primo conspectu Athanasiani styli notas præferant; quæ autem supersunt homiliæ Athanasii nomine insignitæ, vel nugis plenæ manifesteque spuriæ sunt, vel humiliore stylo conscriptæ, quam ut Athanasio incunctanter ascribantur. Quo postremo in genere hanc censendam putamus. »

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΒΑΙΑ.

Φρικτὸν, ἀγαπητοὶ, μυστήριον σήμερον ἐν Ἱερουσαλὴμ γέγονε. Μυστήριον δέ φημι· τὸ ὑπὸ τῶν προφητῶν κηρυχθὲν, καὶ ὑπὸ Φριστοῦ τελεσθέν. Ὄντως γὰρ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, κατὰ τὸν μακάριον Δαυΐδ· καὶ πάλιν ὁ αὐτός. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Τὴν γὰρ κοινὴν ἀνάστασιν τοῦ τῶν ἀνθρώπων γένους πιστούμενος ὁ πάντων δεσπότης καὶ δημιουργὸς Ἰησοῦς Χριστὸς, ὁ πάντα δι' ἡμᾶς οἰκονομήσας, πρὸ τοῦ σωτηρίου αὐτοῦ πάθους ἐκ νεκρῶν ἤγειρε τὸν Λάζαρον. Ὅθεν μετὰ τοῦτο σπεύδων, ὡς ἔφην, λοιπὸν τὸ ὑπὲρ ἡμῶν πάθος ἀναδέξασθαι, Ἀποστέλλει, φησὶν ὁ εὐαγγελιστὴς, δύο τινὰς τῶν ἑαυτοῦ μαθητῶν λέγων· Πορευθέντες εἰς τὴν κατέναντι ἡμῶν κώμην, εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον σὺν αὐτῇ· λύσαντες ἀγάγετέ μοι. Διὰ τοῦτο ὁ μακάριος

SANCTI PATRIS NOSTRI ATHANASII ARCHIEPISCOPI ALEXANDRINI SERMO IN RAMOS PALMARUM.

C Tremendum, dilecti, mysterium hodie Jerosolymis exstitit. Mysterium dico, quod a prophetis prænuntiatum, a Christo consummatum est. Revera enim *benedictus qui venit in nomine Domini*, secundum beatum Davidem [75]; ac rursus idem: *Ex ore infantium et lactentium perfecisti laudem* [76]. Ut enim communem generis humani resurrectionem fore suaderet Dominus et creator Jesus Christus, qui omnia nostri causa dispensavit et fecit, ante salutarem passionem suam Lazarum ex mortuis suscitavit. Quamobrem hoc peracto, ut dixi, festinavit voluntariam pro nobis adire passionem. *Mittit*, ait evangelista, *duos ex discipulis suis dicens: Euntes in vicum oppositum, invenietis asinam alligatam, et pullum cum ea: solventes, adducite mihi* [77]. Ideo beatus Jacob patriarcha cum benedictiones quasi

(63) Προλεγόμενον.

[73] Isa. xxv, 8. [74] Psal. xxiii, 7, 9. [75] Psal. cxvii, 26. [76] Psal. viii, 3. [77] Matth. xxi, 1, 2.

sortem filiis impertiret, ubi ad Judam pervenisset, sic ait: *Judas, te laudent fratres tui* [78]; et paucis interpositis, *Et ipse exspectatio gentium* [79]. Qualium Judas gentium exspectatio fuit? Nullius. Verum id indicat propheta, quod ex Juda sol ortus sit. Rursum paucis interjectis idem ait: *Ligans ad vineam asinam suam, et ad vitem pullum asinæ* [80]. Asinam et pullum dicens, Ecclesiam gentium significavit. Nam revera Dominus gentes vineæ et viti colligavit, id est, Veteri et Novo Testamento, quo per fidem pietatis fructum ferrent. Hinc pergit: *Lavabit in vino stolam suam, et in sanguine uvæ amictum suum* [81]. Stolam et amictum Christi, carnem nuncupat. Siquidem sponte in carne sua cruci pro nobis affixus est, ut proprio sanguine peccatorum nostrorum sordes ablueret, quemadmodum in Isaia scriptum est: *Quare rubra vestimenta tua, et indumenta tua quasi calcati torcularis, plenus conculcata* [82]? Verum ad propositum revertamur. Dicit ergo dispulis Dominus de asina loquens: *Et si quis vobis dixerit: Quid facitis? aut cur solvitis pullum? dicite: Domino opus illo est* [83]. In nullo, inquit, dubitate eorum quæ secundum œconomiam meam geruntur; nemo vobis repugnabit aut obsistet in ulla re. Dicite, Domino illius esse opus: jussum meum exsequentes nemo vos coercebit: *Nam meus est orbis terræ et plenitudo ejus* [84]. Oportet igitur quæcunque a me scripta sunt ad exitum deduci. Hodie insidens subjugali Jerosolymam ingressurus sum. Scrutamini Scripturas; ecce Zacharias propheta his verbis exclamat: *Gaude multum, filia Sion: prædicabitur tibi justus et Salvator. Ipse mansuetus, insidens subjugali, et pullo asinæ juveni* [85]. Tempus præsens beneplaciti est; oportet me inimicum evertere ac per crucem omnia pacata reddere. Opus est ut isthæc Jerosolyma finem accipiat, et Ecclesia gentium firmetur. Annon psalmista David de hac vocatione gentium vaticinatus est? Quid vero ait? *Omnes gentes, quascunque fecisti, venient, et adorabunt coram te, Domine* [86]. Hi sunt veri adoratores, qui per fidem Verbum receperunt. Deinde ait evangelista: *Euntes autem discipuli fecerunt sicut præcepit illis, et adduxerunt asinam et pullum, et imposuerunt super illos vestimenta, et Jesum desuper sedere fecerunt* [87]. O magnam Servatoris erga nos attemperationem! Quis ejus erga nos amoris affectum non admiretur? Quis non obstupescat quando is, qui sedet super cherubim, jam propter nos pullo asinæ insidet? Et qui a seraphim celebratur, jam a parvulis effertur laudibus? Nam vestimentis, inquit, suis viam sternebant; alii ramos de arboribus cædentes, idipsum præstabant; et alii quidem præeuntes, alii vero subsequentes, cum innocentibus pueris una clamabant, triumphalem hymum proferentes, his verbis: *Hosanna filio David, benedictus qui venit in nomine Domini, Hosanna in excelsis* [88]. Quamobrem

A Ἰακὼβ ὁ πατριάρχης, ἡνίκα τὰς εὐλογίας ἐν κλήρῳ παρεῖχε τοῖς τέκνοις, ἐλθὼν ἐπὶ τὸν Ἰουδαν, οὕτως εἴρηκεν· Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου. καὶ μντ' ὀλίγα· Καὶ αὐτὸς προσδοκία ἐθνῶν. Ποίων δὲ ἐθνῶν γέγονε προσδοκία Ἰούδας; Οὐδαμῶς. Ἀλλὰ τοῦτο δηλοῖ ὁ προφήτης, ἐπειδὴ ἐξ Ἰούδα ἀνατέταλκεν ὁ ἥλιος. Πάλιν μεθ' ἕτερα ὁ αὐτὸς λέγει· Δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου. Ὄνον καὶ πῶλον εἶπεν, τὴν Ἐκκλησίαν τῶν ἐθνῶν ἐστήμανεν. Ἐδέσμευσε γὰρ ἀληθῶς τὰ ἔθνη ὁ Κύριος τῇ ἀμπέλῳ καὶ τῇ ἕλικι· τουτέστι, τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, ὅπως καρποφορήσωσι καρπὸν εὐσεβείας διὰ τῆς πίστεως. Εἶτα ἐπάγει· Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. Στολὴν τοῦ Χριστοῦ καὶ περιβολὴν τὴν σάρκα λέγει. Ἐκουσίως γὰρ δι' ἡμᾶς ἐν σταυρῷ προσηλώθη σαρκί, ἵνα τῷ ἰδίῳ αἵματι τὸν ῥύπον ἐκπλύνῃ τῶν ἡμετέρων ἁμαρτιῶν. καθὼς καὶ ἐν Ἡσαΐᾳ γέγραπται· Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀποπατητοῦ ληνοῦ, πλήρης κατεπεπατημένης; Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Λέγει γὰρ τοῖς μαθηταῖς ὁ Κύριος περὶ τῆς ὄνου· Καὶ ἐάν τις ὑμῖν εἴρῃ, Τί ποιεῖτε; ἢ τί λύετε τὸν πῶλον; εἴπατε ὅτι Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. Μὴ διστάσητε, φησὶν, ἐν μηδενὶ τῶν κατὰ τὴν ἐμὴν οἰκονομίαν πραττομένων· οὐδεὶς ὑμῶν ἀντιστήσεται οὐδὲ ἀντιῤῥητορήσει πρὸς οὐδὲ ἓν ῥῆμα. Εἴπατε, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει, οὐδεὶς κωλύσει ὑμᾶς πρᾶττοντας τὸ ὑπ' ἐμοῦ προσταττόμενον· Ἐμὴ γὰρ ἐστὶν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. Δεῖ πάντα τὰ παρ' ἐμοῦ γεγραμμένα εἰς τέρας ἐλθεῖν. Δεῖ με εἰσελθεῖν εἰς Ἱερουσαλὴμ σήμερον ἐποχούμενον ἐπὶ ὑποζυγίου. Ἐρευνᾶτε τὰς Γραφάς· ἰδοὺ Ζαχαρίας ὁ προφήτης διαῤῥήδην βοᾷ λέγων· Χαῖρε σφόδρα, θύγατερ Σιών· κηρύσσεσθαί σοι δίκαιος καὶ σώζων. Αὐτὸς πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου νέον. Καιρὸς οὖν εὐδοκίας ὁ παρών· δεῖ με τὴν ἔχθραν λῦσαι καὶ εἰρηνοποιῆσαι τὰ πάντα διὰ τοῦ σταυροῦ. Δεῖ τὴν νῦν Ἱερουσαλὴμ τέλος λαβεῖν, καὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν στηριχθῆναι. Ἢ οὐχὶ καὶ ὁ ὑμνῳδὸς Δαυὶδ περὶ τῆς κλήσεως ταύτης τῶν ἐθνῶν προεφήτευσε; Τί γὰρ εἴρηκε; Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε. Οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί, οἱ διὰ πίστεως τὸν Λόγον σχόμενοι. Εἶτά φησιν ὁ εὐαγγελιστής· Πορευθέντες δὲ οἱ μαθηταὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς καὶ ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια, καὶ ἐπεκάθισαν τὸν Ἰησοῦν. Ὦ τῆς πολλῆς τοῦ Σωτῆρος πρὸς ἡμᾶς συγκαταβάσεως! Τίς οὐ θαυμάσει τὸ μέγεθος τῆς αὐτοῦ πρὸς ἡμᾶς ἀγάπης; Τίς οὐκ ἂν ἐπλάγη, ὅτι ἐπὶ τῶν χερουβὶμ ἐποχούμενος ἐπὶ πῶλον δι' ἡμᾶς ἐκαθέσθη; Ὁ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, ὑπὸ νηπίων εὐφῆμεῖναι; Τοῖς μὲν γὰρ ἱματίοις, φησὶ, τὴν ὁδὸν κατεστρώννυον· ἄλλοι δὲ κλάδους ἐκ τῶν δένδρων

[78] Gen. XLIX, 8. [79] ibid. 10 [80] ibid. 11. [81] ibid. [82] Isa. LXIII, 2. [83] Luc. XX, 31. [84] Psal. XXIII, 1. [85] Zach. IX, 9. [86] Psal. LXXXV, 9. [87] Matth. XXI, 6, 7. [88] ibid. 9.

κόπτοντες τὸ αὐτὸ ἐποίουν· καὶ οἱ μὲν προπορευόμενοι, οἱ δὲ ἀκολουθοῦντες ἔκραζον ἅμα τοῖς ἀπειροκάκοις παισὶν, ἐπινίκιόν τινα ὕμνον λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δαυὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Διὸ καὶ ἡμεῖς, ἀποθέμενοι πάντα λογισμὸν ῥυπαρὸν καὶ αἰσχρὰς ἐνθυμήσεις, καὶ τὴν ἐν πανουργίᾳ πονηρίαν, ἀπειρόκακον ἔννοιαν ἀναλαβόντες, ἅμα τοῖς παισὶν ἐκείνοις μετὰ φαιδρῶν τῶν λαμπάδων ἀπαντήσωμεν τῷ Σωτῆρι Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν· καὶ τοῖς μὲν βαΐοις νικητὴν αὐτὸν τοῦ θανάτου κηρύξωμεν, τοῖς δὲ τῶν ἐλαιῶν κλάδοις τὸν ἐλεήμονα καὶ ἀγαθὸν ἱκετεύσωμεν λέγοντες· Εὐλογημένος ὁ ἐλθὼν καὶ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐλθὼν κατ' οἰκονομίαν, καὶ δι' ἡμᾶς πτωχεύσας πλούσιος ὤν, ἵνα καὶ ἡμᾶς τῇ σῇ πτωχείᾳ πλουτήσωμεν· ἐρχόμενος δὲ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A nos etiam, missa omni sordida cogitatione, depulso quovis sordido affectu, dejecto omni dolo et malitia, innocentem animi sensum assumentes, cum pueris illis, lampadibus instructi occurramus Servatori Christo, vero Deo nostro, atque ex ramorum gestatione ipsum mortis victorem deprædicemus: olivarum ramis onusti miseratori bonoque Domino supplicemus, dicentes: *Benedictus qui venit* et venturus est, *in nomine Domini, Hosanna in excelsis.* Benedictus es, qui cum dives esses, per œconomiam propter nos pauper accedis, ut nos inopia tua divites simus: qui venturus es cum gloria judicaturus vivos et mortuos. Ipsi gloria et imperium in sæcula sæculorum. Amen.

MONITUM IN FRAGMENTUM CONTRA MACEDONIANOS.

1043 « Sequens fragmentum ex prolixo, ut videtur, opere excerptum est. Cum enim quidam ementita catholicæ fidei specie Macedonii errores spargerent, Athanasius, quo vivente nemo inulte vel clam vel publice sanam fidem impugnavit, vafros homines ut larvam ponant provocat, ratus optabilius esse ut errores palam efferrent, quam ut aliud simulantes adreperent, incautosque simpliciorum animos sensim abducerent. Editum porro fuit hoc opus circiter annum 359, quo maxime tempore Macedoniani obstrepebant. »

« Fragmentum contra Macedonianos. Ex cod. Colbert. 5179, bombycino. »

Εἰ μὲν, μηδενὸς ὑποκειμένου, περὶ πίστεως γράφουσι, περιττὸν τὸ ἐπιχείρημα καὶ ἐπιβλαβὲς, ὅτι, μηδεμιᾶς ζητήσεως οὔσης αὐτοῖς, πρόφασιν λογομαχίας παρέχουσιν, ἀνασκευάζοντες τὰς ἀκάκους τῶν ἀδελφῶν καρδίας, καὶ παρασπείροντες ἃ μηδὲ εἰς νοῦν αὐτῶν ποτε ἀνέβη· εἰ δὲ διὰ τὴν Μακεδονίου αἵρεσιν ἀπολογούμενοι γράφειν ἐπιχειροῦσιν, ἕνεκα τῶν κακῶν φυτῶν τὰ σπέρματα προανελεῖν, καὶ τοὺς αὐτὰ παρασχόντας στηλιτεῦσαι, καὶ οὕτως τὰ ἀντ' ἐκείνων γράφειν ὀρθῶς, ἢ ἐκδικεῖν φανερῶς τὰ Μακεδονίου, ἵνα μὴ κεκρυμμένοι, ἀλλὰ φανερῶς πνευματομάχοι δεικνύωνται, καὶ πάντες αὐτοὺς φεύγωσιν ὡς ἀπὸ προσώπου ὄφεως. Νῦν δὲ κεκεῖνα κρύπτουσι, καὶ περὶ ἄλλων προσποιούμενοι γράφουσιν· ὥσπερ οἱ τῶν σεσηπότων μελῶν παρατρέχοντες ἰατροὶ περὶ τῶν ὑγιαινόντων διαλέγονται, ἢ ἀγνοοῦντες ἢ τέχνῃ πανούργως χρώμενοι. Οὐδεὶς γὰρ, ἐγκαλούμενος περὶ μοιχείας ἀπολογεῖται περὶ κλοπῆς (64) οὐδὲ φόνοις ἔγκλημα διώκων, ἀνέχεται τῶν καταγορουμένων ἢ ἀπολογοῦντο λέγοντες, Οὐκ ἐπιωρκήσαμεν, ἀλλὰ καὶ τὴν παρακαταθήκην ἐφυλάξαμεν. Μᾶλλον γάρ ἐστι τοῦτο παίγνιον ἢ λύσις ἐγκλήματος καὶ ἀληθείας ἐπόδειξις.

B Si quidem nulla existente de tractanda fide occasione, scribunt, inanis damnosusque est illorum conatus : quia nulla suborta quæstione, disceptandi præbent occasionem : innocentium fratrum corda labefactantes, eaque perperam disseminantes, quæ nunquam illis in mentem venissent; quodsi ea illis scribendi causa sit, quod a Macedonii hæresi sese purgare velint; oportebat sane eos malarum semina plantarum primo eustulisse, atque traduxisse eos qui talia submininistrant, ac deinde contra illos recta sententia scribere, vel tandem Macedonii opinionem palam vindicare, ut ne latenter, sed publice Pneumatomachi, sive Spiritus sancti hostes, commonstrentur: sicque omnes ab illis tanquam a facie serpentis defugiant. Nunc autem et C illa occultant, et de aliis dissimulanter scribunt : quemadmodum medici de carie laborantibus membris carptim agentes, de sanis edisserunt, sive ignorantes, sive arte sua vafre utentes. Nemo enim de adulterio accusatus, de furto sese purgat; neque qui cædis crimen effert, reos patitur hanc sibi defensionem parare : Non pejeravimus, imo etiam depositum servavimus. Id enim lusus potius est, quam criminis depulsio, aut veritatis demonstratio.

(64) Cf. « Epistola ad episcopos Ægypti et Libyæ, » n. 11, p. 221.

κλῆρος ἐν τῷ λόγῳ τούτῳ. Ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. Καὶ τοσαῦτα κατ' αὐτοῦ εἰπὼν ὀρθῶς καὶ δικαίως, οὐδὲν τούτων ἀνίατον ἡγησάμενος τῷ τῆς μετανοίας φαρμάκῳ, θεραπευτικὰ δὲ ταῦτα κρίνας εἶναι, ἐπήγαγε. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. Μέγα γάρ σοι καὶ τοῦτο. Καὶ μὴ ἤδη τὴν δωρεὰν οὕτως ἀκαθάρτως καὶ ῥυπαρῶς διὰ χρημάτων σπεῦδε. Ἀλλὰ τέως τῆς πικρίας σου καὶ τῆς κακῆς ταύτης ἐπινοίας παυσάμενος, μετανόησον, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὅτι δυσίατα πάθη, οὐκ ἀνίατα μέντοι, ἀλλὰ δυσίατα. Εἰ γὰρ ἦν ἀνίατον, περισσὸν ἦν τό· Μετανόησον ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου. Ἀλλ' ὅτι ἡ μετάνοια μὲν ἰσχύει διὰ τούτων, ὅτι δὲ μετὰ πολλῆς μετανοίας καὶ ἐπιμελείας χρεία τοῖς βαρυνθεῖσιν εἰς κακίαν, παριστὰς ἐπήγαγεν. Εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. Καὶ τοσοῦτον ἴσχυεν ἡ εἰς μετάνοιαν προτροπὴ τοῦ μεγάλου τούτου ἀποστόλου καὶ πρὸς τὸν τοσοῦτον μάγον, καὶ πρὸς τὸν οὕτω χολῆς καὶ πικρίας μεστὸν, καὶ τοσούτων κακῶν πεπληρωμένον, ὡς ἤδη ἐπιμελείας ἑαυτὸν δοῦναι, καὶ ταῦτα αὐτῷ εἰπόντι τὴν Κραφὴν ἐπιμαρτυρεῖν· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον· οὐ γὰρ ἐμοὶ παῤῥησία μέτεστιν, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ, ὧν εἴρηκατε. Οὔτε δὴ ἀπηγόρευσε ταῦτα αὐτῷ ὁ θεῖος Ἀπόστολος, οὔτ' ἀπηρνήσατο. Πῶς γὰρ ὁ καὶ ὑποθέμενος καὶ εἰπών; Τοσοῦτον δὲ ὠφελήθη οὗτος αὐτὸς ὁ τηλικοῦτος μάγος ἀπὸ τῆς ἐλπίδος, τῆς εἰς μετάνοιαν, ὡς ἤδη τοσοῦτον τῆς πονηρίας καὶ πικρίος αὐτὸν μεταβληθέντα εἰπεῖν· Ἐγὼ μὲν οὐκ εἰμὶ ἱκανὸς ὑπὲρ ἐμαυτοῦ δεηθῆναι· ὑμεῖς δὲ δεήθητε ὑπὲρ ἐμοῦ πρὸς Κύριον.

A tio, *neque sors in sermone isto. Neque enim cor tuum rectum est coram Deo* [91]. Tam graviter in eum locutus recte tamen et merito nihil horum pœnitentia accedente immedicabile esse existimans, sed potius medicinæ locum superesse judicans: *Pœnitentiam igitur age de hac pravitate tua, et precare Dominum, si forte remittetur tibi cogitatio cordis tui* [92]. Nam et hoc tibi magnum erit. Cave itaque, ne donum Dei tam impure et sordide pecunia tibi tam festinanter comparare studeas. Sed potius ab amaritudiue tua et mala ista cogitatione recedens, *pœnitentiam age, si forte remittetur tibi cogitatio cordis tui;* quæ verba non dubie proferuntur, sed ideo, quia affectus difficulter sanabiles non insanabiles quidem sunt, sed ægre tamen sanatur. Si enim prorsus emendari non potuisset, superfluum B fuisset dicere: *Pœnitentiam age de malitia tua, et precare Dominum.* Itaque pœnitentia in hac causa efficax est. Quia vero cum pœnitentia magna cura opus est illis, qui ad malitiam indurati sunt, statim subjungit: *Si forte tibi remittetur cogitatio cordis tui. Nam in felle amaritudinis et vinculis injustitiæ te esse video* [93]. Et tantum quidem valuit excitatio ista ad pœnitentiam, a tanto apostolo ad tantum magum, cumque tanto felle et amaritudine refertum, tantisque peccatis oppressum, ut jam tum curam illam susciperet, verbisque, Scriptura testante, his eam profiteretur: *Orate vos pro me ad Dominum:* neque enim mihi tanta inest fiducia, ut ne quid eorum, quæ dixistis, super me veniat. Nec præcidit ipsi hujus rei spem divus Apostolus, neque facere hoc denegavit. Quomodo enim id facere poterat qui ipse suaserat, et præceperat? Tantum vero commodi hinc capiebat ipse ille tantus magus ex C hac spe, ad pœnitentiam facta, ut a malitia sua et amaritudine multum mutatus diceret: ego quidem idoneus non sum, qui pro me ipso precer; vos vero orate pro me ad Dominum.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τοὺς Νουατιανοὺς τοὺς ἑαυτοὺς ὀνομασαντας Καθαροὺς λόγου Β'.

1044 *Ejusdem ex sermone II contra Novatianos qui se ipsos* Catharos *appellant.*

ΚΕΦΑΛ. ΙϚ', στ. γ'. Καὶ λαβὼν περιέτεμεν αὐτόν.

CAP. XVI, 3. *Et assumptum eum circumcidit.*

Ἵν' οὖν μὴ κωλύηται (66-67) εἰς συναγωγὰς παραβάλλειν, διὰ τὸ ἀπερίτμητον εἶναι τὸν Τιμόθεον, οὕτως τυμπαρεῖναι τοῦτ' ᾠκονόμησεν, οὐχὶ καὶ ἐδογμάτισεν (68).

Ne igitur prohiberetur in synagogas penetrare, quia Timotheus non erat circumcisus, ut et hoc fieret, permisit quidem prudenter, non vero præcepit.

[91] ibid. 21. [92] ibid. 22. [93] ibid. 23.

(66-67) Κωλύηται. Ita scripsi pro κωλύητε, id quod sensus requirere videtur. Verebatur enim Paulus, ne Timotheus, non circumcisus, a Judæis ex synagogis excluderetur.

(68) Ὠκονόμησεν, οὐχὶ καὶ ἐδογμάτισεν. Quæ recta de causa et certo quodam scopo ad tempus a Deo fiunt, vel ut fiant, permittuntur, ea οἰκονομεῖσθαι, vel κατ' οἰκονομίαν, vel οἰκονομικῶς fieri a Patribus dicuntur. Sic Damascenus lib. III *De orthodoxa fide*, c. 23, p. 266, de Christo: Εἰ καὶ οἰκονομικῶς ἑαυτὸν συνέτελλε πολλάκις· οὐ γὰρ ἠγνόει τὸν καιρόν.

MONITUM IN FRAGMENTA CONTRA NOVATIANOS.

« Novatianos, qui ævo suo residui erant, non semel in scriptis suis exagitat Athanasius. Quod aut ciatim contra Novatianos opus ediderit, ex hisce fragmentis deprehendimus, comperimusque duo: ea de re libros exaratos ab eo fuisse: nam secundi excerptum affertur. Tertium vero fragmentur in veteri codice Athanasii nomen præfert, conjectura tantum ex libris contra Novationos excerptu: mus : exhibetque præclarum de confessione ad sacerdotem edenda testimonium, ut cuivis perspice:

« Fragmenta librorum contra Novatianos. Ex codice Regio 2398, XI sæculi memb. Est catena apostolorum, fol. 32. »

S. Athanasii ex libro secundo contra Novatianos.

A Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ πρὸς Νοναται λόγου.

Manens, inquit, *vobis manebat, et venundatum in vestra erat potestate* [89]. Quoniam, ait, Spiritum sanctum tentare aggressi estis, atque in hoc mutuo consensistis, ut voluistis experimentum illius rei capietis. Alii vero ad sanam mentem deducti, sumptaque a vobis experientia, idipsum tentare verebuntur.

Εἰ ἔμενε, φησὶν, ὑμῖν ἔμενε, καὶ πραθὲ ὑμετέρᾳ ἐξουσίᾳ ἦν. Ἐπειδὴ δὲ, φησὶν, ἐ σατε πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ε συνεφωνήσατε, λήψεσθε πεῖραν οὗ ἠθελήσε φρονισθήσονται δὴ, καὶ φοβηθήσονται κα πειράσαι, δι' ὑμῶν τὴν πεῖραν λαβόντες.

« Ibidem. »

S Athanasii ex opere contra Novatianos.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τῆς πρὸς Νο πραγματείας.

Hic porro considerandum est, tunc initium prædicationis fuisse, ipsosque magnum facinus aggressos esse, ausos tentare Spiritum sanctum. Horum autem supplicium magnæ fratribus aliis utilitati fuit, institutis scilicet et edoctis, non audendum quidplam esse contra Spiritum sanctum, nec tentare ipsum oportere.

Κατανοῆσαι δεῖ καὶ ἐνταῦθα, ὅτι ἀρχὴ ἦν ρύγματος, καὶ μέγα μὲν ἐτόλμησαν οὗτοι, B τὸ Πνεῦμα τὸ ἅγιον ἐπιχειρήσαντες· μεγάλη ἄλλοις ἀδελφοῖς ὠφέλεια γέγονεν ἡ τούτων· ἐπαιδεύθησαν γὰρ, καὶ ἐδιδάχθησαν, ὅτι οὐ τοῦ Πνεύματος τολμᾷν, οὐδὲν πειράσαι τοῦτο ρεῖν.

« Ex cod. Colb. 200, quæ est catena in Jeremiam. Estque, ut videtur, fragmentum ex *libris* contra Novatianos. »

Quemadmodum homo a sacerdote baptizatus, Spiritus sancti gratia illuminatur; ita qui confitetur in pœnitentia, per sacerdotem Christi gratia remissionem accipit.

Ὥσπερ ἄνθρωπος ὑπὸ ἀνθρώπου ἱερέως β μένου φωτίζεται τῇ τοῦ ἁγίου Πνεύματος οὕτως καὶ ὁ ἐξομολογούμενος ἐν μετανοίᾳ ἱερέως λαμβάνει τὴν ἄφεσιν χαριτι Χριστοῦ.

« Duo Athanasii loca, quæ in Anecd. Græc. Jo. Christophori Wolfii tom. IV, pag. 52 edit. *Hambu* bentur, ab eodem excerpta ex catena ms., in qua ad Actus apostolorum illustrandos afferunt

CAP. VIII, v. 24. *Precamini vos pro me ad Dominum.*

ATHANASII

Ex sermone III contra Novatianos.

C ΚΔΦ. Η', ς. κδ'. Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ τ Κύριον.

Ἀθανασίου

Ἐκ τοῦ πρὸς λεγομένους Καθαροὺς (65) λ

Adversus hanc ejus amaritudinem et temeritatem insolentem, qua in Dei donum ferebatur, Petrus merito graviter commovebatur, commotusque ad eum dicebat : *Pecunia tua tecum pereat* [90]. Quamvis enim melius tibi esse possit, tamen propter insolentiam illam tuam, quod gratuitum Dei donum pecunia comparari posse censeas, *non est tibi por-*

